GESTA ACTIONIS PRIMAE

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 9/9/15 7:57 AM

M = Codex Venetus 555 s. XI
B = Codex Vindobonensis hist. gr. 27 s. XII
P = Codex Parisinus 415 s. XII [P^1 in epistulis Cyrilli ad calcem codicis positis]
p = *Codex Venetus 165 s. XV ex P descriptus*
S = Codex Sinaiticus 1690 s. XIII
H = Codex Musei Britannici Arundelianus 529 s. XII
X = Codex Parisinus 1115 s. XII
U = Codex Vaticanus 712 s. XIIII
Λ^n = Collectio Nouariensis de re Eutychis [uol. II 1]
Φ = Gestorum Chalcedonensium uersio Latina [uol. III]
Φ^a = uersio antiqua
Φ^c = uersio antiqua correcta
Φ^r = uersionis antiquae correctae editio Rustici

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 9/9/15 7:57 AM

Ἀρχὴ τῆς συνόδου Χαλκηδόνος

1 Ὑπατείαι τοῦ δεσπότου ἡμῶν Μαρκιανοῦ τοῦ αἰωνίου αὐγούστου καὶ τοῦ δηλωθησομένου τῇι πρὸ ὀκτὼ Εἰδῶν Ὀκτωβρίων ἐν Χαλκηδόνι L IIII 77 M VI 564 d. 8. m. Oct. a. 451

κατὰ κέλευσιν τοῦ θειοτάτου καὶ εὐσεβεστάτου δεσπότου ἡμῶν Μαρκιανοῦ τοῦ αἰωνίου αὐγούστου συνελθόντων ἐν τῇι ἁγιωτάτηι ἐκκλησίαι τῆς ἁγίας μάρτυρος Εὐφημίας τῶν ἐνδοξοτάτων ἀρχόντων, τουτέστιν

2 1 τοῦ μεγαλοπρεπεστάτου καὶ ἐνδοξοτάτου στρατηλάτου καὶ ἀπὸ ὑπάτων καὶ πατρικίου Ἀνατολίου

2 καὶ τοῦ μεγαλοπρεπεστάτου καὶ ἐνδοξοτάτου ἐπάρχου τῶν ἱερῶν πραιτωρίων Παλλαδίου

3 καὶ τοῦ μεγαλοπρεπεστάτου καὶ ἐνδοξοτάτου ἐπάρχου πόλεως Τατιανοῦ

4 καὶ τοῦ μεγαλοπρεπεστάτου καὶ ἐνδοξοτάτου μαγίστρου τῶν θείων ὀφφικίων Βινκομάλου

5 καὶ τοῦ μεγαλοπρεπεστάτου μαγίστρου Μαρτιαλίου

6 καὶ τοῦ μεγαλοπρεπεστάτου κόμητος τῶν καθωσιωμένων δομεστίκων Σποράκιου

7 καὶ τοῦ μεγαλοπρεπεστάτου κόμητος τῶν θείων πριουάτων Γενεθλίου

προσέτι δὲ καὶ τῆς ἐνδόξου συγκλήτου, τουτέστιν

8 τοῦ μεγαλοπρεπεστάτου καὶ ἐνδοξοτάτου ἀπὸ ἐπάρχων καὶ ὑπάτων καὶ πατρικίου Φλωρεντίου

9 καὶ τοῦ μεγαλοπρεπεστάτου καὶ ἐνδοξοτάτου ἀπὸ ὑπάτων καὶ πατρικίου Σενάτορος

10 καὶ τοῦ μεγαλοπρεπεστάτου καὶ ἐνδοξοτάτου ἀπὸ μαγίστρων καὶ ὑπάτων καὶ πατρικίου Νόμου

11 καὶ τοῦ μεγαλοπρεπεστάτου καὶ ἐνδοξοτάτου ἀπὸ ἐπάρχων καὶ ὑπάτων καὶ πατρικίου Πρωτογένους

12 καὶ τοῦ μεγαλοπρεπεστάτου καὶ ἐνδοξοτάτου ἀπὸ ἐπάρχων Ζωίλου

13 καὶ τοῦ μεγαλοπρεπεστάτου καὶ ἐνδοξοτάτου ἀπὸ ἐπάρχων πόλεως Θεοδώρου M VI 565

14 καὶ τοῦ μεγαλοπρεπεστάτου καὶ ἐνδοξοτάτου ἀπὸ ἐπάρχων Ἀπολλωνίου

15 καὶ τοῦ μεγαλοπρεπεστάτου καὶ ἐνδοξοτάτου ἀπὸ πραιποσίτων Ῥωμανοῦ

16 καὶ τοῦ μεγαλοπρεπεστάτου καὶ ἐνδοξοτάτου ἀπὸ ἐπάρχων Ἰλλυρικοῦ Θεοδώρου

17 καὶ τοῦ μεγαλοπρεπεστάτου καὶ ἐνδοξοτάτου ἀπὸ ἐπάρχων πραιτωρίων Κωνσταντίνου

18 καὶ τοῦ μεγαλοπρεπεστάτου καὶ ἐνδοξοτάτου ἀπὸ πραιποσίτων Ἀρτάξου

MBPSΦ

1 ἀρχὴ — χαλκηδόνος MPS πρᾶξις πρώτη B 2 ὑπατεία B ὑπατείας MPS 3 Ἰδῶν M 5 ἁγιωτάτης MPS 7 στρατηγοῦ B καὶ om. B καὶ om. MPS 10 πολλαδίου M 12/13 βινκομάλλου M βιγκομάλλου PS βιγκομάλου B 14 om. MPS 15 μεγαλοπρεπεστάτου καὶ ἐνδοξοτάτου MPS σπαρακίου M σφωρακίου B 17 ἐνδοξοτάτης B 18 ἐπάρχου P 20 πατρικίων MPS σεννάτορος M^{corr}B 22 πατρικίων MPS μόνου M νόννου BPS 23 ὑπάτων καὶ ἐπάρχων B ἐπάρχων S 23/24 πατρικίων MPS 25 ὑπάρχων M ἐπάρχου S 29 om. MPS

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 9/9/15 7:57 AM

19 καὶ τοῦ μεγαλοπρεπεστάτου καὶ ἐνδοξοτάτου ἀπὸ ἐπάρχων Ἰλλυρικοῦ Εὐλογίου,
3 συνελθούσης δὲ καὶ τῆς ἁγίας καὶ οἰκουμενικῆς συνόδου τῆς κατὰ θεῖον θέσπισμα ἐν τῇ Χαλκηδονέων πόλει συναθροισθείσης, τουτέστιν

L IIII 80 1—5 Πασκασίνου καὶ Λουκινσίου τῶν εὐλαβεστάτων ἐπισκόπων καὶ Βονιφατίου τοῦ εὐλαβεστάτου πρεσβυτέρου ἐπεχόντων τὸν τόπον τοῦ ὁσιωτάτου καὶ θεοφιλεστά- 6
του ἀρχιεπισκόπου τῆς πρεσβυτέρας Ῥώμης Λέοντος καὶ Ἀνατολίου τοῦ ὁσιωτάτου ἀρχιεπισκόπου τῆς μεγαλωνύμου πόλεως Κωνσταντινουπόλεως νέας Ῥώμης καὶ Διοσκόρου τοῦ θεοφιλεστάτου ἀρχιεπισκόπου τῆς μεγαλοπόλεως Ἀλεξανδρείας καὶ τῶν λοιπῶν ὁσιωτάτων καὶ εὐλαβεστάτων ἐπισκόπων, τουτέστιν

6 Μαξίμου Ἀντιοχείας Συρίας
7 Ἰουβεναλίου Ἱεροσολύμων
8 Κυντίλλου Ἡρακλείας Μακεδονίας ἐπέχοντος τὸν τόπον Ἀναστασίου ἐπισκόπου Θεσσαλονίκης
9 Θαλασσίου Καισαρείας Καππαδοκίας
10 Στεφάνου Ἐφέσου
11 Λουκιανοῦ Βύζης ἐπέχοντος τὸν τόπον Κυριακοῦ ἐπισκόπου Ἡρακλείας Θράικης
12 Εὐσεβίου Ἀγκύρας Γαλατίας
13 Διογένους Κυζίκου
14 Πέτρου Κορίνθου
15 Φλωρεντίου Σάρδεων
16 Εὐνομίου Νικομηδείας
17 Εὐσεβίου καὶ Κωνσταντίνου πρεσβυτέρων ἐπεχόντων τὸν τόπον Ἀναστασίου ἐπισκόπου Νικαίας
18 Ἐλευθερίου Χαλκηδόνος
19 Ἰουλιανοῦ τῆς Κώων πόλεως ἐπέχοντος καὶ αὐτοῦ τὸν τόπον τοῦ ἀποστολικοῦ 25
θρόνου τῆς πρεσβυτέρας Ῥώμης Λέοντος
20 Βασιλείου Σελευκείας Ἰσαυρίας
21 Μελετίου Λαρίσσης ἐπέχοντος τὸν τόπον Δόμνου ἐπισκόπου Ἀπαμείας Συρίας
22 Ἀμφιλοχίου Σίδης
23 Θεοδώρου Ταρσοῦ
24 Κύρου Ἀναζάρβου
25 Κωνσταντίνου Βόστρων
26 Φωτίου Τύρου
M VI 568 27 Θεοδώρου Δαμασκοῦ
28 Στεφάνου Ἱερᾶς πόλεως
29 Νόννου Ἐδέσσης
30 Συμεώνου Ἀμίδης
31 Ἐπιφανίου ἐπισκόπου ἐπέχοντος τὸν τόπου Ὀλυμπίου ἐπισκόπου Κωνσταντίας
32 Ἰωάννου Σεβαστείας
33 Σελεύκου Ἀμασείας
34 Κωνσταντίνου Μελιτηνῆς
35 Πατρικίου Τυάνων

MBPSΦ

1 ἀπὸ om. B ἐπάρχου B 4 πασχασίνου P πασκασίου B πασχασίου S 5 ὁσιωτάτου] ἁγιωτάτου B 6 τοῦ ἀρχιεπισκόπου M 7 πόλεως om. MPS 8 τῆς om. B 10 Συρίας om. BΦ[a] 12 ἐπισκόπου om. B 24 καλχηδόνοσ MPS 26 πρεσβύτιδοσ MPS Λέοντος om. B 27 ἰσαυρίασ σελευκείασ MPS 28 λαρίσησ MP, corr. M 31 Κύρου] τύρου MPS 32 κωνσταντίου B 35 ἱεραπόλεωσ S 37 συμεωνίου B 38 ἐπισκόπου[2] om. B 41 κωνσταντίου B

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 9/9/15 7:57 AM

36 Πέτρου Γαγγρῶν
37 Ἀπραγμονίου ἐπέχοντος τὸν τόπον Καλογήρου ἐπισκόπου Κλαυδιουπόλεως
38 Ἀταρβίου Τραπεζοῦντος ἐπέχοντος τὸν τόπον Δωροθέου ἐπισκόπου Νεοκαισαρείας
39 Φωτεινοῦ ἀρχιδιακόνου ἐπέχοντος τὸν τόπον Θεοκτίστου ἐπισκόπου Πεσσινοῦντος 5
40 Ῥωμανοῦ Μύρων L IIII 81
41 Κριτωνιανοῦ Ἀφροδισιάδος Καρίας
42 Νουνεχίου Λαοδικείας Φρυγίας
43 Μαρινιανοῦ Συννάδων
44 Ὀνησιφόρου Ἰκονίου 10
45 Περγαμίου Ἀντιοχείας Πισιδίας
46 Ἐπιφανίου Πέργης
47 Ἀττικοῦ Νικοπόλεως Ἠπείρου
48 Μαρτυρίου Γορτύνης
49 Λουκᾶ Δυρραχίου 15
50 Κωνσταντίνου Δημητριάδος ἐπέχοντος τὸν τόπον Βιγιλαντίου ἐπισκόπου Λαρίσσης Θεσσαλίας
51 Φραγκίωνος Φιλιππουπόλεως
52 Σεβαστιανοῦ Βεροίας
53 Βασιλείου Τραιανουπόλεως 20
54 Τρύφωνος Χίου ἐπέχοντος τὸν τόπον Ἰωάννου ἐπισκόπου Ῥόδου
55 Θεοκτίστου Βεροίας Συρίας
56 Γεροντίου Σελευκείας Συρίας
57 Εὐσεβίου πρεσβυτέρου ἐπέχοντος τὸν τόπον Μακαρίου ἐπισκόπου Λαοδικείας Συρίας 25
58 Εὐσεβίου Δορυλαίου
59 Σάβα Πάλτου
60 Πέτρου Γαβούλα
61 Σωφρονίου Κωνσταντίνης
62 Πατρικίου Νεοκαισαρείας 30
63 Μάρα Ἀνασάρθας
64 Ῥωμύλου Χαλκίδος
65 Εὐσταθίου Βηρυτοῦ
66 Λεοντίου Ἀσκάλωνος
67 Ἀννιανοῦ Καπετωλιάδος 35
68 Ζεβέννου Πέλλης
69 Ἰωάννου Τιβεριάδος
70 Ἀντιόχου Ἄρκης
71 Βηρύλλου Ἀιλᾶ
72 Ἀρέτα Ἐλούσης 40
73 Μουσωνίου Σηγῶρ

MBPSΦ

3 ἐπισκόπου om. B 5 ἐπισκόπου om. B πισσινοῦντος B πισινοῦντος P συνοῦντος S 7 κριτωιανοῦ B κρητωνιανοῦ MPSΦ, corr. M 9 μαριανοῦ P συνάδων BP 11 περγάμου B τῆς πισιδίας B 15 δυρρακίου MPS 16 κωνσταντίου B βιγιλλαντίου B 18 φιλιππο-πόλεως MPS, corr. M 19 βερροίας MB 22 βερροίας B 24 μαρκιανοῦ B 26 δο-ρυλλαίου BPS 28 γαμβούλα M 32 ἀνασάρθης PS 34. 32. 33 coll. B 35 ἀνιανοῦ B 36 ζεβίνου B 38 ἄλκης B 39 ἀειλᾶ MPS

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 9/9/15 7:57 AM

M VI 569 74 Ῥουφίνου Βίβλου
75 Παγκρατίου Λιβιάδος
76 Ζωσίμου Μινωΐδος
77 Πολυχρονίου Ἀντιπατρίδος
78 Ἰωάννου Γαδάρων
79 Παύλου Ἀνθηδόνος
80 Φωτεινοῦ Λύδδης
81 Ἡρακλείου Ἀζώτου
82 Μαρκιανοῦ Γεράρων
83 Στεφάνου Ἰαμνίας
84 Ἐπικτήτου Διοκλητιανουπόλεως
85 Ῥωμανοῦ Εὐδοξιουπόλεως
86 Θεοδώρου Κλαυδιουπόλεως Ἰσαυρίας
87 Ἰουλίου Κελενδέρεως
88 Τυράννου Γερμανικουπόλεως
89 Ἰωάννου Διοκαισαρείας
L 84 90 Ἀκακίου Ἀντιοχείας,
91 Ἐπιφανίου Κέστρων
92 Αἰλιανοῦ Σελινοῦντος
93 Γαίου Συέδρων
94 Ἀμμωνίου Ἰωτάπης
95 Ματάλου Φιλαδελφείας
96 Μάρκου Ἀρεθούσης
97 Τιμοθέου Βαλανέων
98 Εὐσεβίου Σελευκοβήλου
99 Εὐτυχιανοῦ Ἐπιφανείας
100 Παύλου Μαριάμμης
101 Λαμπαδίου Ῥαφανέων
102 Ἀλεξάνδρου Σεβαστῆς
103 Φιλίππου Ἀδάνης
104 Ὑπατίου Ζεφυρίου
105 Θεοδώρου Αὐγούστης
106 Χρυσίππου Μαλλοῦ
107 Ἰουλιανοῦ Ῥωσοῦ
108 Πολυχρονίου Ἐπιφανείας
109 Ἰωάννου Φλαβιάδος
110 Ἰνδάμου Εἰρηνουπόλεως
111 Σωφρονίου χωρεπισκόπου ἐπέχοντος τὸν τόπον Βασσιανοῦ ἐπισκόπου Μοψουεστίας
112 Πρόκλου Ἀδρώων
113 Εὐλογίου Φιλαδελφείας
114 Θεοδοσίου Κανώθας
115 Ὁρμίσδου Φιλιππουπόλεως
116 Δαμιανοῦ Σιδῶνος

MBPSΦ
1 βύβλου PS 2 λιβυάδοσ MPS 3 μηνοίδοσ MPS μηνοίδησ B 7 λύδησ S 8 ἀδώτου PS 9 γεράνων PS 10 ἰαμνείασ PS 15 γερμανικοπόλεωσ B 19 ιλιανοῦ M Ἰουλιανοῦ PS σελινοῦντοσ BΦ[a] σεληνοῦντοσ MPSΦ[cr] 22 ματάλλου B *Megalo* Φ 37 εὐδήμου B *Indimo* Φ 38 βασιανοῦ PS βασιλείου B 41 θεοδοσίου BΦ θεοδότου MPS

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 9/9/15 7:57 AM

117 Θεοδώρου Τριπόλεως
118 'Ολυμπίου Πανεάδος
119 Παύλου Πτολεμαίδος
120 Παύλου 'Αράδου
121 Θωμᾶ Πορφυρεῶνος
122 Πορφυρίου Βοτρύων
123 Φωσφόρου 'Ορθωσιάδος
124 Πορφυρίου ἀρχιδιακόνου ἐπέχοντος τὸν τόπον Οὐρανίου ἐπισκόπου 'Εμίσης
125 'Ιωσὴφ 'Ηλιουπόλεως
126 'Ιορδάνου 'Αβίλης
127 Βαλερίου Λαοδικείας
128 Θωμᾶ Εὐαρίας
129 'Ρουφίνου Σαμοσάτων
130 'Ιωάννου Γερμανικείας M VI 572
131 Τιμοθέου Δολίχης
132 Εὐολκίου Ζεύγματος
133 'Αθανασίου Πέρρης
134 Ζεβέννου Μαρτυροπόλεως
135 Καιουμᾶ Μαρκουπόλεως
136 'Ιωάννου Καρρῶν
137 'Αβραμίου Κιρκησίου
138 'Ιωάννου Σαρακηνῶν
139 Νώου Χηφᾶ
140 'Ιέρακος 'Αφναίου L IIII 85
141 Σαβίνου δουλου
142 'Απολλωνίου Τάνεως
143 "Ηρωνος Θεννήσου
144 'Αθανασίου Βουσίρεως
145 Πασμηίου Παράλου
146 'Ισιδώρου Σεθροίτου
147 Θεοφίλου Κλεοπατρίδος
148 Θεοδούλου * Πενταπόλεως
149 'Ιανουαρίου Λεόντων
150 'Ιωάννου Ψινχάου
151 Αὐσονίου Σεβεννύτου
152 'Ισαὰκ Ταύα
153 Εὐλογίου 'Αθρίβεως
154 'Ησαίου 'Ερμουπόλεως
155 Στεφάνου Γέρως
156 Νεστορίου Φραγόνεως

MBPSΦ

8 τὸν om. S ἐμίσης BPS 11 λαβερίου B 12 εὐαρείασ M 16 εὐολκίου BΦ εὐορκίου MPS 17 πέργης PSΦ^{ac} 18 ζεβένου B 19 post 21 coll. B μαρκοπόλεωσ MPS 20 καρῶν B 21 κιρκισίου MPS 23 νόου PS πώου B χιφα PS 24—26 om. Φ^{a} 25 δούλου MΦ^{cr} δούλυ P om. S βοτοῦ B κοπτιτῶν 4. 25 [*doctitorum* Φ^{r}] 27 θεννησίου B 32 *Theodoro* Φ^{a} et nota Rustici lacunam posui πενταπόλεωσ BΦ^{a} ἑλούσησ MPS nota Rustici *pentapoleos tesila* Φ^{cr} 33 ἰαννουαρίου BS λεόντων MPSΦ^{r} λεοντῶ BΦ^{ac} 34 ψίνχουσ B 40 φραγονίοσ M φλεγονέωσ B

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 9/9/15 7:57 AM

157 Θεοφίλου Ἐρυθροῦ
158 Μακαρίου Καβάσων
159 Καλλινίκου Ἀπαμείας Βιθυνίας
160 Λευκαδίου Μνίζου
161 Ἰωάννου Πολεμωνίου
162 Γρατιδιανοῦ Κερασοῦντος
163 Ἰουλιανοῦ Ταβίας
164 Μελιφθόγγου Ἰουλιουπόλεως
165 Ὑπερεχίου Ἀσπώνων
166 Ἀκακίου Κίννης
167 Εὐφρασίου Λαγανίας
168 Κεκροπίου Σεβαστοπόλεως
169 Ἰωάννου Νικοπόλεως
170 Δωροθέου πρεσβυτέρου ἐπέχοντος τὸν τόπον Ἀνατολίου ἐπισκόπου Σατάλων
171 Ἀττικοῦ Ζήλων
172 Ἀντιόχου Σινώπης
173 Εὐχαρίου διακόνου ἐπέχοντος τὸν τόπον Παραλίου ἐπισκόπου Ἀνδράπων
174 Παύλου πρεσβυτέρου ἐπέχοντος τὸν τόπον Οὐρανίου ἐπισκόπου Ἰβώρων
175 Ἀκακίου Ἀριαραθείας
176 Ἡρακλείου Κομάνων
177 Ἀδελφίου χωρεπισκόπου ἐπέχοντος τὸν τόπον Ἀδολίου ἐπισκόπου Ἀραβισσοῦ
178 Εὐφρονίου πρεσβυτέρου ἐπέχοντος τὸν τόπον Δόμνου ἐπισκόπου Κουκουσοῦ
179 Ὀτρίου πρεσβυτέρου ἐπέχοντος τὸν τόπον Ἰωάννου ἐπισκόπου Ἄρκης
M VI 573 180 Θεοδοσίου Ναζιανζοῦ
181 Ἀριστομάχου Κολωνείας
182 Ῥήνου Ἰουνοπόλεως
183 Ἐπιφανίου πρεσβυτέρου ἐπέχοντος τὸν τόπον Αἰθερίου ἐπισκόπου Πομπηιουπόλεως
184 Φιλοτίμου πρεσβυτέρου ἐπέχοντος τὸν τόπον Θεμιστίου ἐπισκόπου Ἀμάστριδος
185 Θεοδώρου Ἡρακλείας
186 Εὐλογίου πρεσβυτέρου ἐπέχοντος τὸν τόπον Γενεθλίου ἐπισκόπου Κρατείας
L IIII 88 187 Πελαγίου πρεσβυτέρου ἐπέχοντος τὸν τόπον Θεοφίλου ἐπισκόπου Ἀδριανουπόλεως
188 Ἐλπιδίου τῶν Θέρμων
189 Ἀκύλου Εὐδοξιάδος
190 Μυστηρίου Ἀμορίου
191 Χρυσίππου πρεσβυτέρου ἐπέχοντος τὸν τόπον Κυριακοῦ ἐπισκόπου Τροκνάδων
192 Λογγίνου Ὀρκιστοῦ
193 Δοκιμασίου Μαρωνείας
194 Σερήνου Μαξιμιανουπόλεως Ῥοδόπης
195 Αἰθερίχου Σμύρνης
196 Εὐσεβίου Κλαζομενῶν

MBPSΦ

2 καβάσσων MPS 4 μίζου B 5 πολεμνίου S 6 γρατιανοῦ BΦᵉ *Gratidio* Φᵃ cf. 3, 126 8 Ἰλιουπόλεως B ἡλιουπόλεως S 9—13 post 14 coll. B 9 om. PS ἀσπόνων B 11 λαγανίας BΦ λασανίας M λυσανίας PS 14 σαγάλων B 17 ἀνδραπόδων MPS, corr. M 19 ἀριαραθίας B 21—23 Ἀδολίου — τόπον om. S 21 ἀραβίστου B 22 πρεσβυτίρου] ἐπισκόπου B 22/23 Δόμνου — τόπον om. MP 24 ναζιαζοῦ MS, corr. M 26 Ἰωνοπόλεως MBP, corr. M Ἰωαννουπόλεως S 27/28 Αἰθερίου — τόπον om. S 28. 29 post 30 coll. B 31 ἐπισκόπου om. B ἀνδριανοπόλεως S 34 ἀμωρίου PS ἀμμωρίου B 35 τρωκνάδων PS 38 σερίνου BPS 40 κλαζομενίων B

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 9/9/15 7:57 AM

197 Κυριακοῦ Αἰγάης
198 Μάμα ᾽Ανινήτου
199 Λεοντίου Μαγνησίας Μαιάνδρου
200 Κοίντου Φωκαίας
201 Πρόκλου ᾽Αργίζων
202 Θωμᾶ Αὐλίου κώμης
203 ᾽Ολυμπίου Θεοδοσιουπόλεως
204 Φιλίππου Νέας αὐλῆς
205 ᾽Ρουφίνου Βριούλων
206 Μαρκελλίνου Μητροπόλεως
207 ῾Ησαίου ᾽Ελαιτῶν
208 Παυλίνου Θεοδοσιουπόλεως
209 ᾽Ιουλιανοῦ ῾Υπαίπων
210 ῾Εσπέρου Πιτάνης
211 Προτερίου Μυρίνης
212 Βασιλικοῦ Παλαιᾶς πόλεως
213 Μαιονίου Νύσης
214 Πέτρου Δαρδάνου
215 Θαλασσίου Παρίου
216 Δανὶδ ᾽Αδριανῶν
217 Εὐλαλίου Πιονίων
218 Πιονίου Τρωιάδος
219 Στεφάνου Ποιμανηνοῦ
220 Θεοσεβίου ᾽Ιλίου
221 ῾Ερμείου ᾽Αβύδου
222 Δανιήλου Λαμψάκου
223 Πατρικίου ᾽Αδριανοῦ θηρῶν
224 Μενεκράτους Κιράσσων
225 Κοσσινίου ῾Ιεροκαισαρείας ἐπέχοντος καὶ τὸν τόπον ᾽Ανδρέου Σατάλων
226 ᾽Ηλία Βλανδοῦ
227 Πολυκάρπου Ταβάλων
228 Πατρικίου ᾽Ακρασσοῦ
229 Παύλου Τριπόλεως
230 ᾽Αμαχίου Σεττῶν
231 Λευκίου Απόλλωνος ἱεροῦ
232 Γεμέλλου Στρατονικείας
233 ᾽Αλκιμήδους Σιλάνδου
234 Διονυσίου ᾽Ατταλείας

MBPSΦ

1 ἐγάησ M γάησ PS τάησ B *Aeges* Φ^{cr} 4 κωίντου BPS 4/5 πρόκλου φωκίασ S 4 φωκείασ M φωκίασ P 5 ὀργίζων P om. S 8 πιασαύλησ B νέασ πόλεωσ P νεαπόλεωσ S 9 ῥοφίνου MPS, corr. M 13 ὑπέπων MBPS 14 *Hesperio* Φ τιτάνησ B 15 μυρρίνησ M^{corr}B *myrene* Φ^{r} *myrrenae* Φ^{a} 16 *Basilisco* Φ 17 μαιωνίου PS νύσσησ B 20 ἀδρεάνων P ἀνδριανῶν S 21 πιονων M^{corr} πονίων B om. MPS *Pionis* Φ 22 πονίου B 23 Ποιμανηνοῦ] τιμαλοῦ B 24 ἡλιοῦ PS Ιουλίου B 25 *Hermio* Φ^{cr} *Ermio* Φ^{a} ἑρμοῦ MPS ἑράμου B 27 ἀνδριανουθήρων S 28 κειράσσων PS 29 κοσινίου MP κοσινίνου S 30 βδάλου B 31 γαβάλων Φ 32 ἀκρασοῦ B ἀκράσσων S 34 σετύων B 36 γεμέλου MPS γεμελλίου B 38. 37 coll. B 37 ἀρκιμίδου B 38 ἀτταλίασ MPS

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 9/9/15 7:57 AM

M VI 576 235 Νικολάου Ἀκαρασσέων ἐπέχοντος καὶ τὸν τόπον Στεφάνου Λιμύρων
236 Ζηνοδότου Τελμισσοῦ
237 Φρόντωνος Φασηλιτῶν
238 Φιλίππου Βαλβουρέων
L IIII 89 239 Θεοδώρου Ἀντιφέλλου
240 Λεοντίου Ἀράξων
241 Ἀντιπάτρου Καύνου
242 Ἀνδρέου Τλωέων
243 Ῥωμανοῦ Βουβονέων
244 Νικίου Μεγάρων
245 Ἀθανασίου Ὀποῦντος
246 Δομνίνου Πλαταιῶν
247 Ὀνησίμου Ἄργους
248 Μάρκου Εὐροίας
249 Περεγρίνου Φοινίκης
250 Εὐτυχίου Ἀδριανουπόλεως
251 Κλαυδίου Ἀνχιάσμου
252 Σωτηρίχου Κερκύρας
253 Διονυσίου Ἀντιοχείας
254 Ἰωάννου Ἀλίνδων
255 Φλακίλλου Ἰασσοῦ
256 Παπίου Ἐρίζων
257 Διονυσίου Ἡρακλείας Λάτμου
258 Μενάνδρου Ἡρακλείας Σαλβάκης
259 Εὐπειθίου Στρατονικείας
260 Ἰωάννου Ἀμαζόνος
261 Τυγχανίου Ἀπολλωνιάδος
262 Θεοδωρήτου Ἀλαβάνδων
263 Ἰωάννου Κνίδου
264 Ἰουλιανοῦ πρεσβυτέρου ἐπέχοντος τὸν τόπον Καλανδίωνος Ἁλικαρνασοῦ
265 Δανιήλου Κάδων
266 Μοδέστου Σεβαστῆς
267 Παύλου Ἀριστίου
268 Εὐλαλίου Σιβλίας
269 Χάρητος Διονυσιουπόλεως
270 Ἰωάννου Τραπεζουπόλεως
271 Γενναδίου Ἀκμονέων
272 Θωμᾶ Θεοδοσιουπόλεως
273 Γενναδίου Μοσσύνων

MBPSΦ

1 ἀκαρασέων B καρασσέων S τὸν τόπον καὶ P τὸν τόπον B λιβύρων B 2 ζηνοδώρου B τελμίσου S τερμίσσου B 4 βαλβουρέων PSΦ^{cr} βαρβουρέων MBΦ^{a} 5 ἀντιφέλων B 8 τλοαίων M τλοέων PS τρωέων B γλωέων Φ 12 πλατεῶν MBP πλατιέων S 14 εὐροίασ B ἐθροίασ M αἰθροίασ P ὀρθροίασ S 16 ἀνδριανουπόλεωσ S 17 κλαδέου MΦ^{r} ανχιασμου M ἀγχιασμοῦ PS ἀγχιέσμου B 20 ἀλύδων B 21 φαρκίλου B ἰάσου B 22 ὁρίζων B 23 λάγμου BPSΦ 24 ἡρακλείου σαρβάκησ B cf. Φ^{r} 25 εὐπιθίου MB 26 ἁμαζῶνοσ M 28 θεοδωρίτου MB^{corr}P λαβανδῶν S 31—p. 64, 3 post p. 64, 23 coll. S 31 κάλων B 32 δομέστου B 33 πάλλου B 34 σιρβίασ B 35 χάριτοσ PS 36 τραπεζοπόλεωσ MPS, corr. M 37 ἀκμωνέων M^{corr}

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 9/9/15 7:57 AM

274 Εὐάνδρου Διοκλείας
275 Γεροντίου Βασιλινουπόλεως
276 Ἀλφειοῦ Μύνδου
277 Θεοκτίστου πρεσβυτέρου ἐπέχοντος τὸν τόπον Διογένους Ὀρθωσιαίων
278 Φιλοθέου πρεσβυτέρου ἐπέχοντος τὸν τόπον Ζωτικοῦ Ἀριασσοῦ
279 Μείρου Εὐλάνδρων
280 Λουκιανοῦ Ἴψου
281 Φιλίππου Λυσιάδος
282 Ἐπιφανίου Μιδαείου
283 Ἀβερκίου Ἱεραπόλεως
284 Κυριακοῦ Εὐκαρπίας
285 Εὐστοχίου Δοκιμίου
286 Ἀκύλου Αὐρόκρων
287 Βασιλείου Νακωλείας
288 Στρατηγίου Πολυβώτου M VI 577
289 Νεοπτολέμου Κόρνων
290 Παύλου Δέρβης
291 Πλουτάρχου Λύστρων
292 Εὐγενίου Κάνων
293 Ῥούφου Ὕδης
294 Τυράννου Οὐμανάδων
295 Ἀχολίου Λαράνδων L IIII 92
296 Εὐτροπίου Ἀδάδων
297 Παύλου Φιλομηλίου
298 Παυλίνου Ἀπαμείας
299 Θεοτέκνου Τυραείου
300 Ἑορτικίου Μητροπόλεως
301 Κύρου Σινιάνδου
302 Λιβανίου Παρλάου
303 Ἀλεξάνδρου Σελευκείας
304 Ὀλυμπίου Σωζοπόλεως
305 Φοντηιανοῦ Σαγαλασσοῦ
306 Ἀδήλου χωρεπισκόπου ἐπέχοντος τὸν τόπον Μεσσαλίνου ἐπισκόπου Λαοδικείας
307 Βασσωνᾶ Νέας πόλεως
308 Φλωρεντίου Ἀδριανουπόλεως
309 Μωιανοῦ Λιμένου
310 Εὐελπίστου χωρεπισκόπου ἐπέχοντος τὸν τόπον Φλωρεντίου ἐπισκόπου Τενέδου

MBPS Φ

1 εὐανδρίου B 2 βασιλειδουπόλεως B 4 ὀρθωσιέων P ὀρθοσιαίων M ὀρθοσιέων B ὀρθασιέων S 5 ἑλιασσοῦ B 6—8 om. PS 6 μέρου B εὐλάδρων M 7 εἴψοῦ M 9 μιδαΐου MPS μηδαΐου B 10 ἱεροπόλεωσ M 13 εὐρόκλων B 14 νακολίασ M νακολείασ PS 15 πολυβάτου MPS, corr. M πολυβήτου B 17 βέρβησ B 20 οἰδησ MPS 21 οὐμανάδων MP εὐμανάδων S μανάδων M^{corr} οὐμάδων B 22 ἀσχολίου B λαδάρων B 24 φιλομιλίου MPS 25 παυλίνου B 3, 1^{160}. 4, 1^{160}. 6, 1^{278} μυλίνου MPS Φ 26 τυραίου M τυρέου PS ταυρέου B 28 ἐνιάνδρου B 29 λιβάνου MPS παρλάου MB παρπαζλάου P παρπαλάου S 32 om. PS φροντινιανοῦ B *frontisiano* Φ σαγαλάσου B 33 *adilo* Φ αδήτου MPS ἀδόλου B μεσσαλίου M μεσαλίου PS μεσαλίνου B 34 βασωνᾶ M βασσών PS νεαπόλεωσ B 35 ἀνδριανουπόλεωσ S 36 μωιανοῦ MPS $Φ^a$ μουιανοῦ B *maiano* $Φ^{cr}$

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 9/9/15 7:57 AM

311 Σωτηρᾶ Θεοδοσιανῆς ἐπέχοντος τὸν τόπον καὶ Ἡλίου ἐπισκόπου Ἀμαθοῦντος καὶ Προεχίου ἐπισκόπου Ἀρσινόης
312 Ἐπαφροδίτου Ταμάσσου ἐπέχοντος τὸν τόπον καὶ Διδύμου ἐπισκόπου Λαπύθου
313 Διονυσίου διακόνου ἐπέχοντος τὸν τόπον Φωτεινοῦ ἐπισκόπου Κύθρων
314 Ἰωάννου Μεσσήνης
315 Ὠφελίμου Τεγέας
316 Εἰρηναίου Ναυπάκτου
317 Κυρίλλου Σούβριτος
318 Γενναδίου Κνωσσοῦ
319 Εὐσεβίου Ἀπολλωνίας
320 Δημητρίου Λάππης
321 Εὐφράτου Ἐλευθέρνης ἐπέχοντος τὸν τόπον καὶ Παύλου ἐπισκόπου Καντάνου
322 Σώιζοντος Φιλίππων
323 Εὐσεβίου Δουβήρων
324 Μαξιμίνου Σερρῶν
325 Νικολάου Στοβῶν
326 Δαρδανίου Βαργάλων
327 Ἰωάννου Παρθικουπόλεως
328 Ὀνωράτου Θάσου
329 Θεοφίλου Ἀριεσσοῦ
330 Νέωνος Σιλλύου
331 Διοδότου Λυσινέων
332 Μάρα Κοδραύλων
333 Παύλου Πούγλων
334 Μαρκελλίνου Ἰσίνδων
335 Μακεδόνος Μαγύδου
336 Εὐδοξίου Ἐτέννων
337 Εὐγενίου Κοτέννων
338 Μαρκελλίνου Κοραλλίας
339 Ὀβρίμου Κορακησίου
340 Πέτρου Ἐχιναίου
341 Αὐρηλίου Ἄφρου
342 Εὐσταθίου ἔθνους Σαρακηνῶν
M VI 580 343 Ῥεστιτιανοῦ Ἄφρου
Πάντες οἱ συναχθέντες ἐπίσκοποι ἐν Χαλκηδόνι *

L IIII 93 **4** καὶ καθεσθέντων τῶν μεγαλοπρεπεστάτων καὶ ἐνδοξοτάτων ἀρχόντων καὶ τῆς ὑπερφυοῦς συγκλήτου ἐν τῶι μέσωι πρὸ τῶν καγκέλλων τοῦ ἁγιωτάτου

MBPS Φ

1 ἡλιάδου B 2 προσεχίου B προερχίου S ἐπισκόπου om. B 3 ταμάσου BPS λαπίθου B 4 φωτίνου M φωτίου B 5 μεσήνης BPS 8 σούβρητος P 9 κνώσου MP, corr. M κνοσοῦ S 11 Λάππης Φ^{r} πάλπης MPS λάμπης BΦ^{ac} 12 ἐλευθερίνης B κατάνης PS 14 δουμήρων S δεβήρων B 17 γαρβάλων B 18 παρθικοπόλεως B 19 θάσσου MPS θαλοῦ B 20 ἀριέσου B 21 σιλύου B 23 κοδρύλων B *cf.* Φ 24 ποίλων B *pollis* Φ^{ac} *pollorum* Φ^{r} 25 Ἰσίνων B Ἰσσηδόνος PS 26 μαρτύρων B 27 post 25 coll. Φ^{ac} ἑπτῶν B 28 κοτένων B 29 μαρκελλίνου BΦ μαρκιανοῦ MPS κεραλίας B 30 ὀμβρίμου B cf. notam Rustici 31 ἐχηναίου P ἐχηναίων S 34 *Restitiano* Φ ῥεστιγιανοῦ MPS cf. notam Rustici ἀρεστιανοῦ B 35 om. B χαλκηδόνι P καλχηδόνι M χαλκηδόνι χλ S, qua lectione demonstratur uerum numerum propter ficticium [cf. Timotheum Aelurum apud Lebon, le monophysisme séuérien p. 104] eiectum esse, *CCCLIII* Φ 37 ὑπερφυεστάτης MPS συνκλήτου S

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 9/9/15 7:57 AM

θυσιαστηρίου, καὶ ἐκ μὲν τοῦ εὐωνύμου αὐτῶν μέρους καθεσθέντων τῶν ὁσιωτάτων τοποτηρητῶν τοῦ θεοφιλεστάτου καὶ ἁγιωτάτου ἀρχιεπισκόπου τῆς πρεσβυτέρας Ῥώμης Λέοντος καὶ Ἀνατολίου τοῦ θεοσεβεστάτου ἀρχιεπισκόπου τῆς βασιλευούσης Κωνσταντινουπόλεως καὶ Μαξίμου τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἀντιοχείας καὶ Θαλασσίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Καισαρείας καὶ Στεφάνου τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἐφέσου καὶ τῶν λοιπῶν εὐλαβεστάτων ἐπισκόπων τῆς τε Ἀνατολικῆς καὶ Ποντικῆς καὶ Ἀσιανῆς καὶ Θραικικῆς τῶν διοικήσεων ἄνευ τῶν Παλαιστηνῶν, ἐκ δὲ τοῦ δεξιοῦ αὐτῶν μέρους ὁμοίως καθεσθέντων Διοσκόρου τοῦ εὐλαβεστάτου ἀρχιεπισκόπου Ἀλεξανδρείας καὶ Ἰουβεναλίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἱεροσολύμων καὶ Κυντίλλου τοῦ εὐλαβεστάτου ἐπισκόπου τοποτηροῦντος Ἀναστασίῳ τῷι εὐλαβεστάτωι ἐπισκόπωι Θεσσαλονίκης καὶ Πέτρου τοῦ εὐλαβεστάτου ἐπισκόπου Κορίνθου καὶ τῶν λοιπῶν τῶν τε τῆς Αἰγυπτιακῆς διοικήσεως καὶ τοῦ Ἰλλυρικοῦ, ἔτι μὴν καὶ τῶν Παλαιστηνῶν εὐλαβεστάτων ἐπισκόπων, προκειμένου ἐν τῶι μέσωι τοῦ ἁγιωτάτου καὶ ἀχράντου εὐαγγελίου,

* * * τούτων τοίνυν Ἑλληνιστὶ ἑρμηνευθέντων διὰ Βερονικιανοῦ τοῦ καθωσιωμένου σηκρηταρίου τοῦ θείου κονσιστωρίου

5 Πασκασῖνος ὁ εὐλαβέστατος ἐπίσκοπος καὶ φύλαξ τοῦ ἀποστολικοῦ θρόνου, ὡς ἔστη ἐν μέσωι μετὰ καὶ τῶν συνελθόντων αὐτῶι, ἔφη· Τοῦ μακαριωτάτου καὶ ἀποστολικοῦ ἐπισκόπου τῆς Ῥωμαίων πόλεως κεφαλῆς ὑπάρχοντος πασῶν τῶν ἐκκλησιῶν προστάξεις M VI 581 ἔχομεν ἐν αἷς κατηξίωσεν διαλαλῆσαι ὅπως Διόσκορος μὴ συγκαθεσθῆι τῶι συνεδρίωι, εἰ δὲ ἐπιχειρήσοι τοῦτο τολμῆσαι, ἐκβληθείη. τοῦτο ἀναγκαῖον ἡμᾶς παραφυλάξαι. εἰ παρίσταται τοίνυν τῆι ὑμετέραι μεγαλειότητι, ἢ ἐκεῖνος ἐξέλθηι ἢ ἡμεῖς ἔξιμεν.

6 Οἱ ἐνδοξότατοι ἄρχοντες καὶ περιφανέστατοι συγκλητικοὶ εἶπον· Ποία γὰρ ἰδικὴ μέμψις ἐπάγεται Διοσκόρωι τῶι εὐλαβεστάτωι ἐπισκόπωι;

7 Πασκασῖνος ὁ εὐλαβέστατος ἐπίσκοπος καὶ φύλαξ τοῦ ἀποστολικοῦ θρόνου εἶπεν· Αὐτοῦ εἰσελθόντος ἀναγκαῖόν ἐστιν ἐκείνωι ἀντιτεθῆναι.

8 Οἱ λαμπρότατοι ἄρχοντες καὶ περιφανέστατοι συγκλητικοὶ εἶπον· Κατὰ τὰ ἤδη L IIII 96 διαλαληθέντα ἰδικῶς ἡ αἰτία φανερούσθω ἐν ἧι ὑπόκειται.

9 Λουκίνσιος ὁ εὐλαβέστατος ἐπίσκοπος ἐπέχων τὸν τόπον τῆς ἀποστολικῆς καθέδρας εἶπεν· Τῆς ἰδίας κρίσεως λόγον ἀποδότω. πρόσωπον γὰρ ἦρπασεν τοῦ κρίνειν, ὅπερ οὐκ ἐκέκτητο· σύνοδον ἐτόλμησεν ποιῆσαι ἐπιτροπῆς δίχα τοῦ ἀποστολικοῦ θρόνου, ὅπερ οὐδέποτε γέγονεν οὐδὲ ἐξὸν γενέσθαι.

10 Πασκασῖνος ὁ εὐλαβέστατος ἐπίσκοπος ἐπέχων τὸν ἀποστολικὸν θρόνον εἶπεν· Ἡμεῖς ὑπεναντίον τῶν προσταγμάτων τοῦ μακαριωτάτου καὶ ἀποστολικοῦ ἐπισκόπου

30—32 ipsa Latina uerba praebet Rusticus in nota

MBPSΦ

1 μέρουσ αὐτῶν B 3 θεοσεβεστάτου MPΦ θεοφιλεστάτου BS 4 βασιλίδοσ B 5 ἀρχιεπισκόπου B 6 ἐπισκόπου om. M ἐφέσων PS 7 ἀνατολῆσ S 10 ἐπισκόπου² om. B 11 Ἀναστασίωι om. B 12 λοιπῶν] λοιπῶν εὐσεβεστάτων ἐπισκόπων B τῶν τε τῆσ MPS τῆσ τε B 14 ἀχράντου καὶ ἁγιωτάτου S 15/16 τούτων — κονσιστωρίου om. M 15 τούτων τοίνυν PS οἱ ῥωμαῖοι ἀναστάντες διελάλησαν τῶν οὖν διαλαληθέντων B; asteriscos posui loco interlocutionis Latinae, cuius interpretationem postea intrusam esse proditur constructione inter 16 κονσιστωρίου et 23 οἱ ἐνδοξότατοι interrupta βερινικιανοῦ S 17 πασκάσιοσ B πασχασῖνοσ PS καὶ om. MPS ὡς om. PS 18 τῶ μέσω B 21 ἐπιχειρήσει S ὑμᾶσ B 22 ἢ om. B ἐξέλθοι M 23 ἰδικὴ] ἢ δίκη ἢ B 25 πασκάσιοσ B πασχασῖνοσ PS 26 ἐκείνω ἀντιτεθῆναι MPS ἡμᾶσ ἐξελθεῖν B 27 καὶ οἱ B κατὰ om. MPS, corr. M 31 οὐ κέκτητο S σύνοδον B nota Rustici καὶ σύνοδον MPSΦ τοῦ] τῆσ S 32 οὐδὲ — γενέσθαι om. B 33 πασκάσιοσ B πασχασῖνοσ PS

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 9/9/15 7:57 AM

καὶ χειρίζοντος τὸν ἀποστολικὸν θρόνον ἐλθεῖν οὐ δυνάμεθα οὔτε μὴν ὑπεναντίον τῶν ἐκκλησιαστικῶν κανόνων ἢ πατρικῶν παραδόσεων.

11 Οἱ λαμπρότατοι ἄρχοντες καὶ περιφανέστατοι συγκλητικοὶ εἶπον· Ἁρμόζει ὑμᾶς ἰδικῶς τί ἔπταισεν, σαφηνίσαι.

12 Λουκίνσιος ὁ εὐλαβέστατος ἐπίσκοπος καὶ τὸν ἀποστολικὸν θρόνον ἐπέχων ἔφη· Οὐχ ὑπομένομεν τοσαύτην ὕβριν γενέσθαι ὑμῖν τε καὶ ἡμῖν, ὥστε καθεσθῆναι τοῦτον τὸν ἐπὶ κρίσει παραγενόμενον.

13 Οἱ λαμπρότατοι ἄρχοντες καὶ περιφανέστατοι συγκλητικοὶ εἶπον· Εἰ δικαστοῦ ἐπέχεις πρόσωπον, ὡς δικαζόμενος οὐκ ὀφείλεις δικαιολογεῖσθαι.

14 Καὶ Διοσκόρου τοῦ εὐλαβεστάτου ἐπισκόπου Ἀλεξανδρείας κατὰ κέλευσιν τῶν ἐνδοξοτάτων ἀρχόντων καὶ τῆς ἱερᾶς συγκλήτου καθεσθέντος ἐν τῶι μέσωι καὶ καθεσθέν-
M VI 584 των τῶν Ῥωμαίων εὐλαβεστάτων ἐπισκόπων ἐν τοῖς ἰδίοις τόποις καὶ ἡσυχασάντων, Εὐσέβιος ὁ εὐλαβέστατος ἐπίσκοπος τῆς Δορυλαέων πόλεως παρελθὼν ἐν τῶι μέσωι εἶπεν· Τὴν σωτηρίαν ὑμῖν τῶν δεσποτῶν τῆς οἰκουμένης, κελεύσατε τὰς δεήσεις τὰς ἐμὰς ἀναγνωσθῆναι, καθὼς παρέστη τῶι εὐσεβεστάτωι βασιλεῖ. ἠδίκημαι παρὰ Διοσκόρου· ἠδίκηται ἡ πίστις· ἐφονεύθη Φλαβιανὸς ὁ ἐπίσκοπος· ἅμα ἐμοὶ καθηιρέθη ἀδίκως παρ' αὐτοῦ. κελεύσατε τὰς δεήσεις μου ἀναγνωσθῆναι.

15 Οἱ ἐνδοξότατοι ἄρχοντες καὶ ἡ ὑπερφυὴς σύγκλητος εἶπον· Ἀναγινωσκέσθωσαν αἱ δεήσεις.

Καὶ καθεσθέντος ἐν τῶι μέσωι Εὐσεβίου τοῦ εὐλαβεστάτου ἐπισκόπου κατὰ κέλευσιν πάντων Βερονικιανὸς ὁ καθωσιωμένος σηκρητάριος τοῦ θείου κονσιστωρίου λαβὼν παρ' αὐτοῦ τὰς δεήσεις ἀνέγνω

16 Τοῖς φιλοχρίστοις καὶ εὐσεβεστάτοις βασιλεῦσιν ἡμῶν Φλαβίοις Βαλεντινιανῶι καὶ Μαρκιανῶι τοῖς αἰωνίοις αὐγούστοις παρὰ Εὐσεβίου τοῦ ἐλαχίστου ἐπισκόπου Δορυλαίου ποιουμένου τὸν λόγον ὑπέρ τε ἑαυτοῦ καὶ τῆς ὀρθοδόξου πίστεως καὶ ὑπὲρ τοῦ ἐν ὁσίοις Φλαβιανοῦ τοῦ γενομένου ἐπισκόπου Κωνσταντινουπόλεως. Σκοπὸς τῶι ὑμετέρωι κράτει ἁπάντων μὲν τῶν ὑπηκόων προνοεῖν καὶ χεῖρα ὀρέγειν ἅπασιν τοῖς ἀδικουμένοις, μάλιστα δὲ τῶν εἰς ἱερωσύνην τελούντων, καὶ ἐν τούτωι τὸ θεῖον θεραπεύοντες, παρ' οὗ τὸ βασιλεύειν ὑμῖν καὶ κρατεῖν τῶν ὑφ' ἡλίωι δεδώρηται. ἐπεὶ οὖν πολλὰ καὶ δεινὰ καὶ παρὰ πᾶσαν ἀκολουθίαν ἡ εἰς Χριστὸν πίστις καὶ ἡμεῖς πεπόνθαμεν παρὰ
L III 97 Διοσκόρου τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Ἀλεξανδρέων μεγαλοπόλεως, πρόσιμεν τῆι ὑμετέραι εὐσεβείαι τῶν δικαίων ἀξιοῦντες τυχεῖν. τὰ δὲ τοῦ πράγματος ἐν τούτοις. ἐπὶ τῆς ἔναγχος γενομένης συνόδου ἐν τῆι Ἐφεσίων μητροπόλει, ἣν ὄφελόν γε ἦν μὴ γενέσθαι, ἵνα μὴ κακῶν καὶ ταραχῆς τὴν οἰκουμένην ἐμπλήσηι, ὁ χρηστὸς Διόσκορος παρ' οὐδὲν θέμενος τὸν τοῦ δικαίου λόγον καὶ τὸν τοῦ θεοῦ φόβον, ὁμόδοξος ὢν καὶ ὁμόφρων Εὐτυχοῦς τοῦ ματαιόφρονος καὶ αἱρετικοῦ, λανθάνων δὲ τοὺς πολλούς, ὡς

14—17 pleniorem interlocutionis formam praebet Rusticus in notis

MBPSΦ

2 καὶ B 4 τί — σαφηνίσαι] τὴν αὐτοῦ πλάνην ἐκθέσθαι B 5 λουκήνσιος M ἐπέχων θρόνον S 6 ὑμῖν — ἡμῖν BΦ ἡμῖν — ὑμῖν MPS 8 εἰ] εἰ φυλάττεις τὸ πρόσωπον τοῦ ἄρχοντος οὐκ ὀφείλεις ὡς κριτὴς ἀποφαίνεσθαι εἰ B 10 καὶ MSΦ^{cr} τούτων [pertinet ad interlocutiones legatorum Romanorum] τοίνυν ἑρμηνευθέντων διὰ βερονικιανοῦ τοῦ καθωσιωμένου μαγιστριανοῦ καὶ σηκρηταρίου τοῦ θείου συνεδρίου καὶ B cf. Φ^{a} 13 δορυλλαίων B 15 παρέστην M^{corr} 16 ὁ om. M καθήρηται B 18 ὑπερφυεστάτη B εἶπεν MPS 22 ἀνέγνω λαβὼν — δεήσεις B 23 ἔγκλησις κατὰ διοσκόρου S in mg. φλαυβίοις MPS οὐαλεντινιανῶ B 25 δορυλλαίου MBPS, corr. M αὐτοῦ B 27 πᾶσι B 28 τούτω γὰρ B 28/29 θεραπεύεται B 29 τὸ] τῶ S 30 καὶ^{2} om. B 33 ἐπὶ] ἐπεὶ M ὤφελόν S γε BP τε MS 36 ἕως B

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 9/9/15 7:57 AM

ὕστερον ἑαυτὸν ἐφανέρωσεν, εὑρὼν καιρὸν τὴν γεγενημένην παρ' ἐμοῦ κατὰ Εὐτυχοῦς τοῦ ὁμοδόξου αὐτοῦ κατηγορίαν καὶ τὴν ἐπ' αὐτῶι ἐξενεχθεῖσαν ψῆφον παρὰ τοῦ τῆς ὁσίας μνήμης Φλαβιανοῦ τοῦ ἐπισκόπου, πλῆθος ἀτάκτων ὄχλων συναγαγὼν καὶ δυνα- M VI 585
στείαν ἑαυτῶι διὰ χρημάτων πορισάμενος, τήν τε εὐσεβῆ θρησκείαν τῶν ὀρθοδόξων τό γε ἧκον εἰς αὐτὸν ἐλυμήνατο καὶ τὴν κακοδοξίαν Εὐτυχοῦς τοῦ μονάζοντος, ἥτις ἄνωθεν καὶ ἐξ ἀρχῆς παρὰ τῶν ἁγίων πατέρων ἀπεκηρύχθη, ἐβεβαίωσεν. ἐπεὶ οὖν οὐ μικρὰ τὰ τετολμημένα αὐτῶι κατά τε τῆς εἰς Χριστὸν πίστεως καὶ καθ' ἡμῶν, δεόμεθα καὶ προσπίπτομεν τῶι ὑμετέρωι κράτει θεσπίσαι τὸν εὐλαβέστατον ἐπίσκοπον Διόσκορον ἀπολογήσασθαι τοῖς παρ' ἡμῶν αὐτῶι ἐπαγομένοις, δηλαδὴ τῶν παρ' αὐτοῦ καθ' ἡμῶν πεπραγμένων ὑπομνημάτων ἀναγινωσκομένων ἐπὶ τῆς ἁγίας συνόδου, δι' ὧν δυνάμεθα ἀποδεῖξαι αὐτὸν καὶ ἀλλότριον ὄντα τῆς ὀρθοδόξου πίστεως καὶ αἱρεσιν ἀσεβείας πεπληρωμένην κρατύναντα καὶ ἀδίκως ἡμᾶς καθελόντα καὶ τὰ δεινὰ ἡμᾶς κατεργασάμενον, θείων καὶ προσκυνουμένων ὑμῶν μανδάτων καταπεμπομένων τῆι ἁγίαι καὶ οἰκουμενικῆι συνόδωι τῶν θεοφιλεστάτων ἐπισκόπων, ἐφ' ὧι τε ἡμῶν καὶ τοῦ προειρημένου Διοσκόρου διακοῦσαι καὶ ἀνενεγκεῖν εἰς γνῶσιν τῆς ὑμετέρας εὐσεβείας πάντα τὰ πραττόμενα πρὸς τὸ παριστάμενον τῆι ἀθανάτωι ὑμῶν κορυφῆι. καὶ τούτου τυχόντες ἀδιαλείπτους εὐχὰς ἀναπέμψομεν ὑπὲρ τοῦ αἰωνίου ὑμῶν κράτους, θειότατοι βασιλεῖς.

17 Οἱ ἐνδοξότατοι ἄρχοντες καὶ ἡ ὑπερφυὴς σύγκλητος εἶπον· Διαλυέσθω τὰ ἐπαγόμενα.

18 Διόσκορος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Ἐκέλευσεν ὁ εὐσεβέστατος βασιλεὺς σύνοδον συγκροτηθῆναι, καὶ δὴ συγκεκρότηται κατὰ θεῖον νεῦμα τοῦ εὐσεβεστάτου βασιλέως ἡμῶν. περὶ δὲ τῶν πεπραγμένων διὰ τὸν γενόμενον ἐπίσκοπον τῆς Κωνσταντινουπόλεως ἁγίας ἐκκλησίας Φλαβιανὸν ὑπομνήματά εἰσι πεπραγμένα ἐν τῆι ἁγίαι συνόδωι καὶ παρακαλῶ ταῦτα ἀναγνωσθῆναι.

19 Εὐσέβιος ὁ εὐλαβέστατος ἐπίσκοπος Δορυλαίου εἶπεν· Τὰ αὐτὰ καὶ ἡμεῖς ἐξαιτοῦμεν.

20 Οἱ ἐνδοξότατοι ἄρχοντες καὶ ἡ ὑπερφυὴς σύγκλητος εἶπον· Πάντα τὰ ἐν τῆι ὑποθέσει ταύτηι παρακολουθήσαντα κατὰ τάξιν ἀναγινωσκέσθω.

21 Καὶ πρὸ τῆς ἀναγνώσεως Διόσκορος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Παρακαλῶ τὴν ὑμετέραν μεγαλοπρέπειαν ἐν πρώτοις τὰ τῆς πίστεως γυμνασθῆναι.

22 Οἱ ἐνδοξότατοι ἄρχοντες καὶ ἡ ὑπερφυὴς σύγκλητος εἶπον· Τέως πρὸς τὴν κατηγορίαν ἀποκρίνασθαί σε προσήκει· ὅθεν περίμεινον τὴν τῶν πεπραγμένων γενέσθαι ἀνάγνωσιν, ὅπερ καὶ αὐτὸς γενέσθαι ἐξήιτησας.

23 Κωνσταντῖνος ὁ καθωσιωμένος σηκρητάριος τοῦ θείου κονσιστωρίου εἶπεν· Ἔστι τὰ θεῖα γράμματα τὰ διαφόρως ἀποσταλέντα περὶ τῆς συνόδου τῆς πρώην γενομένης μετὰ χεῖρας καὶ ἀναγνώσομαι.

Καὶ ἀπὸ κώδικος ἀνέγνω

MBPSΦ

3/4 πορισάμενοσ ἑαυτῶ δυναστείαν διὰ χρημάτων B 7 αὐτῶι om. B 7/8 προσπίπτωμεν MS 9 ἐπιφερομένοισ B καθ' ἡμῶν παρ' αὐτοῦ B 11 δεῖξαι B καὶ om. B ὄντα om. B 12 εἰσ ἡμᾶσ PS ἡμῖν B 14 τε ἡμῶν MPS ἡμῶν τε B 14/15 προηρημένου M 17 ἀναπέμψωμεν M 18 εἶπεν MPS 20 ἀπόκρισισ διοσκόρου S in mg. ἀρχιεπίσκοποσ B 21 συγκεκρότηται BΦ συγκροτεῖται MPS 23 τῆς om. B 25 δορυλλαίου BPS 27 εἶπεν MPS 28 ἀναγινωσκέσθωσαν B 29 Ἀλεξανδρείας om. S 30 εὐπρέπειαν B 31 ὑπερφυεστάτη B εἶπεν MPS 32 γενέσθαι om. B 33 ἐξήτησασ γενέσθαι B 34 μαγιστριανὸσ καὶ σηκρητάριοσ B κονσειστορίου M κονσισταρίου S εἶπεν: περὶ τῆσ ἐν ἐφέσω δευτέρασ λέγει συνόδου M 35 παρὰ PS 36 ἐπὶ PS ἀναγνωσόμεθα B

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 9/9/15 7:57 AM

L VI 100 M VI 588 'Ο τῆς θείας λήξεως Θεοδόσιος Διοσκόρωι τῶι εὐλαβεστάτωι ἐπισκόπωι 'Αλεξανδρείας

24 Αὐτοκράτορες Καίσαρες Θεοδόσιος καὶ Οὐαλεντινιανὸς νικηταὶ τροπαιοῦχοι μέγιστοι ἀεισέβαστοι αὔγουστοι Διοσκόρωι. Ἅπασι δῆλον καθέστηκεν ὅτιπερ ἡ τῆς ἡμετέρας πολιτείας κατάστασις καὶ πάντα τὰ ἀνθρώπινα τῆι περὶ τὸ θεῖον εὐσεβείαι συνέχεταί τε καὶ κρατύνεται καὶ τοῦ κρείττονος εὐμενοῦς τυγχάνοντος δεξιῶς καὶ κατὰ γνώμην προβαίνειν πέφυκεν καὶ διοικεῖσθαι τὰ πράγματα. βασιλεύειν τοίνυν παρὰ τῆς θείας λαχόντες προνοίας, τῆς τῶν ὑπηκόων εὐσεβείας τε καὶ εὐπραγίας ἀναγκαίως πλείστην ὅσην φροντίδα ποιούμεθα, ὥστε καὶ τὴν ἀληθῆ θρησκείαν καὶ τὴν καθ' ἡμᾶς πολιτείαν τῆι περὶ τὸ κρεῖττον εἰλικρινεῖ θεραπείαι τε καὶ εὐσεβείαι συγκροτουμένας ἐκλάμπειν. ἐπὶ τοῦ παρόντος τοίνυν ἀνακυψάσης ἐξαίφνης ἀμφιβολίας τινὸς εἰς τὴν τοῦ καθολικοῦ καὶ ἀποστολικοῦ δόγματος τῆς ἡμετέρας ὀρθοδόξου πίστεως παραφυλακήν, ἥτις, ὡς εἰκός, διαφόροις ἐννοίαις ἀνθέλκουσα διαταράττει καὶ συγχεῖ τὰς τῶν ἀνθρώπων αἰσθήσεις τε καὶ ψυχάς, οὐκ ἀνεκτὸν νομίσαντες τὸ τοιοῦτον ἀτόπημα παριδεῖν, ὡς ἂν μὴ τοῦτο παροφθὲν εἰς ὕβριν αὐτοῦ τοῦ κρείττονος ἀνατρέχειν δόξειεν, ἐθεσπίσαμεν κατὰ ταυτὸν συνελθόντων ὁσιωτάτων καὶ θεοφιλεστάτων ἀνδρῶν, οἷς πλεῖστος εὐσεβείας τε καὶ τῆς ὀρθοδόξου καὶ ἀληθινῆς πίστεως λόγος καθέστηκεν, πᾶσαν μὲν τοιαύτην ἀκριβοῦς ζητήσεως προτεθείσης διαλυθῆναι ματαίαν ἀμφισβήτησιν, τὴν δὲ ἀληθινὴν καὶ τῶι θεῶι φίλην, τουτέστι τὴν ὀρθόδοξον κρατυνθῆναι πίστιν. καὶ ἡ σὴ τοιγαροῦν ὁσιότης προσλαβοῦσα σὺν ἑαυτῆι δέκα μὲν εὐλαβεστάτους ἐπισκόπους τῶν ὑπὸ τὴν αὐτὴν διοίκησιν μητροπολίτας, ἑτέρους δὲ δέκα ὁσιωτάτους ἐπισκόπους λόγωι τε καὶ βίωι κεκοσμημένους, ὀρθότητι καὶ τῆς ἁπλανοῦς καὶ ἀληθινῆς πίστεως εἰδήσει τε καὶ διδασκαλίαι παρὰ
d. 1. m. Aug. a. 449 πᾶσιν ἐκλάμποντας, ταῖς πλησίον Καλάνδαις Αὐγούσταις τὴν Ἐφεσίων μητρόπολιν τῆς 'Ασίας καταλαβεῖν ἀνυπερθέτως σπουδάσει, μηδενὸς ἑτέρου δηλαδὴ παρὰ τοὺς προειρημένους τῆι ἁγιωτάτηι συνόδωι παρενοχλήσοντος, ὡς ἂν πάντων ὁμοῦ τῶν ὁσιωτάτων καὶ θεοφιλεστάτων ἐπισκόπων, οὓς συνελθεῖν διὰ θείων ἡμῶν συλλαβῶν ἐθεσπίσαμεν, κατὰ τὴν προγεγραμμένην συνδραμόντων πόλιν καὶ ἀκριβεστάτην προθέντων ἔρευνάν τε καὶ ζήτησιν πᾶσα μὲν ἐκποδὼν σκαιὰ γένηται πλάνη, κρατυνθείη δὲ καὶ συνήθως ἐκλάμψοι τὸ τῆς ὀρθοδόξου καὶ ἀληθινῆς καὶ προσφιλεστάτης τῶι σωτῆρι ἡμῶν Χριστῶι
M VI 589 πίστεως δόγμα, ὅπερ ἅπαντες εἰς τὸν ἔπειτα χρόνον ἀρραγὲς καὶ ἀσάλευτον παραφυλάξουσιν εὐμενοῦς ὄντος τοῦ κρείττονος. εἰ δέ τις τὴν οὕτως ἀναγκαίαν καὶ τῶι θεῶι φίλην παριδεῖν ἕλοιτο σύνοδον καὶ μὴ πάσηι δυνάμει κατὰ τὸν προειρημένον καιρὸν τὸν ἀφορισθέντα καταλάβοι τόπον, οὐδεμίαν μὲν ἕξει πρὸς τὸ κρεῖττον ἢ πρὸς τὴν ἡμετέραν εὐσέβειαν ἀπολογίαν, ἱερατικὴν δὲ παραιτούμενος συλλογὴν οὐκ ἀγαθῶι συνειδότι

Sacrae praeter Φ extant tres uersiones ex ipsis concilii Epheseni gestis desumptae, una Latina in Collectione Nouariensi de re Eutychiana 10, 1 [Λ^n] et duae Syriacae, altera [Σ] in Gestis concilii illius [Abhdlg. d. Gött. Ges. d. Wiss. N. F. XVI p. 2. 4], altera apud Timotheum Aelurum in codice Mus. Brit. add. 12156 f. 52a

---

MB, P [usque ad 20 δέκα], p [inde a 20 ὁσιωτάτους], SΦΛ^nΣ

1 ἐπιστολὴ θεοδοσίου καὶ οὐαλεντινιανοῦ πρὸς διοσκόρον ἐπίσκοπον ἀλεξανδρείασ S^{mg} ὁ — ἀλεξανδρείασ MPSΦ om. BΛ^nΣ Tim. 2 Καίσαρες om. BΛ^n 5 τε om. B 7 εὐσεβείας] εἰρήνης Σ 9 εἰλικρινεῖ om. B συγκροτουμένην B 10 καὶ ἐπὶ BΣ ἐξαίφνης om. B 12 τε καὶ M συνέχει MPS, corr. M 14 δόξοιεν S δόξη B 16 καὶ ἀληθινῆς om. B 17 προτεθείσης ζητήσεωσ B τῶι om. B 18 τὴν om. B 19 προλαβοῦσα S μὲν] μόνους Λ^n 20 βίου Σ 21 καὶ^1 om. B Tim. ἀληθοῦσ B ἔτι τε εἰδήσει B καὶ διδασκαλίαι om. B 22 πάντας ΣΦ^r 23 σπουδάσει ἀνυπερθέτωσ B 24 παρενοχλήσαντοσ S 26 πόλιν] πίστιν B 27 τε om. B 28 ἐκλάμψει S ἐκλάμψη B 29 μετέπειτα B 30 τῶι om. B 31 ὑπεριδεῖν B τὸν καιρὸν τὸν προειρημένον B 32 καταλάβη B καταλάβοιτο M καταλάβοι τὸν M^{corr}

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 9/9/15 7:57 AM

τὴν ψυχὴν ἀναγκαίως πληγήσεται. Θεοδώρητον μέντοι τὸν ἐπίσκοπον Κύρου τῆς πόλεως, ὃν ἤδη ἐκελεύσαμεν τῇι ἰδίαι αὐτοῦ μόνηι ἐκκλησίαι σχολάζειν, θεσπίζομεν μὴ πρότερον ἐλθεῖν εἰς τὴν ἁγίαν συνόδον, ἐὰν μὴ πάσηι τῇι ἁγίαι συνόδωι συνελθούσηι δόξηι καὶ αὐτὸν παραγενέσθαι καὶ κοινωνὸν γενέσθαι τῆς αὐτῆς ἁγίας συνόδου· εἰ δὲ περὶ αὐτοῦ διχόνοιά τις ἀνακύψοι, χωρὶς αὐτοῦ τὴν ἁγίαν σύνοδον συνελθεῖν καὶ τυπῶσαι τὰ κελευσθέντα προστάττομεν. L IIII 101

Ἐδόθη τῇι πρὸ τριῶν Καλανδῶν Ἀπριλίων ἐν Κωνσταντινουπόλει μετὰ τὴν ὑπατείαν Ζήνωνος καὶ Ποστουμιανοῦ τῶν λαμπροτάτων d. 30. m. Mart. a. 449

25 Κωνσταντῖνος ὁ καθωσιωμένος σηκρητάριος τοῦ θείου κονσιστωρίου εἶπεν· Τῶι αὐτῶι τύπωι ἐγράφη καὶ τοῖς ἄλλοις εὐλαβεστάτοις ἐπισκόποις ὥστε παραγενέσθαι εἰς τὴν σύνοδον.

26 Οἱ ἐνδοξότατοι ἄρχοντες καὶ ἡ ὑπερφυὴς σύγκλητος εἶπον· Εἰσίτω καὶ ὁ εὐλαβέστατος Θεοδώρητος κοινωνήσων τῇι συνόδωι, ἐπειδὴ καὶ ἀποκατέστησεν αὐτῶι τὴν ἐπισκοπὴν ὁ ἁγιώτατος ἀρχιεπίσκοπος Λέων, καὶ ὁ θειότατος δὲ καὶ εὐσεβέστατος βασιλεὺς παρεῖναι αὐτὸν τῇι ἁγίαι συνόδωι ἐθέσπισεν.

27 Καὶ εἰσελθόντος Θεοδωρήτου τοῦ εὐλαβεστάτου ἐπισκόπου οἱ Αἰγύπτιοι καὶ οἱ Ἰλλυρικιανοὶ καὶ Παλαιστηνοὶ εὐλαβέστατοι ἐπίσκοποι ἐξεβόησαν· Ἐλεήσατε, ἡ πίστις ἀπόλλυται. οἱ κανόνες τοῦτον ἐκβάλλουσιν. τοῦτον ἔξω βάλε. τὸν διδάσκαλον Νεστορίου ἔξω βάλε.

28 Οἱ Ἀνατολικοὶ καὶ Ποντικοὶ καὶ Ἀσιανοὶ καὶ Θρᾷικες εὐλαβέστατοι ἐπίσκοποι ἐξεβόησαν· Εἰς ἄγραφα ὑπεγράψαμεν. ἐτυπτήθημεν καὶ ὑπεγράψαμεν. τοὺς Μανιχαίους ἔξω βάλε. τοὺς ἐχθροὺς Φλαβιανοῦ ἔξω βάλε. τοὺς ἐχθροὺς τῆς πίστεως ἔξω βάλε.

29 Διόσκορος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Κύριλλος διὰ τί ἐκβάλλεται ὁ παρὰ τούτου ἀναθεματισθείς;

30 Οἱ Ἀνατολικοὶ καὶ Ποντικοὶ καὶ Ἀσιανοὶ καὶ Θρᾷικες εὐλαβέστατοι ἐπίσκοποι ἐξεβόησαν· Διόσκορον τὸν φονέα ἔξω βάλε. Διοσκόρου τὰς πράξεις τίς οὐκ οἶδεν;

31 Οἱ Αἰγύπτιοι καὶ οἱ Ἰλλυρικιανοὶ καὶ Παλαιστηνοὶ εὐλαβέστατοι ἐπίσκοποι ἐξεβόησαν· Πολλὰ τὰ ἔτη τῆς αὐγούστας.

32 Οἱ Ἀνατολικοὶ καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκοποι ἐξεβόησαν· Τοὺς φονέας ἔξω βάλε.

33 Οἱ Αἰγύπτιοι καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκοποι ἐξεβόησαν· Ἡ αὐγούστα Νεστόριον ἐξέβαλεν, πολλὰ τὰ ἔτη τῆς ὀρθοδόξου. ἡ σύνοδος Θεοδώρητον οὐ δέχεται.

34 Θεοδώρητος ὁ εὐλαβέστατος ἐπίσκοπος παρελθὼν ἐν τῶι μέσωι εἶπεν· Δεήσεις ἐπιδέδωκα τοῖς θειοτάτοις καὶ εὐσεβεστάτοις καὶ φιλοχρίστοις δεσπόταις τῆς οἰκουμένης καὶ ἠτιασάμην τὰς εἰς ἐμὲ γενομένας σφαγὰς καὶ ἀξιῶ ταύτας ἐξετασθῆναι. M VI 592

1 ὅτι Θεοδώρητον προσέταξεν ὁ βασιλεὺς Θεοδόσιος ἐν τῇι συνόδωι Ἐφέσου μὴ συνελθεῖν M^{mg} 12—15. 34—36 adfert Facundus 5, 3 p. 713

MBpSΦ, $Λ^{n}$ [usque ad 6], Σ Tim. [usque ad 8]

1 πληχθήσεται M θεοδώριτον MBp 2 μόνη αὐτοῦ B 4 ἁγίας om. Σ 5 ἀνακύψοι B ἀνακύψει pS ἀνακύψη M 7 τῇι om. B ἀπριλλίων BpS 10 καὶ τοῖς ἄλλοις ἐπισκόποις ἐγράφη B εὐλαβεστάτοις om. S 11 σύνοδον ἐν ἐφέσω B 12 μεγαλοφυὴς B εἶπεν MS εἰσιέτω MB, corr. M 13 θεοδώριτος Bp ut solent ἀπεκατέστησεν S 14 δὲ B om. MpS 15 ἐθέσπισε τῇ συνόδω B 17 Ἰλλυρικοὶ B παλαιστινοὶ M, corr. M ἐλεήσατε ἐλεήσατε B 19 βάλετε B ut solet βάλλε M^{corr} ut solet 20 θράκησ MpS 21 καθυπεγράψαμεν B 22 τοὺς ἐχθροὺς' — βάλε om. B 26 καὶ θράκεσ καὶ ἀσιανοὶ S 28 οἱ^{3} om. B Ἰλλυρικοὶ B παλαιστινοὶ M, corr. M 29 αὐγούστησ BpS 30—32 Τοὺς — ἐξεβόησαν om. p 36 ἠτησάμην pS

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 9/9/15 7:57 AM

35 Οἱ ἐνδοξότατοι ἄρχοντες καὶ ἡ ὑπερφυὴς σύγκλητος εἶπον· Θεοδώρητος ὁ εὐλαβέστατος ἐπίσκοπος τὸν οἰκεῖον ἀπολαβὼν τόπον παρὰ τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου τῆς μεγαλωνύμου πόλεως Ῥώμης εἰσῆλθεν νῦν κατηγόρου τάξιν ἐπέχων, ὅθεν ἀνάσχεσθε ὑπὲρ τοῦ μὴ σύγχυσιν γενέσθαι τῇι ἀκροάσει τὰ ἀρχὴν λαβόντα περαιωθῆναι. πρόκριμα γὰρ ἀπὸ τοῦ παρεῖναι τὸν εὐλαβέστατον Θεοδώρητον οὐδενὶ γενήσεται, φυλαττομένου δηλονότι μετὰ ταῦτα παντὸς λόγου καὶ ὑμῖν καὶ ἐκείνωι, εἴ τινα ἀμοιβαίως ἐγγυμνάζειν βουληθείητε, εἰ καὶ τὰ μάλιστα ἐν τοῖς ἀγράφοις φαίνεται ὀρθοδοξίαν αὐτῶι μαρτυρῶν ὁ εὐλαβέστατος ἐπίσκοπος τῆς Ἀντιοχέων μεγαλοπόλεως.

36 Καὶ μετὰ τὸ καθεσθῆναι ἐν τῶι μέσωι Θεοδώρητον τὸν εὐλαβέστατον ἐπίσκοπον οἱ Ἀνατολικοὶ καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκοποι ἐξεβόησαν· Ἄξιος ἄξιος.

L IIII 104 37 Οἱ Αἰγύπτιοι καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκοποι ἐξεβόησαν· Μὴ λέγετε αὐτὸν ἐπίσκοπον, οὐκ ἐστιν ἐπίσκοπος. οὐκ ἐστιν ἐπίσκοπος. τὸν θεομάχον ἔξω βάλε. τὸν Ἰουδαῖον ἔξω βάλε.

38 Οἱ Ἀνατολικοὶ καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκοποι ἐξεβόησαν· Τὸν ὀρθόδοξον τῆι συνόδωι. τοὺς ἀνασειστὰς ἔξω βάλε. τοὺς φονέας ἔξω βάλε.

39 Οἱ Αἰγύπτιοι καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκοποι ἐξεβόησαν· Τὸν θεομάχον ἔξω βάλε. τὸν ὑβρίσαντα τὸν Χριστὸν ἔξω βάλε. πολλὰ τὰ ἔτη τῆς αὐγούστας. πολλὰ τὰ ἔτη τοῦ βασιλέως. τοῦ ὀρθοδόξου βασιλέως πολλὰ τὰ ἔτη. Κύριλλον οὗτος ἀνεθεμάτισεν.

40 Οἱ Ἀνατολικοὶ καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκοποι ἐξεβόησαν· Τὸν φονέα Διόσκορον ἔξω βάλε.

41 Οἱ Αἰγύπτιοι καὶ οἱ σὺν αὐτοῖς ἐπίσκοποι ἐξεβόησαν· Πολλὰ τὰ ἔτη τῆς συγκλήτου. φωνὴν οὐκ ἔχει. ἐπὶ πάσης τῆς συνόδου καθήιρηται.

42 Βασίλειος ὁ εὐλαβέστατος ἐπίσκοπος Τραιανουπόλεως Ῥοδόπης ἀναστὰς εἶπεν· Καὶ παρ' ἡμῶν Θεοδώρητος καθήιρηται.

43 Οἱ Αἰγύπτιοι καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκοποι ἐξεβόησαν· Καὶ Κυρίλλου Θεοδώρητος κατηγόρησεν. Κύριλλον ἐκβάλλομεν, ἐὰν Θεοδώρητον λάβωμεν. οἱ κανόνες τοῦτον ἐξέβαλον. τοῦτον ὁ θεὸς ἀπεστράφη.

44 Οἱ ἐνδοξότατοι ἄρχοντες καὶ ἡ ὑπερφυὴς σύγκλητος εἶπον· Αἱ ἐκβοήσεις αἱ δημοτικαὶ οὔτε ἐπισκόποις πρέπουσιν οὔτε τὰ μέρη ὠφελήσουσιν. ἀνάσχεσθε τοίνυν πάντων τὴν ἀνάγνωσιν γενέσθαι.

45 Οἱ Αἰγύπτιοι καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκοποι ἐξεβόησαν· Τὸν ἕνα ἐκβάλετε, καὶ πάντες ἀκούομεν. δι' εὐσέβειαν κράζομεν. διὰ τὴν ὀρθόδοξον πίστιν ταῦτα λέγομεν.

46 Οἱ ἐνδοξότατοι ἄρχοντες καὶ ἡ ὑπερφυὴς σύγκλητος εἶπον· Μᾶλλον ἀνάσχεσθε κατὰ θεὸν τὴν ἀκρόασιν γενέσθαι καὶ συγχωρήσατε πάντα κατὰ τάξιν ἀναγνωσθῆναι.

M VI 593 Καὶ ἡσυχασάντων πάντων Κωνσταντῖνος ὁ καθωσιωμένος μαγιστριανὸς καὶ σηκρητάριος τοῦ θείου κονσιστωρίου ἀνέγνω ἀπὸ τοῦ αὐτοῦ κώδικος

MBpSΦ

1 εἶπεν MpS 2 θρόνον BS 3 πόλεως B om. MpS 7 ἐκγυμνάζειν pS 9 εὐλαβέστατον om. S 10 ἐβόησαν S 11 ἐβόησαν MpS 12 οὐκ ἐστιν ἐπίσκοπος om. BΦ 14 εὐλαβέστατοι om. B 15 βάλε B bis sicut ceteri 17 βάλε om. B βάλε om. B 17/18 αὐγούστης BpS 20—22 τὸν φονέα — ἐξεβόησαν om. B 24 εἶπεν ἀναστὰς B 25 θεοδώριτος Bp 26 Καὶ om. B 27 θεοδώριτος BS ἐκβάλομεν S θεοδώριτον BpS 29 ἡ om. S ὑπερφυεστάτη B εἶπεν MpS 30 ὠφελοῦσιν B 33 ἐκβάλλετε M^{corr} 35 εἶπεν MpS 37 πάντων om. Bp 38 συγκρητάριος S

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 9/9/15 7:57 AM

Θεῖον γράμμα γραφὲν Διοσκόρωι τῶι εὐλαβεστάτωι ἐπισκόπωι Ἀλεξανδρείας

47 Ἦλθεν εἰς ἀκοὰς τῆς ἡμετέρας γαληνότητος ὅτι πολλοὶ τῶν εὐλαβεστάτων κατὰ τὴν Ἑώιαν ἀρχιμανδριτῶν ἅμα τοῖς ὀρθοδόξοις λαοῖς πρὸς τινὰς λεγομένους νοσεῖν τὴν Νεστορίου δυσσέβειαν ἐπισκόπους ἐν τισὶν τῶν Ἀνατολικῶν πόλεων δυσχεραίνουσί τε καὶ ἀγωνίζονται ὑπὲρ τῆς ὀρθοδόξου πίστεως. τούτου τοίνυν ἕνεκα ἔδοξεν τῆι ἡμετέραι θειότητι τὸν θεοσεβέστατον πρεσβύτερον καὶ ἀρχιμανδρίτην Βαρσουμᾶν ἐπὶ καθαρότητι βίου καὶ ὀρθοδόξωι πίστει εὐδοκιμοῦντα παραγενέσθαι εἰς τὴν Ἐφεσίων πόλιν καὶ τὸν τόπον ἐπέχοντα πάντων τῶν ἐν τῆι Ἀνατολῆι θεοσεβεστάτων ἀρχιμανδριτῶν συνεδρεῦσαι τῆι τε σῆι ὁσιότητι καὶ πᾶσι τοῖς ἐκεῖσε συνερχομένοις ἁγιωτάτοις πατράσιν οὕτω τε τὰ τῶι θεῶι ἀρέσκοντα περὶ πάντων τυπωθῆναι. καταξιωσάτω τοίνυν ἡ σὴ θεοσέβεια συνορῶσα ὡς πᾶσα ἡμῖν φροντὶς περὶ τῆς ὀρθοδόξου πίστεως καθέστηκεν, εὐμενῶς τε τὸν προειρημένον εὐλαβέστατον ἀρχιμανδρίτην ὑποδέξασθαι καὶ παρασκευάσαι αὐτὸν τῆς ὑμετέρας ἁγίας συνόδου κοινωνῆσαι.

Ἐδόθη Εἰδοῖς Μαίαις ἐν Θηράλλωι ὑπατείας Πρωτογένους τοῦ λαμπροτάτου καὶ τοῦ δηλωθησομένου d. 15. m. Mai. a. 449

Τῶι αὐτῶι τύπωι Ἰουβεναλίωι τῶι εὐλαβεστάτωι ἐπισκόπωι ἐκκλησίας Ἱεροσολύμων L. IIII 105 17

Ὁ αὐτὸς ἀπὸ τοῦ αὐτοῦ κώδικος ἀνέγνω

Θεῖον γράμμα καταπεμφθὲν Βαρσουμᾶι τῶι εὐλαβεστάτωι ἀρχιμανδρίτηι

48 Οὐκ ἔλαθεν τὴν ἡμετέραν εὐσέβειαν ἐν οἵωι καθεστήκασιν ἀγῶνι οἱ ἐν τοῖς μέρεσιν τῆς Ἑώιας θεοσεβέστατοι καὶ ἁγιώτατοι ἀρχιμανδρῖται τῆς ὀρθοδόξου πίστεως ὑπερμαχοῦντες καὶ τινὰς τῶν ἐν ταῖς Ἀνατολικαῖς πόλεσιν ἐπισκόπους τὴν Νεστορίου δυσσέβειαν νοσοῦντας ἀποστρεφόμενοι, τῶν ὀρθοδόξων λαῶν συναγωνιζομένων τοῖς αὐτοῖς θεοσεβεστάτοις ἀρχιμανδρίταις. ἐπειδὴ τοίνυν καὶ ἡ σὴ ἁγιωσύνη διὰ τὴν ὀρθόδοξον πίστιν τοσοῦτον ὑπομεμένηκεν κάματον καὶ πρὸς τὴν ἡμετέραν εὐσέβειαν παρεγένετο, δίκαιον εἶναι νομίζομεν τὴν σὴν ὁσιότητα ἐπὶ καθαρότητι βίου καὶ ὀρθοδόξωι πίστει εὐδοκιμοῦσαν τὴν Ἐφεσίων καταλαβεῖν πόλιν καὶ τὸν τόπον ἐπέχουσαν πάντων τῶν ἐν τῆι Ἑώιαι θεοσεβεστάτων ἀρχιμανδριτῶν συνεδρεῦσαι τῆι ἐκεῖσε τυπωθείσηι συνελθεῖν ἁγίαι συνόδωι καὶ μετὰ τῶν ἄλλων ἁγίων πατέρων καὶ ἐπισκόπων τὰ τῶι θεῶι ἀρέσκοντα τυπῶσαι.

Ἐδόθη τῆι πρὸ μιᾶς Εἰδῶν Μαίων ἐν Ἀλεξανδριαναῖς d. 14. m. Mai. a. 449

47 extat uersio Latina [Λ^n] ex ipsis gestis Ephesenis desumpta in Collectione Nouariensi de re Eutychis 10, 10; praeterea adfertur a Timotheo Aeluro f. 52^b

MBpS, Tim. Λ^n [2—15]

1 ἐπιστολὴ παρὰ βασιλέως θεοδωσίου πρὸς διόσκορον S in mg. γραφὲν παρα τοῦ αὐτοῦ τῆσ θείας λήξεως θεοδοσίου τῶ — ἀλεξανδρείασ διοσκόρω περὶ τοῦ παραλαβεῖν βαρσουμᾶν τὸν εὐλαβέστατον ἀρχιμανδρίτην ἐν τῆ συνόδω τῆ ἐν ἐφέσω B τωῖ εὐλαβεστάτωι om. S 2 ὡσ B 2/3 κατὰ τὴν ἑώαν εὐλαβεστάτων B 4 ἐπισκόπους om. BΛ^n 9 τε om. B καὶ — πατράσιν om. pS 10 τῶι om. B 11 ἅπασα B 12 τὸν] τόν τε M^{corr}pS τότε M εὐλαβέστατον om. B 13 ἡμετέρασ BS 14 εἰδοῖσ [ιδοῖσ M] μαίαισ MpSΦ πρὸ ἑνδεκα καλανδῶν μαίων B PRID ID MAI Λ^n *d. 2. m. Mai.* Tim. ὑπατεία B τοῦ λαμπροτάτου om. B 16 τύπω MpSΦ τύπω ἐγράφη M^{corr} τύπω ἐγράφη καὶ B οὐβεναλίω p 18 ἀνέγνω ἀπὸ τοῦ αὐτοῦ κώδικοσ B 21 τοῖσ p 22 τοὺσ B ἐπισκόπων M 26 δίκαιον — νομίζομεν] δοκιμάζομεν B καὶ τὴν B θεοσέβειαν B 28 τυπωθῆναι B 31 τῆι om. B ἀλεξανδρίναισ B ἀλεξανδρεία pSΦ^a

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 9/9/15 7:57 AM

M VI 596 Βερονικιανὸς ὁ καθωσιωμένος σηκρητάριος τοῦ θείου κονσιστωρίου ἀπὸ τοῦ αὐτοῦ κώδικος ἀνέγνω

Θεῖον ὑπομνηστικὸν δοθὲν Ἐλπιδίωι τῶι περιβλέπτωι κόμητι τοῦ θείου συνεδρίου

49 Τῆς μὲν ἤδη γενομένης πρότερον ἐν Ἐφέσωι ἁγίας συνόδου ἡ Νεστορίου τοῦ δυσσεβοῦς πρὸς τὸν θεὸν βλασφημία γέγονεν αἰτία καὶ διὰ τοῦτο τὴν ἀξίαν παρὰ τῶν συνελθόντων ἐκεῖσε ἁγίων πατέρων ἐδέξατο ψῆφον· ἐπειδὴ δὲ καὶ νῦν ἑτέρα πάλιν ἀμφισβήτησις κατὰ τῆς θείας ἐγήγερται πίστεως, τὴν δευτέραν ταύτην ἐν Ἐφέσωι γενέσθαι σύνοδον ἐθεσπίσαμεν, πάντηι τοῦ κακοῦ τὴν ῥίζαν ἀποτμηθῆναι σπουδάζοντες, ἵνα πανταχόθεν τὴν ταραχὴν ἐκβαλόντες τοῦ δόγματος καθαρὸν τῆς εὐχῆς φυλάττωμεν ἐπὶ τῶν λογισμῶν τὸ δίκαιον καὶ γένηται τοῦτο τῆς πολιτείας ἀσφάλεια καὶ τῶν ἀνθρώπινων καλῶν. διὰ τοῦτο τοίνυν τήν τε σὴν θαυμασιότητα καὶ Εὐλόγιον τὸν περίβλεπτον τριβοῦνον καὶ νοτάριον πραιτωριανὸν πρὸς τὴν τῆς πίστεως διακονίαν ἐπελεξάμεθα ὡς ὑπειλημμένους τά τε ἄλλα ὀρθῶς καὶ καθαρῶς τὰ κατὰ τὸ κρεῖττον θρησκεύοντας καὶ δυναμένους αὐτούς τε τοῖς ἡμετέροις κελεύσμασιν γνησίως διακονήσασθαι περὶ τῶν ἐν Ἐφέσωι παρὰ τῆς ἁγίας συνόδου πραττομένων καὶ μηδένα θόρυβον μηδαμόθεν συγχωρῆσαι γενέσθαι, ἀλλὰ καὶ εἴ τινα συνίδοιτε ταραχαῖς καὶ θορύβοις χρώμενον ἐπὶ βλάβηι τῆς ἁγιωτάτης πίστεως, τοῦτον ἐν ἀσφαλεῖ ποιήσασθαι καὶ γνωρίσαι ἡμῖν, καὶ ἐν τάξει μὲν προβῆναι τὰ τῆς ὑποθέσεως, παρεῖναι δὲ τῆι κρίσει καὶ παρασκευάσαι ταχεῖαν καὶ ἐπεσκεμμένην τὴν παρὰ τῆς ἁγίας συνόδου δοκιμασίαν γενέσθαι τε καὶ γνωρισθῆναι ἡμῖν, τῶν πρὶν δικασάντων Εὐτυχεῖ τῶι εὐλαβεστάτωι ἀρχιμανδρίτηι παρόντων μὲν καὶ ἡσυχαζόντων, τάξιν δὲ δικαστῶν μὴ ἐπεχόντων, ἀλλὰ τὴν κοινὴν πάντων τῶν
L IIII 108 ἄλλων ἁγίων πατέρων περιμενόντων ψῆφον, ἐπειδὴ τὰ παρ' αὐτῶν κεκριμένα νῦν δοκιμάζεται, μὴ ἐξεῖναι δὲ μηδὲν ἕτερον κινεῖν χρηματικὸν κεφάλαιον, πρὶν ἂν περαιωθῆναι τὰ τῆς ὀρθοδόξου πίστεως. διὰ τοῦτο γὰρ καὶ τὴν πολιτικὴν διὰ τῶν πρὸς τὸν περίβλεπτον ἀνθύπατον γραφέντων καὶ τὴν ἐν τοῖς τόποις ὑμῖν στρατιωτικὴν ἀπενείμαμεν βοήθειαν, ὥστε ὑμᾶς πρὸς ταῖς οἰκείαις σπουδαῖς καὶ ταύταις ὀχυρωθέντας ταῖς ἐπικουρίαις ἀρκέσαι δυνηθῆναι πρὸς τὴν τῶν προσταχθέντων πλήρωσιν τῶν ἄλλων ἁπάντων καλῶν ἀμείνω τυγχάνουσαν, ὅσωι τὰ θεῖα τῶν ἀνθρωπίνων, καὶ γνώριμα ἡμῖν καταστῆσαι τὰ ἐπὶ ταύτηι τῆι αἰτίαι πραττόμενα.

Τῶι αὐτῶι τύπωι Εὐλογίωι τῶι περιβλέπτωι τριβούνωι καὶ νοταρίωι

49 Commonitorii praeter Φ extat uersio Latina [Λ^n] in Collectione Nouariensi de re Eutychis 10, 14; praeterea adfert Timotheus Aelurus f. 53a

MBpSΦ, Λ^n [inde a 5, praeter 31], Tim. [3—30]

1 ὁ] ὁ αὐτὸς B 5 ἐν ἐφέσω πρότερον B 6 τὸν om. B 7 ἁγιωτάτων BΛ^n 10 φυλάττοιμεν B 13 πραιτωριανὸν pSΛ^n πραιτοριανὸν M τῶν πραιτωρίων B Tim. om. Φ 15 τε om. B γνησίως om. B 17 συγχωρήσατε MpS, corr. M τινας M 18 ἁγίας B ἐπισφαλεῖ S γνωρίσαι] δηλῶσαι B 20 ἐπισκεμμένην S 21 εὐλαβεστάτωι] ἁγιωτάτω S 23 κεκριμμένα pS 24 χρηματικὸν κινεῖν B 26 τόποις BΛ^n Tim. λοιποῖς MpSΦ 26/27 ἀπενείμομεν M 27 ταύτης S 30 subscriptio extat in Λ^n *data Idus Maias in Alexandrianis consulatu Protogenis clarissimi et qui fuerit nuntiatus* et apud Tim. ἐδόθη ἐν μηνὶ Μαΐωι ἐν Ἀλεξανδρείαι

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 9/9/15 7:57 AM

Βερονικιανὸς ὁ καθωσιωμένος σηκρητάριος τοῦ θείου κονσιστωρίου ἀπὸ τοῦ αὐτοῦ κώδικος ἀνέγνω

50 Θεῖα γράμματα Πρόκλωι τῶι περιβλέπτωι ἀνθυπάτωι Ἀσίας

Τῆς μὲν ἤδη γενομένης πρότερον ἐν Ἐφέσωι ἁγίας συνόδου ἡ Νεστορίου τοῦ M VI 597
δυσσεβοῦς πρὸς τὸν θεὸν βλασφημία γέγονεν αἰτία καὶ διὰ τοῦτο τὴν ἀξίαν παρὰ τῶν
συνελθόντων ἐκεῖσε ἁγίων πατέρων ἐδέξατο ψῆφον· ἐπειδὴ δὲ καὶ νῦν ἑτέρα πάλιν ἀμ-
φισβήτησις κατὰ τῆς θείας ἐγήγερται πίστεως, τὴν δευτέραν ταύτην ἐν Ἐφέσωι γενέσθαι
σύνοδον ἐθεσπίσαμεν, πάντηι τοῦ κακοῦ τὴν ῥίζαν ἀποτμηθῆναι σπουδάζοντες, ἵνα
πανταχόθεν τὴν ταραχὴν ἐκβαλόντες τοῦ δόγματος καθαρὸν τῆς εὐχῆς φυλάττωμεν
ἐπὶ τῶν λογισμῶν τὸ δίκαιον καὶ γένηται τοῦτο τῆς πολιτείας ἀσφάλεια καὶ τῶν ἀν-
θρωπίνων καλῶν. διὰ τοῦτο καὶ Ἐλπίδιον τὸν περίβλεπτον κόμητα τοῦ θείου ἡμῶν
συνεδρίου καὶ Εὐλόγιον τὸν περίβλεπτον τριβοῦνον καὶ νοτάριον πρὸς τὴν ὑπόθεσιν
ἐπελεξάμεθα ὡς πρέποντας τῆι εὐσεβείαι διακονήσασθαι, ἱκανῶς ἐπὶ ταύτηι μαρτυρη-
θέντας. οἷς βουλόμεθα πρὸς τὴν χρείαν παρὰ σοῦ συνεισενεχθῆναι βοήθειαν, ταραχὴν
μὲν ἐξελάσαι τῶν πραττομένων ἐπιτραπεῖσιν, μηδένα δὲ μηδαμόθεν συγχωρῆσαι γενέσθαι
θόρυβον κελευσθεῖσιν παρὰ τῆς ἡμετέρας γαληνότητος, παρ' ὧν εἰ καταμάθοιμεν ἡμελη-
κέναι σε τῶν θεσπισθέντων καὶ μὴ πρὸς ἃ βούλονται, διακονήσασθαι, σὴν βλάβην τὴν
σὴν ῥαθυμίαν γενέσθαι προστάξομεν.

Ὁ αὐτὸς καθωσιωμένος Βερονικιανὸς σηκρητάριος τοῦ θείου κονσιστωρίου ἀπὸ τοῦ αὐτοῦ κώδικος ἀνέγνω

51 Τῆι ἁγιωτάτηι συνόδωι τῆι ἐν Ἐφέσωι. Ἐβουλόμεθα μὲν ἔξω πάσης ταραχῆς
τὰς ἁγίας τοῦ θεοῦ ἐκκλησίας καθεστάναι καὶ ὑμᾶς ταῖς ὑμετέραις ἁγιωτάταις ἐκκλησίαις
προσκαρτεροῦντας συνήθως τὰ πρὸς τὴν τοῦ κρείττονος θεραπείαν ἱερουργεῖν καὶ μὴ
τοσοῦτον ὑμῖν προσγενέσθαι πόνον τε καὶ συντριβήν· ἐπειδὴ δὲ ὁ θεοφιλέστατος ἐπίσκοπος
Φλαβιανὸς τινὰ περὶ τῆς ἁγίας πίστεως ἀνακινεῖν ἐβούλετο πρὸς τὸν εὐλαβέστατον
ἀρχιμανδρίτην Εὐτυχῆ καὶ κριτήριον συναγαγὼν τινὰ πράττειν ἤρξατο, ἡμεῖς μὲν πολ- L III 109
λάκις ἀποστείλαντες πρὸς τὸν αὐτὸν θεοφιλέστατον ἐπίσκοπον ἠβουλήθημεν ἀναστεῖλαι
τὴν κινουμένην ταραχήν, πεπεισμένοι ἀρκεῖν ἡμῖν τὴν παραδοθεῖσαν παρὰ τῶν ἁγίων
πατέρων τῶν ἐν Νικαίαι ὀρθόδοξον πίστιν, ἣν καὶ ἡ ἁγία σύνοδος ἡ ἐν Ἐφέσωι ἐβεβαίωσεν·
ἐπειδὴ δὲ πολλάκις ἡμῶν δυσωπούντων τὸν αὐτὸν θεοσεβέστατον ἐπίσκοπον ἀποστῆναι
τῆς τοιαύτης ζητήσεως, ὥστε μὴ τοῦτο αἴτιον γενέσθαι θορύβου πάσηι τῆι οἰκουμένηι,
οὐκ ἠνέσχετο, ἐννοήσαντες ὅτι περ οὔκ ἐστιν ἀσφαλὲς παρεκτὸς τῆς ἁγίας ὑμῶν συνόδου
καὶ τῶν πανταχοῦ πρωτεύοντων τῶν ἁγίων ἐκκλησιῶν τοιαύτην ζήτησιν περὶ πίστεως M VI 600

50 [inde a 11 διὰ τοῦτο]. 51 altera uersio Latina [Λ^n] extat in Coll. Nouariensi de re Eutychis 10, 15. 18 51 adfert Timotheus Aelurus f. 53^b

MBpSΦ, Λ^n [praeter 1—11 καλῶν. 19. 20]

1 Βερονικιανὸς — κονσιστωρίου] ὁ αὐτὸσ καθωσιωμένοσ βερονικιανὸσ σηκρητάριοσ B 3 Θεῖα — Ἀσίας] θεῖον γράμμα καταπεμφθὲν πρὸσ πρόκλον ἀνθύπατον ἀσίασ περὶ τοῦ αὐτοῦ B ἀνθυπάτωι om. pS 5 πρὸσ θῦ B εἰς τὸν θῦ MpS 6 ἁγιωτάτων B καὶ νῦν BΦ^{ac} νῦν καὶ MpS 9 ἐκβαλλόντεσ p φυλάττομεν MpS φυλάττοιμεν B 11/12 συνεδρίου ἡμῶν B 13 ἐξελεξάμεθα B 13/14 μαρτυρηθέντεσ S τὴν χρείαν τὴν S 16 μεγαλειότητοσ B καταμάθωμεν B 18 προστάξωμεν M 19/20 τοῦ — κονσιστωρίου om. B 19 κωνσισταρίου S 21 ἁγία B 22 κατεστῆναι S 23 τὰ om. B 25 ἁγίασ om. B 26 εὐτυχῆν Mp, corr. M 27 ἐβουλήθημεν pS 28/29 τῶν ἐν νικαίᾳ ἁγίων πατέρων B 29 καὶ ὀρθοδόξων Tim. 30 θεοφιλέστατον B ἐπίσκοπον om. S 31 τοῦτο] *ipse* Λ^n γενέσθαι αἴτιον B πάσησ τῆσ οἰκουμένησ BΛ^n Tim. 32 ἀσφαλῶσ S 33 ἁπανταχοῦ B τῆσ ἁγίασ ἐκκλησίασ B περὶ πίστεωσ om. Λ^n

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 9/9/15 7:57 AM

ἀνακινεῖσθαι, ἀναγκαῖον ἐνομίσαμεν συνελθεῖν τὴν ὑμετέραν ἁγιωσύνην, ὥστε ὑμᾶς τὰ πεπραγμένα ἐνταῦθα καταμαθόντας καὶ τὴν κινηθεῖσαν ζήτησιν, πᾶσαν μὲν διαβολικὴν ἐκκόψαι ῥίζαν καὶ τοὺς τὴν τοῦ ἀσεβοῦς Νεστορίου βλασφημίαν ζηλοῦντας ἢ συγκροτοῦντας ἐκ τῶν ἁγίων ἐκκλησιῶν ἐκβαλεῖν, τὴν δὲ ὀρθόδοξον πίστιν βεβαίαν καὶ ἀσάλευτον τυπῶσαι παραφυλαχθῆναι, ἐπειδήπερ πᾶσα ἡ ἡμετέρα ἐλπὶς καὶ ἡ τῆς ἡμετέρας βασιλείας ἰσχὺς τῆς εἰς τὸν θεὸν ὀρθοδόξου πίστεως ἤρτηται καὶ τῶν ὑμετέρων ἁγίων προσευχῶν.

Ὁ αὐτὸς καθωσιωμένος Βερονικιανὸς σηκρητάριος τοῦ θείου κονσιστωρίου ἀπὸ τοῦ αὐτοῦ κώδικος ἀνέγνω

52 Διοσκόρωι τῶι εὐλαβεστάτωι ἐπισκόπωι Ἀλεξανδρείας. Πρώην μὲν Θεοδώρητον τὸν ἐπίσκοπον Κύρου τῆς πόλεως ἐθεσπίσαμεν εἰς τὴν ἁγιωτάτην μὴ ἀπαντῆσαι σύνοδον, μέχρις ἂν τὰ δοκοῦντα ἐπ' αὐτῶι ἡ ἁγία τυπώσηι σύνοδος, ἀποστραφέντες αὐτὸν ὡς ἐπιχειρήσαντα ἐναντία ἐκθέσθαι οἷς συνέγραψεν περὶ τῆς πίστεως ὁ τῆς ἁγίας μνήμης Κύριλλος ὁ τῆς μεγαλοπόλεως Ἀλεξανδρέων γενόμενος ἐπίσκοπος· ἐπειδὴ δὲ ἐνδέχεται τινὰς τῶν τὰ Νεστορίου φρονούντων ἐπιχειρῆσαι σπουδὴν αὐτῶι συνεισενεγκεῖν εἰς τὸ ἐκ παντὸς τρόπου εἰς τὴν ἁγίαν παραγενέσθαι συνόδον, τούτου ἕνεκα ἀναγκαῖον ἡγησάμεθα τοῖσδε τοῖς θείοις γράμμασιν χρήσασθαι πρὸς τὴν σὴν θεοσέβειαν, δι' ὧν δῆλον ποιοῦμεν τῆι τε σῆι θεοσεβείαι καὶ πάσηι τῆι ἁγίαι συνόδωι ὅτιπερ ἡμεῖς ἑπόμενοι τοῖς κανόσι τῶν ἁγίων πατέρων οὐ μόνον ἕνεκα Θεοδωρήτου, ἀλλὰ καὶ τῶν ἄλλων πάντων τῶν ἀνηκόντων τῆι νῦν συναθροιζομένηι ἁγίαι συνόδωι τὴν αὐθεντίαν καὶ τὰ πρωτεῖα τῆι σῆι θεοσεβείαι παρέχομεν, ἐπιστάμενοι ἀκριβῶς ὡς καὶ ὁ θεοσεβέστατος ἀρχιεπίσκοπος Ἱεροσολύμων Ἰουβενάλιος καὶ ὁ θεοσεβέστατος ἀρχιεπίσκοπος Θαλάσσιος καὶ πᾶς τοιοῦτος θερμὸς τῆς ὀρθοδοξίας ἐραστὴς καὶ ζηλωτὴς ὁμογνώμονες ἔσονται τῆι σῆι ἁγιωσύνηι ἐκλαμπούσηι διὰ τὴν τοῦ θεοῦ χάριν ἐπί τε τῆι τοῦ βίου σεμνότητι καὶ τῆι ὀρθοτάτηι πίστει. τοὺς γὰρ κατά τι προσθήκην τινὰ ἢ μείωσιν τῶν ἐκτεθέντων περὶ τῆς πίστεως παρὰ τῶν ἁγίων ἐν Νικαίαι πατέρων καὶ μετὰ ταῦτα ἐν Ἐφέσωι ἐπιχειρήσαντας εἰπεῖν οὐδεμίαν παντελῶς παρρησίαν ἐν τῆι ἁγίαι συνόδωι ἔχειν ἀνεχόμεθα, ἀλλὰ
L IIII 112 καὶ ὑπὸ τὴν ὑμετέραν εἶναι κρίσιν βουλόμεθα, ἐπειδὴ καὶ τούτου ἕνεκα καὶ νῦν τὴν ἁγίαν σύνοδον συγκροτηθῆναι διετυπώσαμεν.

M VI 601 Τῶι αὐτῶι τύπωι [ἐγράφη] καὶ Ἰουβεναλίωι τῶι εὐλαβεστάτωι ἐπισκόπωι Ἱεροσολύμων

52 Sacrae extat uersio Syriaca [Σ] in gestis Ephesenis [Abhdlg. d. Gött. Ges. d. Wiss. XVI p. 4]. quae quoniam testatur sacram datam esse d. 6. m. Aug., apparet eam in prima sessione quae habita est d. 8. eiusdem mensis, non lectam esse, neque extat in eis gestis quae insunt Collectioni Nouariensi de re Eutychis

MB, p [usque ad 20 ἀρχιεπίσκοπος], P [inde a 21 Ἱεροσολύμων], SΦ, Λ^{n} [usque ad 6], Σ [inde a 9]

4 ἁγιωτάτων B τὴν δὲ BΦΛ^{n} Tim. καὶ τὴν MpS 6 ἁγίων om. B in fine add. ἐδόθη ἐν τῶι μηνὶ Ἰουνίωι ἐν Κωνσταντινουπόλει ὑπατείαι Πρωτογένους Tim. 7 καὶ σηκρητάριος MpS κωνσινταρίου S 9 τῶ εὐλαβεστάτω ἐπισκόπω διοσκόρω ἐκκλησίασ ἀλεξανδρείασ B θεοδώριτον BpS 10 τῆς om. S 11 σύνοδοσ τυπώση S 12 ἔγραψε B τῆς om. BS ὁ om. S 13 μεγαλοπόλεως om. S ἀλεξανδρείασ B 15/16 ἐλογισάμεθα B 18 θεοδωρίτου BpS 20 ἐπίσκοποσ pSΦ^{ac}, corr. p 21 ἐπίσκοποσ S 22 τῆσ ὀρθοδοξίασ θερμὸσ B 24 τινὰ om. BΦ^{ac} 25 τῆς om. B πατέρων τῶν ἐν νικαίᾳ B 27 κρίσιν εἶναι B ἐπειδὴ δὲ S 29 τύπω BΦ τύπω ἐγράφη MPS 29/30 ἱεροσολύμων ἐγράφη B

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 9/9/15 7:57 AM

53 Διόσκορος ὁ εὐλαβέστατος ἐπίσκοπος τῆς Ἀλεξανδρέων εἶπεν· Ἐπήκουσεν ἡ ὑμετέρα φιλανθρωπία ὡς οὐκ ἐμοὶ μόνωι ὁ θειότατος ἡμῶν βασιλεὺς ἐπέτρεψεν τὴν κρίσιν, ἀλλὰ καὶ τῶι θεοσεβεστάτωι ἐπισκόπωι Ἰουβεναλίωι καὶ τῶι ὁσιωτάτωι ἐπισκόπωι Θαλασσίωι τὴν αὐθεντίαν τῆς συνόδου δέδωκεν. ἡμεῖς τοίνυν ἐκρίναμεν τὰ κεκριμένα, συνήινεσεν ἡμῖν πᾶσα ἡ σύνοδος· διὰ τί εἰς ἐμὲ μόνον ἀποτείνονται οὗτοι; ὅτι ἡ αὐθεντία ἐπίσης ἐδόθη τοῖς τρισὶν καὶ τοῖς κεκριμένοις παρ' ἡμῶν συνήινεσεν, ὡς εἶπον, πᾶσα ἡ σύνοδος καὶ κατέθετο οἰκείαις φωναῖς καὶ ὑπέγραψεν καὶ ἀνηνέχθη τῶι εὐσεβεστάτωι βασιλεῖ τῶι τῆς θείας λήξεως Θεοδοσίωι καὶ ἐβεβαίωσεν πάντα τὰ κεκριμένα παρὰ τῆς ἁγίας καὶ οἰκουμενικῆς συνόδου νόμωι γενικῶι.

54 Οἱ Ἀνατολικοὶ καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκοποι ἐξεβόησαν· Οὐδεὶς συνήινεσεν, βία ἐγένετο, βία μετὰ πληγῶν. εἰς ἄγραφον χάρτην ὑπεγράψαμεν. καθαίρεσις ἡμῖν ἠπειλήθη. ἐξορία ἡμῖν ἠπειλήθη. στρατιῶται μετὰ βάκλων καὶ ξιφῶν ἐπέστησαν καὶ τὰ βάκλα καὶ τὰ ξίφη ἐφοβήθημεν. φοβούμενοι ὑπεγράψαμεν. ὅπου ξίφη καὶ βάκλα, ποία σύνοδος; στρατιώτας διὰ τοῦτο ἔλαβεν. τὸν φονέα ἔξω βάλε. Φλαβιανὸν στρατιῶται καθεῖλον.

55 Οἱ Αἰγύπτιοι καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκοποι ἐξεβόησαν· Αὐτοὶ πρῶτοι ὑπέγραψαν, κληρικοὶ νῦν διὰ τί κράζουσιν; ἡ σύνοδος ἐπισκόπων ἐστίν, οὐχὶ κληρικῶν. τοὺς περισσοὺς ἔξω βάλε. οἱ ὑπογράψαντες εἰς μέσον ἔλθωσιν· μεθ' ὑμᾶς ἡμεῖς ὑπεγράψαμεν.

56 Στέφανος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἐφέσου εἶπεν· Ὅτι βίαι καὶ ἀνάγκηι γέγονεν τὰ γεγονότα, θεὸς μαρτυρεῖ καὶ ὅτι μὴ θέλοντες εἰς τὴν καθαίρεσιν τοῦ μακαρίου Φλαβιανοῦ ὑπεγράψαμεν, θεὸς μαρτυρεῖ. καὶ γὰρ πάντας τοὺς κληρικοὺς αὐτοῦ ἐν τῆι Ἐφεσίων μητροπόλει παραγενομένους ἐπίσκοπος ὢν ἐδεξάμην καὶ ἐκοινώνησα αὐτοῖς καὶ πᾶσαν εὔνοιαν εἰς αὐτοὺς ἐπεδειξάμην.

57 Οἱ ἐνδοξότατοι ἄρχοντες καὶ ἡ ὑπερφυὴς σύγκλητος εἶπον· Τίς ὑμᾶς ἐβιάσατο;

58 Στέφανος ὁ εὐλαβέστατος ἐπίσκοπος τῆς Ἐφεσίων εἶπεν· Ὡς ἔτι ἐδεξάμην εἰς κοινωνίαν Ἐλπίδιον τὸν πρεσβύτερον καὶ τοὺς ἄλλους διακόνους καὶ τὸν ἐπίσκοπον Εὐσέβιον (οἶδεν δὲ καὶ αὐτὸς ὁ ἐπίσκοπος Εὐσέβιος ὅτι ἐδεξάμην αὐτούς), ἐπῆλθόν μοι εἰς τὸ ἐπισκοπεῖον Ἐλπίδιος καὶ Εὐλόγιος καὶ στρατιῶται καὶ οἱ μονάζοντες Εὐτυχέος, M VI 604 ὀνόματα ὡς τριακόσια, καὶ ἔμελλόν με φονεύειν λέγοντες ὅτι τοὺς ἐχθροὺς τοῦ βασιλέως ἐδέξω, ἐχθρὸς εἶ τοῦ βασιλέως. λέγω· ἐγὼ ξενοδόχος εἰμί, οὐδὲν ἐπικοινωνῶ τῶι πράγματι· ἐγὼ οὐκ ἠδυνάμην ἀκοινωνήτους ποιῆσαι τοὺς κοινωνικοὺς ἐλθόντας. καὶ οὕτω βίαι καὶ ἀνάγκηι γέγονεν πάντα.

59 Οἱ ἐνδοξότατοι ἄρχοντες καὶ ἡ ὑπερφυὴς σύγκλητος εἶπον· Διόσκορος ὁ εὐλαβέστατος βίαν σοι ἐποίησεν;

60 Στέφανος ὁ εὐλαβέστατος ἐπίσκοπος τῆς Ἐφεσίων πόλεως εἶπεν· Πάντες οἱ αὐτοῦ καὶ οἱ κόμητες· οὐ συνεχωρήθην ἐξελθεῖν ἀπὸ τῆς ἐκκλησίας τοῦ σηκρήτου, ἕως ὅτου L IIII 113

1 ἐν χαλκηδόνι M^{mg} ante Διόσκορος PS

MBPSΦ

1 τῆς Ἀλεξανδρέων] ἀλεξανδρείασ B 2 ἡμῶν om. B 3 θεοφιλεστάτω B ἐπισκόπωι^{1} om. B, cf. Φ^{cr} 4 κεκριμμένα PS 5 ἅμα πᾶσα B οὗτοι] αὐτοί MPS, corr. M 6 κεκριμμένοισ PS ὡς εἶπον] ἡμῖν PS 7 θεοσεβεστάτω S 8 μακαρίασ B πάντα om. B κεκριμμένα PS 8/9 τῆ ἁγία καὶ οἰκουμενικῆ συνόδω B 13 φοβούμενοι ὑπεγράψαμεν om. MPSΦ 14. 18 βάλλε M^{corr} 14 διὰ — στρατιώτασ S 16 εὐλαβέστατοι om. B 17 διὰ τί νῦν S 21 ὁ θῦ S 23 ἑαυτοῖσ PS 25 οἱ ἐνδοξότατοι — ὑπερφυὴς] ἡ B εἶπεν MBPS 29 καὶ οἱ μονάζοντες — καὶ στρατιῶται B 30 ὡσεὶ τ̄ S 31 λέγω] λέγω αὐτοῖς B ἔφην S 33 τὰ πάντα B 34 οἱ — ὑπερφυὴς] ἡ B εἶπεν MBPS 34/35 Διόσκορος — ἐποίησεν] καὶ διὰ τί ὑπέγραψασ S om. P 34/35 εὐλαβέστατοσ ἐπίσκοποσ B 36 μητροπόλεωσ B 37 οὐ συνεχωρήθην MΦ οὐ συνεχώρησάν με B ἴσασιν ὡσ οὐ συνεχωρήθην PS τοῦ τῆσ ἐκκλησίασ σεκρέτου B ὅτου om. B

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 9/9/15 7:57 AM

ὑπέγραψα γνώμηι Διοσκόρου καὶ Ἰουβεναλίου καὶ τοῦ κύρου Θαλασσίου καὶ τῶν ἄλλων ἐπισκόπων οἷς ἐγράφη.

61 Θαλάσσιος ὁ εὐλαβέστατος ἐπίσκοπος τῆς Καισαρέων πόλεως εἶπεν· Εἰς τὴν σάκραν ἐτέθην μὲν ἐγώ, οὐκ ἤιδειν δὲ πῶς ἐτέθην. ὅμως ἐν τῶι γίνεσθαι τινὰ ἐγὼ [καὶ] ἐκώλυσα καὶ ἠθέλησα ὑπερθέσθαι καὶ ἐσπούδασα, καὶ εἰσὶν μάρτυρες.

62 Θεόδωρος ὁ εὐλαβέστατος ἐπίσκοπος Κλαυδιουπόλεως Ἰσαυρίας εἶπεν· Διόσκορος καὶ Ἰουβενάλιος καὶ ὅσοι πρῶτοι ὑπέγραψαν, οἷς ἐπέτρεψεν ὁ δεσπότης τῆς οἰκουμένης ὡς ὀρθοδόξοις διακρίνειν τὰ τῆς πίστεως, διασκευασάμενοι πονηροὺς παρ' ἑαυτοῖς λογισμοὺς ἡμᾶς τοὺς ἐπ' ἀκεραίωι καθημένους εἰσήγαγον ὥσπερ κριτάς, ἀνθρώπους ἠγνοηκότας τὸ πρᾶγμα. καὶ ἀνεγινώσκετο μὲν τὰ ὑπομνήματα καὶ εὐφημεῖτο ὁ τῆς μακαρίας μνήμης Φλαβιανός, μεταξὺ δὲ τῶν εὐφημιῶν ἡμεῖς ἐσιωπῶμεν ὡς καλῶς πεπραγμένων τῶν πραχθέντων. μετὰ δὲ ταῦτα, ἵνα ἡμᾶς πτοήσωσιν, ἀνεβόησαν τὴν παραπλησίαν Νεστορίου αἵρεσιν ἐπιφημίσαντες ἡμῖν· εἰς δύο ποιήσατε τοὺς λέγοντας δύο φύσεις· τοὺς τὰς δύο λέγοντας διχάσατε ἀνέλετε ἐκβάλετε, ἵνα τῶι φόβωι τῆς Νεστοριανῆς κακοδοξίας μὴ ὡς ὀρθόδοξοι κριθῶμεν, ἀλλ' ὡς αἱρετικοὶ κατακριθῶμεν. καὶ ἕκαστος ἐδεδοίκει μὴ ἐκβληθεὶς ὡς αἱρετικὸς ἀπολέσοι οὓς ἐβάπτισεν, καὶ οὐκ ἦν αὐτῶι ὁ κίνδυνος, ἀλλ' ἢ τῶν βαπτισθέντων ἦν τῶν πιστευσάντων τῶι Χριστῶι. καὶ οὐκ ἔδει μὲν ἡμᾶς σιωπῆσαι τότε, ἔπειτα καὶ ἄλλο ἐποίησαν. ἐκελεύσθη παρὰ τοῦ δεσπότου τῆς οἰκουμένης ἡ σύνοδος πρῶτον τὰ περὶ Φλαβιανοῦ κρῖναι. οὗτοι πολλὰς ἐν ταὐτῶι συνόδους ποιήσαντες καὶ οὐχ ὑπογράψαντες οὐδὲ προγράψαντες τὰ δεδογμένα οὐδὲ ἀναγνόντες τινὶ οὐδὲ εἰδότων τινῶν προσήνεγκαν ἡμῖν ἀγράφους χάρτας Διόσκορος καὶ Ἰουβενάλιος,
M VI 605 πλῆθος ἔχοντες ἀτάκτων ἀνθρώπων, βοώντων πολλῶν καὶ θορυβούντων καὶ κατασειόντων τὴν σύνοδον. ἑκατὸν τριάκοντα πέντε ἦμεν οἱ πάντες, τεσσαρακονταδύο ἐκελεύσθησαν σιωπῆσαι, οἱ λοιποὶ ἦσαν Διόσκορος καὶ Ἰουβενάλιος καὶ πλῆθος ἀτάκτων, ἦμεν λοιπὸν δεκαπέντε ἄνθρωποι. τί εἴχομεν ποιῆσαι; εἰς τὸ αἷμα ἡμῶν ἔπαιξαν οὗτοι· αἱρετικοὶ ὄντες μίαν φωνὴν ἔλεγον πάντες· κατεπτόησαν ἡμᾶς· αἱρετικοὺς ἡμᾶς εἶπον καὶ ἐξεβλήθημεν ὡς αἱρετικοί.

63 Οἱ Ἀνατολικοὶ καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκοποι ἐξεβόησαν· Ταῦτα πάντες λέγομεν, ταῦτα οὕτως ἔχει.

64 Οἱ Αἰγύπτιοι καὶ οἱ μετ' αὐτῶν εὐλαβέστατοι ἐπίσκοποι ἐξεβόησαν· Χριστιανὸς οὐδένα φοβεῖται. ὀρθόδοξος οὐδένα φοβεῖται. πῦρ τεθῆι, καὶ μανθάνομεν. εἰ ἀνθρώπους ἐφοβοῦντο, μάρτυρες οὐκ ἦσαν.

65 Διόσκορος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Ἐπειδὴ λέγουσιν μὴ ἀκηκόεναι τῶν κεκριμένων καὶ τετυπωμένων, ἀλλ' ἁπλῶς εἰς χάρτην ὑπογράψαι καθαρὸν ἐπιδεδομένον αὐτοῖς, μάλιστα μὲν οὐκ ἐχρῆν αὐτοὺς ὑπογράψαι μὴ πεπληροφορημένους ἐφ' οἷς εἴρηκεν ἡ σύνοδος, ἐπειδὴ περὶ πίστεως ἦν ὁ λόγος· ἐπειδὴ δὲ αἰτιῶνται

MBPSΦ

1 Ἰουβενιαλίου S τοῦ κύρου om. BS 2 ἄλλων] ὅλων S 3 μητροπόλεως B 4 ἐτέθην μὲν M μὲν ἐτέθην PS ἐτέθην B δὲ] μέντοι B καὶ MPSΦ^{ac} om. BΦ^{er} 6 τῆς Ἰσαυρίας B 8 διακρίναι B παρ' ἑαυτοῖς πονηροὺς B 9 ἐπ' — καθημένους] ἐπακεραίους S ἤγαγον M εἰσήνεγκαν B ὡς B 10 ηὐφημεῖτο MPS, corr. M 12 ἀνεβόησαν τινὲς B 14 τὰ BS ἐκβάλλετε M^{corr} 16 ἐκβληθείη S ἀπολέσει PS ἀπολέση B κίνδυνος μόνω B 17 ἀλλ' ἢ B ἀλλὰ MPS μὲν om. B 18 ἄλλο ὃ MPS, corr. M 19 τὸ B συνόδους ἐν ταυτῶ B 20 οὐδὲ προγραψάντες] οὐδ' ὑπογράψαντες S 21 ἰδόντων B 22 ἀτάκτων BΦ ἀγνώστων MPS 23 ρλε S 24 οἱ μβ S ἦν MPS, corr. M ἀτάκτων BΦ ἄτακτον MPS 25 ιε S 26 φωνὴν] φύσιν B ἡμᾶς κατέπτηξαν B 27 εἶπον BΦ ἐποίησαν MPS 30 σὺν αὐτοῖς B 31 κἂν πῦρ B ἐτέθη P οὐκ ἐτέθη S μανθάνομεν ἀπὸ τῶν μαρτύρων B εἰ] οἱ S 34 κεκριμμένων PS 35 ἐπιδιδομένον S δεδομένον B αὐτοῖσ PS

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 9/9/15 7:57 AM

ὡς χάρτου καθαροῦ δεδομένου αὐτοῖς εἰς ὑπογραφήν, τίς καὶ τὰς διαλαλιὰς αὐτῶν ἐτύπωσεν, αὐτοὺς εἰπεῖν ἀξιῶ προστάξαι τὴν ὑμετέραν μεγαλοπρέπειαν. L IIII 116

66 Οἱ ἐνδοξότατοι ἄρχοντες καὶ ἡ ὑπερφυὴς σύγκλητος εἶπον· Τὰ πεπραγμένα ἀναγινωσκέσθω.

Κωνσταντῖνος ὁ καθωσιωμένος μαγιστριανὸς καὶ βοηθὸς τῶν θείων σηκρήτων ἀπὸ σχεδαρίου ἐπιδοθέντος παρὰ Ἀετίου ἀρχιδιακόνου τῆς κατὰ τὴν βασιλεύουσαν Κωνσταντινούπολιν ἁγιωτάτης ἐκκλησίας ἀνέγνω

67 Θεῖον γράμμα καταπεμφθὲν πρὸς Διόσκορον τὸν εὐλαβέστατον ἐπίσκοπον περὶ τοῦ παραγενέσθαι ἐν τῇ κατ' Ἔφεσον συνόδῳ, ὅπερ ἀνωτέρω ἐντέτακται 'ἀπὸ κώδικος ἀνέγνω' p. 67, 37

'Ο αὐτὸς ἀπὸ τοῦ αὐτοῦ σχεδαρίου ἀνέγνω

68 Τοῖς μετὰ τὴν ὑπατείαν Ζήνωνος καὶ Ποστουμιανοῦ τῶν λαμπροτάτων τῇ πρὸ ἓξ Εἰδῶν Αὐγούστων, ἥτις ἐστὶν κατ' Αἰγυπτίους Μεσορὶ ιε̄, ἰνδικτιῶνι τρίτῃ d. 8. m. Aug. a. 449

συνόδου συγκροτηθείσης ἐν τῇ Ἐφεσίων μητροπόλει ἐκ θεσπίσματος τῶν θεοφιλεστάτων καὶ φιλοχρίστων βασιλέων καὶ καθεσθέντων ἐν τῇ ἁγιωτάτῃ ἐκκλησίαι τῇ καλουμένῃ Μαρίαι τῶν θεοφιλεστάτων καὶ ὁσιωτάτων ἐπισκόπων

Διοσκόρου Ἀλεξανδρείας M VI 608

καὶ Ἰουλίου ἐπισκόπου ἐπέχοντος τὸν τόπον τοῦ ἁγιωτάτου καὶ ὁσιωτάτου ἐπισκόπου τῆς Ῥωμαίων ἐκκλησίας Λέοντος

69 Καὶ ἐν τῶι ἀναγινώσκεσθαι οἱ Ἀνατολικοὶ καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκοποι ἐξεβόησαν· Ἐξεβλήθη, οὐδεὶς κατεδέξατο τὸ ὄνομα Λέοντος.

Κωνσταντῖνος ὁ καθωσιωμένος σηκρητάριος ἐκ τοῦ αὐτοῦ σχεδαρίου ἀνέγνω τὰ ἑξῆς

70 καὶ Ἰουβεναλίου Ἱεροσολύμων
καὶ Δόμνου Ἀντιοχείας
καὶ Φλαβιανοῦ Κωνσταντινουπόλεως

71 Καὶ ἐν τῶι ἀναγινώσκεσθαι οἱ Ἀνατολικοὶ καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκοποι ἐξεβόησαν· Φλαβιανὸς ὡς κατάκριτος εἰσῆλθεν. αὕτη ὁμολογουμένη συκοφαντία. Φλαβιανὸς ἐν τῶι ἰδίωι τόπωι διὰ τί οὐκ ἐκαθέσθη; τὸν Κωνσταντινουπόλεως ἐπίσκοπον διὰ τί πέμπτον ἔταξαν;

12—16 ἐπισκόπων adfert Timotheus Aelurus in cod. Mus. Brit. 12156 f. 51b 24 sq. alter catalogus qui pertinet ad actionem d. 22. m. Aug. 449, extat in gestorum uersione Syriaca p. 6. 8 [Σ]
7 ἀπὸ τῆς ἐν Ἐφέσωι δευτέρας M in mg.

MBPSΦ

3 εἶπεν MPS 3/4 ἀναγινωσκέσθωσαν B 5 μαγιστριανὸς — σηκρήτων] σηκρητάριος τοῦ θείου κονσιστορίου B 6 σχιδαρίου MPS, corr. M 7 ἐκκλησίασ ἁγιωτάτησ B 8 ἀποσταλὲν B 9/10 ἐντέτακται — ἀνέγνω] ἀπὸ κώδικοσ ἀνεγνώσθη B 11 σχιδαρίου MPS, corr. M 12 πουστουμιανοῦ MPS Tim. 13 ἰδῶν M μεσορη PS μεσωρὶ B πεντεκαιδεκάτη B ἰνδικτιῶνι γ̄ S ἰνδικτιῶνοσ τρίτησ B 16 καὶ ὁσιωτάτων om. S 18 καὶ om. MPSΦac ἰουβενουαλίου S ἐπισκόπου om. BS 18/19 ὁσιωτάτου τῆσ συνετῆσ ῥωμαίων — ἐπισκόπου λέοντοσ B 19 τῆς — ἐκκλησίας] ῥώμησ S 21 ἐβόησαν MPS ἐξεβλήθη] διατί ἐξεβλήθη λέων τότε B 21 κατέθετο B 22 σχιδαρίου MPS, corr. M 27 ἀναγινώσκειν B 30 διατί ἐν τῶ οἰκείω τόπω B

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 9/9/15 7:57 AM

72 Πασκασῖνος ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· Ἴδε ἡμεῖς θεοῦ θέλοντος τὸν κύριν Ἀνατόλιον πρῶτον ἔχομεν· οὗτοι πέμπτον ἔταξαν τὸν μακάριον Φλαβιανόν.

73 Διογένης ὁ εὐλαβέστατος ἐπίσκοπος ἐκκλησίας Κυζίκου εἶπεν· Ἐπειδὴ ὑμεῖς τοὺς κανόνας οἴδατε.

74 Οἱ Αἰγύπτιοι καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκοποι ἐξεβόησαν· Δεόμεθα, τοὺς περισσοὺς ἔξω βάλε. ὁ βασιλεὺς ἐπισκόπους ἐκάλεσεν. ἡ σύνοδος ἐπισκόπων ἐστίν. περισσοὶ διὰ τί κράζουσιν;

75 Θεόδωρος ἐπίσκοπος Κλαυδιουπόλεως Ἰσαυρίας εἶπεν· Οἱ νοτάριοι Διοσκόρου κράζουσιν.

76 Διόσκορος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Δύο νοταρίους ἔχω μόνον· οἱ δύο θόρυβον πῶς ποιοῦσιν;

77 Οἱ ἐνδοξότατοι ἄρχοντες καὶ ἡ ὑπερφυὴς σύγκλητος εἶπον· Τὰ ἑξῆς ἀναγινωσκέσθω.

Κωνσταντῖνος ὁ καθωσιωμένος σηκρητάριος τοῦ θείου κονσιστωρίου ἀπὸ τοῦ αὐτοῦ σχεδαρίου ἀνέγνω τὰ ἑξῆς

78 6 καὶ Στεφάνου τῆς Ἐφεσίων
7 καὶ Θαλασσίου Καισαρείας Καππαδοκίας πρώτης
8 καὶ Εὐσεβίου Ἀγκύρας Γαλατίας πρώτης
9 καὶ Ἰωάννου Σεβαστείας Ἀρμενίας πρώτης
10 καὶ Κύρου Ἀφροδισιάδος τῆς Καρίας
11 καὶ Ἐρασιστράτου Κορίνθου τῆς Ἑλλάδος
L. IIII 117 12. 13 καὶ Κυντίλλου Ἡρακλείας ἐπέχοντος καὶ τὸν τόπον Ἀναστασίου τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Θεσσαλονικέων
14. 15 καὶ Μελιτίου Λαρίσσης ἐπέχοντος καὶ τὸν τόπον Δόμνου τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Ἀπαμέων
16. 17 καὶ Κυριακοῦ ἐπισκόπου Τροκνάδων ἐπέχοντος τὸν τόπον Θεοκτίστου τοῦ εὐλαβεστάτου ἐπισκόπου Πισινοῦντος Γαλατίας δευτέρας
18 καὶ Διογένους Κυζίκου
19 καὶ Βασιλείου Σελευκείας τῆς Ἰσαυρίας
20 καὶ Ἰωάννου Ῥόδου
21 καὶ Θεοδώρου Ταρσοῦ
22 καὶ Ῥωμανοῦ Μύρων τῆς Λυκίας
23 καὶ Φωτίου Τύρου
24 καὶ Θεοδώρου Δαμασκοῦ
25 καὶ Ἰουλιανοῦ Ταβίας
26 καὶ Φλωρεντίου Λυδῶν

1—2 ὅτι οἱ Ῥωμαῖοι τὸν Κωνσταντινουπόλεως πρῶτον ἔταξαν [ἔσχον PS] ἐν Χαλκηδόνι [τῇ συνόδῳ τῇ ἐν χαλκηδόνι PS] M in mg., in textu post εἶπεν PS

MBPSΦ

1 πασχασῖνος PS πασκάσιος B ἴδε] ἤδη PS κῦ MPS 3 ἐπίσκοπος om. S 6 βάλε B βάλετε M βάλλετε M^{corr}PS 11 μόνους BPS 12 εἶπεν MPS 13 τοῦ — κονσιστωρίου om. B 14 σχιδαρίου PS 15—19 καὶ om. B 15. 16 καὶ θαλασσίου τῆς καισαρέων καὶ [καὶ om. S] στεφάνου τῆς [τῆς om. S] ἐφεσίων PS 15 τῆς om. B ἐφέσου B 16 πρώτης om. B 17—34 καὶ om. S 18 πρώτης om. PS 20 καὶ Ἐρασιστράτου om. B 21 κυιντίλου B Ἡρακλείας om. B καὶ om. B Ἀναστασίου om. B 21/22 τοῦ — τῆς om. S 22 τῆς om. B θεσσαλονίκης B 23 μελετίου S καὶ om. B 23/24 τόπον τοῦ — ἀπαμέων δόμνου B τοῦ — τῆς om. S 25 ἐπισκόπου MP om. BS τρωκνάδων PS πρακνάδων B καὶ τὸν S 25/26 Θεοκτίστου — ἐπισκόπου om. B τοῦ — ἐπισκόπου om. S 26 πεσινοῦντος M δευτέρας om. B 28 τῆς om. B 31 τῆς Λυκίας om. B 35 φλορεντίου M λύδδων MB τύβων PS

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 9/9/15 7:57 AM

27 καὶ Μαρινιανοῦ Συννάδων
28 καὶ Μουσωνίου Νύσης
29 καὶ Κωνσταντίου Βόστρας
30 καὶ Ἰωάννου Νικοπόλεως Ἀρμενίας πρώτης
31. 32 καὶ Ἀκακίου Ἀριαραθείας δευτέρας Ἀρμενίας ἐπέχοντος τὸν τόπον Κωνσταντίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Μελιτηνῆς M VI 609 6
33 καὶ Στεφάνου Ἱερᾶς πόλεως
34 καὶ Ἀττικοῦ Νικοπόλεως Ἠπείρου παλαιᾶς
35 καὶ Εὐσταθίου Βηρυτοῦ
36 καὶ Νουνεχίου Λαοδικείας Τριμιταρίας 10
37 καὶ Ὀλυμπίου Κωνσταντίας τῆς Κύπρου
38 καὶ Κανδιδιανοῦ Ἀντιοχείας τῆς Πισιδίας
39 καὶ Στεφάνου Ἀναζάρβων
40 καὶ Γεροντίου Σελευκείας Συρίας
41 καὶ Ῥουφίνου Σαμοσάτων 15
42 καὶ Ἰνδίμου Εἰρηνουπόλεως
43 καὶ Τιμοθέου Βαλανέων
44 καὶ Θεοδοσίου Κανώθας
45 καὶ Εὐτυχίου Ἀδριανουπόλεως Ἠπείρου παλαιᾶς
46 καὶ Κλαυδίου Ἀγχιεσμοῦ Ἠπείρου παλαιᾶς 20
47 καὶ Συμεῶνος Ἀμίδης Μεσοποταμίας
48 καὶ Ἠλία Ἀδριανουπόλεως
49 καὶ Σελεύκου Ἀμασείας
50 καὶ Πέτρου Γαγγρῶν
51 καὶ Λουκᾶ Δυρραχίου 25
52 καὶ Ἀντωνίου Λυχνίδου
53 καὶ Μάρκου Εὐροίας
54 καὶ Βιγιλαντίου Λαρίσσης
55 καὶ Βασιλείου Τραιανουπόλεως ἐπαρχίας Ῥοδόπης
56 καὶ Δοκιμασίου Μαρωνείας ἐπαρχίας Ῥοδόπης 30
57 καὶ Κωνσταντίνου Δημητριάδος
58 καὶ Ἀλεξάνδρου Σεβαστῆς τῆς Ταρσοῦ
59 καὶ Σώιζοντος Φιλίππων
60 καὶ Εὐσεβίου Δοβήρου Μακεδονίας πρώτης
61 καὶ Μαξιμιανοῦ Σερρέων Μακεδονίας πρώτης 35
62 καὶ Ἑρμογένους Κασανδρείας Μακεδονίας πρώτης

MBPSΦ

1 μαριανοῦ PS συνάδων BPS 2 νύσσης B 3 inde a 3 καὶ semper om. S 3 κωνσταντίνου MPS et infra 1067[21] βόστρων B 4 πρώτης om. B 5/6 Ἀκακίου — ἐπισκόπου] δευτέρου πόντου B 5 Ἀριαραθείας] ἀραβίας S καὶ τὸν S κωνσταντίνου S 6 τοῦ — ἐπισκόπου om. S μελιτινῆς MP μελητινῆς S 7 ἱεραπόλεως PS 8 παλαιᾶς om. B 11. 10 coll. B 11 τῆς Κύπρου om. B τῆς om. S 12 τῆς om. B πισσιδίας S 13 ἀναζάρβου BΦ 14 Ἰσαυρίας B 16 Ἰλοδήμου B εἰρηνοπόλεως PS 17 λαβενέων B 18 κανωθᾶ B καναθᾶς P 19 ἀνδριανουπόλεως S παλαιᾶς om. B 20 ἀνχιέσμου P ἀνχιέσμων S ἀγχιασμοῦ BΦ[ac] Ἠπείρου παλαιᾶς om. S 22 ἡλιοῦ MPS ἀνδριανουπόλεως S 23 σελεύκου ἐπισκόπου MP 25 δυρρακίου M δουρακίου P 26 λυχνιδίου B 27 εὐοίας S 28 αἰγιλάνου B 29 ἐπαρχίας Ῥοδόπης om. B ἐπάρχου PS 30 om. BS ἐπάρχου P 32 *Sebastiae* 1067[51] τῆς om. B 34 δοβήτου M πρώτης om. B 35 μαξιμίνου B cf. infra 884,50 σερρῶν B Μακεδονίας πρώτης om. B 36 Μακεδονίας πρώτης om. B

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 9/9/15 7:57 AM

63 καὶ Λουκᾶ Βεροίας Μακεδονίας πρώτης
64 καὶ Διογενιανοῦ Ῥεμεσιανῆς τῆς Δακίας
65 καὶ Ἰωάννου τῆς Μεσσήνης τῆς Ἀχαίας
66 καὶ Οὐρανίου Ἰμερίας ἐπαρχίας Ὀσδροηνῆς
67 καὶ Ἀθανασίου Ὀποῦντος τῆς Ἀχαίας
68 καὶ Θεοδώρου Κλαυδιουπόλεως τῆς Ἰσαυρίας
69 καὶ Λεοντίου Ἀσκάλωνος
70 καὶ Φωτεινοῦ Λύδδης
71 καὶ Ἀναστασίου Ἀρεοπόλεως
72 καὶ Θεοδοσίου Ἀμαθοῦντος
73 καὶ Παύλου Μαιουμᾶ
74 καὶ Ζωσίμου Μινωΐδος
75 καὶ Ἐπιφανίου Πέργης
76 καὶ Βαρουχίου Σωιζούσης Παλαιστίνης
77 καὶ Ἡρακλείου Ἀζώτου
78 καὶ Ἰωάννου Τιβεριάδος
79 καὶ Μουσωνίου Ζοόρων
80 καὶ Διονυσίου Συκαμαζόνος
81 καὶ Καιούμου Φαεινοῦς
82 καὶ Αἰθερίχου Σμύρνης
83 καὶ Κωνσταντίου Σεβαστῆς
84 καὶ Ζεβένου Πέλλης
85 καὶ Ἀλυπίου Βακάθων
86 καὶ Πολυχρονίου Ἀντιπατρίδος
87 καὶ Παγκρατίου Λιβιάδος
88 καὶ Αὐξιλάου Σαρακηνῶν τῶν ὑποσπόνδων
89 καὶ Δομνίνου Πλαταιῶν τῆς Ἑλλάδος
90 καὶ Θεοδοσίου Μασταύρων
91 καὶ Κυριακοῦ Αἰγάης
92 καὶ Φλαβιανοῦ Ἀτραμυττίου
93 καὶ Κυριακοῦ Λεβέδου
94 καὶ Λεοντίου Μαγνησίας Μαιάνδρου
95 καὶ Εὐτροπίου Περγάμου τῆς Ἀσίας
96 καὶ Γενναδίου Τηίων
97 καὶ Ὀλυμπίου Εὐάζων
98 καὶ Μαξίμου Τράλλεων
99 καὶ Ἰουλιανοῦ Ὑπαίπων

MBPSΦ

1 om. PS βερροίασ B Μακεδονίας πρώτης om. B 2/3 Ῥεμεσιανῆς — τῆς om. S 2 τῆς Δακίας om. B 3 τῆς om. B μεσήνησ BPS μεσίνησ M μεσσίνησ M^{corr} τῆς Ἀχαίας om. B 4 ἐπάρχου ἐσδρόησ S om. B ὁρωηνῆσ P 5 τῆς Ἀχαίας om. B 6 κλαυδιοπόλεωσ M τῆς Ἰσαυρίας om. B 9 ἀρεοπολίτου B 10 ἀμαθουσῶν B 12 νινωΐδοσ M μηνωΐδοσ PS μενοΐδοσ B 14 Παλαιστίνης om. B 17 ζωορῶν PS 18 καμαζόνοσ B 19 φαεινοῦσ PS φαινοῦσ MB *Phainus* 106775 20 ἐτερίχου M 21 κωνσταντίνου MPSΦ^{e} cf. 1067^{8} 22 ζαβένου B 23 βακάθων BΣ βάκτρων MPSΦ^{r} *cabathenorum* 106777 25 πατρικίου S 26 αὐξολάου B, Φ 1067^{80} 27 πλατεῶν MP πλαταιέων B πλατανέων S τῆς Ἑλλάδος om. B 28 μαυσταύρων S 29 αἰγέησ B αἴγλησ MPSΦ et Φ^{cr} 1067^{83} 30 ἀτραμυττίου M ἀδραμυττίου PS ἀδραμύτου B 33 περμάθου B τῆς om. S 34 Τηίων Σ, cf. Φ, γηίνων MPS cf. 1067^{88} τῆσ σιών B 36 τρανλέων B 37/p. 81, 2 Ὑπαίπων — Πολυκάρπου om. PS 37 ὑπέπων MB

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 9/9/15 7:57 AM

100 καὶ Χρυσανθίου δαγη
101 καὶ Πολυκάρπου Γαβάλων
102 καὶ Παύλου Τριπόλεως Λυδίας
103 καὶ Μελιφθόγγου Ἰουλιουπόλεως L IIII 120 M VI 612
104 καὶ Ὀνησιφόρου Ἰκονίου
καὶ Δοκιμασίου Μαρωνείας 6
105 καὶ Λογγίνου Χερσονήσου
106 καὶ Εὐδοξίου Βοσπόρων
107 καὶ Τιμοθέου Πριμουπόλεως τῆς Παμφυλίας
108 καὶ Θεοπέμπτου Καβάσων 10
109 καὶ Καλοσιρίου Ἀρσινοίτου
110 καὶ Ἰωάννου Ἡφαίστου
111 καὶ Ἡρακλείδου Ἡρακλέως
112 καὶ Ἰσαὰκ Ἐλεαρχίας
113 καὶ Γεμελλίνου Ἐρυθροῦ 15
114 καὶ Ἀπολλωνίου Τάνεως
115 καὶ Γενναδίου Ἑρμουπόλεως μεγάλης
116 καὶ Κύρου Βαβυλῶνος
117 καὶ Ἀθανασίου Βουσίριδος
118 καὶ Θεοφίλου Κλεοπατρίδος 20
119 καὶ Πασμηίου Παράλου
120 καὶ Φωτεινοῦ Τευχείρων
121 καὶ Σωσίου Σωιξούσης
122 καὶ Θεοδούλου Τησιλα
123 καὶ Θεοδώρου Βάρκης 25
124 καὶ Ῥούφου Κυρήνης
125 καὶ Ζήνωνος Ῥινοκορούρων
126 καὶ Λουκίου Ζύγρων
127 καὶ Αὐσονίου Σεβεννύτου
128 καὶ Ἰσαὰκ Ταύα 30
129 καὶ Φιλοκάλου Ζαγυλέων
130 καὶ Ἡσαίου Ἑρμουπόλεως μικρᾶς
131 καὶ Βαρσουμᾶ πρεσβυτέρου καὶ ἀρχιμανδρίτου
132 καὶ Λογγίνου πρεσβυτέρου ἐπέχοντος τὸν τόπον Δωροθέου ἐπισκόπου Νεοκαισαρείας 35
133 καὶ Ἀνθίμου πρεσβυτέρου ἐπέχοντος τὸν τόπον Πατρικίου ἐπισκόπου Τυάνων Καππαδοκίας δευτέρας

MBPSΦ

1 δαγη MΦ δαγῆσ B Βάγης Σ *Balgenus* 1067[92] 2 βάλων PS 3 Λυδίας om. BΦ[a] 4 ἡλιουπόλεωσ B 6 repetitum ex p. 79, 30; uitium redit in Φ Δοκιμασίου] τιμοθέου B 9 τριμουπόλεωσ S πρόμου B τῆς om. S 10 καμάσων MPS 11 ἀρσενοίτου S 13 ἡρακλείου BΣ ἡρακλέοσ PS ἡρακλίοντοσ B 15 γεμιλίνου B 19 βησιρίδοσ B 20 om. P 21 πασινίου B παράλλου PS 22 τευχίρων M 23 σοσίου B σωσίμου MPS 24 Θεοδώρου B τισιλα Σ *tisilae* Φ[a] τῆσ Ιηλᾶ B *tisale* Φ[r] τῆσ άδα MP άιδά S 25 Βάρκης Φ[cr]Σ δάρκησ MBPSΦ[a] Rusticus in nota cf. infra 884[104], 1067[122] 27 ῥινοκουρούρων B ῥινοκουρίων S 29 αὐξονίου BΦ[r] σεβενύτου MPS 31 φυλοκάλου M ζαγυλέωσ B 33/34 καὶ ἀρχιμανδρίτου — πρεσβυτέρου om. M 34 κατέχοντοσ B 34—36 Δωροθέου — τόπον om. S 34/35 καισαρείασ B

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 9/9/15 7:57 AM

134 καὶ Ἀρίστωνος πρεσβυτέρου ἐπέχοντος τὸν τόπον Εὐνομίου ἐπισκόπου Νικομηδείας

135 καὶ Ὀλυμπίου πρεσβυτέρου ἐπέχοντος τὸν τόπον Καλογήρου ἐπισκόπου Κλαυδιουπόλεως τῆς Ποντικῆς

καὶ Ἰλάρου διακόνου Ῥώμης

καὶ Δουλκιτίου νοταρίου Ῥώμης

79 Ἰωάννης πρεσβύτερος Ἀλεξανδρείας καὶ πρῶτος νοταρίων εἶπεν· Ἔδοξεν καὶ νῦν τοῖς εὐσεβέσιν καὶ φιλοχρίστοις ἡμῶν βασιλεῦσιν θεσπίσαι τὴν ἁγίαν ὑμῶν καὶ μεγάλην σύνοδον ἐνταῦθα συνδραμεῖν ἐφ' ὧι τε τὰ ἀναφυέντα ἀρτίως περὶ τῆς ὀρθῆς ἡμῶν καὶ ἀμωμήτου πίστεως ζητῆσαι καὶ ταῦτα ῥιζόθεν ἀνασπάσαι, ὡς ἂν μὴ ἕλκοντα καὶ ἀνθέλκοντα τῶν ἀκεραιοτάτων ἔσθ' ὅτε τινὰς τοῖς τῆς κακοπιστίας καὶ πλάνης ἐμβάλῃ βόθροις. τοσοῦτον αὐτοῖς εὐσεβείας μέλει καὶ τοῦ χρῆναι τηρεῖσθαι διηνεκῶς ἀρραγῆ καὶ ἀσάλευτα τὰ ἐκτεθέντα περὶ τῆς ὀρθοδόξου θρησκείας ἡμῶν πρώην μὲν παρὰ τῶν ἐν Νικαίαι συνελθόντων μακαριωτάτων πατέρων, βεβαιωθέντα δὲ ἔναγχος παρὰ τῶν ἐν ταύτηι τῆι πόλει συναγηγερμένων, οἳ τοσοῦτον ἑαυτοῖς ὡμολόγησάν τε καὶ συνηνέχθησαν, ὡς μηδὲν παντελῶς φρονῆσαι ἢ ὁρίσαι τὸ διάφορον. μετὰ χεῖρας ἡμῖν αἱ εὐαγεῖς συλλαβαὶ καὶ αὐτὸ τοῦτο ὑποβάλλομεν πρὸς τὸ παριστάμενον τῆι ὑμετέραι ἁγιότητι.

M VI 613 **80** Διόσκορος [ὁ εὐλαβέστατος] ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Ἀναγινωσκέσθω τὸ εὐσεβὲς καὶ θεοφιλὲς τῶν φιλοχρίστων βασιλέων γράμμα τὸ ἀποδοθὲν πρὸς ἕκαστον τῶν μητροπολιτῶν καὶ προλαμπέτω τῶν πραχθησομένων ὑπομνημάτων.

81 Ἰωάννης πρεσβύτερος καὶ πρῶτος νοταρίων ἀνέγνω

L IIII 121 p. 68, 2—5 Αὐτοκράτορες Καίσαρες Θεοδόσιος καὶ Οὐαλεντινιανὸς νικηταὶ τροπαιοῦχοι μέγιστοι ἀεισέβαστοι αὔγουστοι Διοσκόρωι. Ἅπασι δῆλον καθέστηκεν ὅτιπερ ἡ τῆς ἡμετέρας πολιτείας κατάστασις καὶ πάντα τὰ ἀνθρώπινα τῆι περὶ τὸ θεῖον εὐσεβείαι συνέχεται καὶ κρατύνεται καὶ τὰ λοιπὰ ἃ προτέτακται

82 Ἰούλιος ἐπίσκοπος ἐπέχων τὸν τόπον τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου τῆς Ῥωμαίων ἐκκλησίας Λέοντος ἑρμηνεύοντος αὐτὸν Φλωρεντίου ἐπισκόπου Λυδῶν εἶπεν· Τῶι ὁμοίωι τύπωι παρὰ τῶν εὐσεβεστάτων καὶ φιλοχρίστων βασιλέων ὁ ἁγιώτατος ἡμῶν πάπας ὁ τῆς Ῥωμαίων ἐκκλησίας Λέων ἡγούμενος ἐκλήθη.

79—86 praeter Φ extat uersio Latina in Coll. Nouariensi de re Eutychis 10,2—9 [Λ^{n}] 7—22. 27 adfert Timotheus Aelurus f. 51^{b}. 52

7 τὰ πραχθέντα ἐν Ἐφέσωι ἐπὶ Διοσκόρου [ἐπὶ διοσκόρου ἐν ἐφέσω B] ἀναγινώσκεται ἐν Χαλκηδόνι M^{mg}B^{mg}P^{mg}

MBPSΦΛ^{n}

1 ἐπισκόπου om. S 3 ἐπισκόπου om. S 5 *Hilaro* Φ ἱλαρίου MBPS 6 καὶ δουλκιντίου S 7 inscr. τὰ πραχθέντα ἐν ἐφέσω ἐπὶ διοσκόρου S ἁλεξανδρείασ BΛ^{n} om. MPSΦ 8 εὐσεβεστάτοισ B καὶ om. S 9 *huc concurrere* ΦΛ^{n} συνδραμεῖν ἐνταῦθα B Tim. ἐνταῦθα συνεδρεύειν MPS 11 ἐμβάλει S 15 τε om. B 16 τὸ BPS τι M 17 εὐσεβεῖς B τὸν S 19 ὁ εὐλαβέστατοσ BΦ om. MPSΛ^{n} Tim. ἀναγνωσθήτω B 22 ἀνέγνω θεῖον γράμμα B εἶπεν PS 23/24 Αὐτοκράτορες — Διοσκόρωι om. B 25/26 καὶ πάντα — προτέτακται] καὶ τὰ λοιπὰ τὰ προγεγραμμένα B 26 συνέχεταί τε PS 27 ἰουλιανὸσ MPS ἁγιωτάτου om. B ἀρχιεπισκόπου BΦ *papae* Λ^{n} ἐπισκόπου MPS Tim. τῆς om. S 28 αὐτῶ B λύδδων B *lybdaei lybdae liddae* Φ 29 φιλοχρίστων] θεοφυλάκτων S 30 πάπας — *Λέων*] ἀρχιεπίσκοποσ λέων ὁ — ἐκκλησίασ B

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 9/9/15 7:57 AM

83 Ἵλαρος διάκονος Ῥώμης ἑρμηνεύοντος αὐτὸν Φλωρεντίου ἐπισκόπου Λυδῶν εἶπεν· Ὁ ἐνδοξότατος καὶ Χριστιανικώτατος [ἡμῶν] βασιλεὺς σχέσει τῆι περὶ τὴν ὀρθοδοξίαν καὶ διαθέσει τὸν μακαριώτατον ἐπίσκοπον ἡμῶν Λέοντα τὸν τῆς ἀποστολικῆς καθέδρας, ἵνα τούτωι τῶι προσκυνητῶι καὶ ἁγίωι συλλόγωι παρῆι, πέμψας προσκυνητὰ γράμματα παρακέκληκεν. οὕτινος τῆι εὐσεβείαι ἁρέσαι ἠδύνατο, εἰ τούτου τοῦ πράγματος ἡγεῖτό τι ὑπόδειγμα. εἰ γὰρ καὶ κρεῖσσον τοῦτο, ἀλλὰ κατανοεῖ ἡ ὑμετέρα ἁγιωσύνη ὡς οὔτε ἐν τῆι Νικαέων οὔτε ἐν τῆι Ἐφεσίων ἁγίαι συνόδωι οὔτε ἐν ἄλλωι τοιούτωι ἁγίωι συλλόγωι ὁ πάπας τοῦ ἁγιωτάτου θρόνου ἐπέστη, ὅθεν οὕτινος τύπου τῆι συνηθείαι ἐξακολουθήσας ἡμᾶς ἐξαπέστειλεν, ὅστις ἁγιώτατος ἑαυτὸν οὐκ ἀμφέβαλεν ἐν ἡμῖν διατρίβειν ἐνταῦθα, οὓς μάλιστα ἐπίσταται πάντα ὅσα πρὸς τὴν τῆς πίστεως τῆς καθολικῆς ἀκεραιότητα καὶ ὅσα ἀνήκει πρὸς τὴν εἰς τὸν ἁγιώτατον ἀπόστολον Πέτρον εὐλάβειαν, πάντα πράττειν. οὗτος τοίνυν δι' ἡμῶν πρὸς τὴν ὑμετέραν μακαριότητα ἁρμόζοντα τῆι συνόδωι τῶν ἁγίων πατέρων ἀπέστειλε γράμματα, ἅπερ ὑποδεχθέντα ἀναγνωσθῆναι προστάξατε. M VI 616

84 Διόσκορος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Ὑποδεχθήτω τὰ γραφέντα πρὸς τὴν ἁγίαν ταύτην καὶ οἰκουμενικὴν σύνοδον παρὰ τοῦ ὁσιωτάτου ἀδελφοῦ ἡμῶν καὶ συνεπισκόπου Λέοντος.

85 Καὶ ὑποδεχθέντων αὐτῶν Ἰωάννης πρεσβύτερος καὶ πρῶτος νοταρίων εἶπεν· Ἕτερον εὐσεβὲς θέσπισμα ἀπεδόθη τῶι ἁγιωτάτωι καὶ θεοφιλεστάτωι ἀρχιεπισκόπωι ἡμῶν Διοσκόρωι, ὃ καὶ αὐτὸ μετὰ χεῖρας ἡμῖν ἐστι πρὸς τὸ παριστάμενον τῆι ὑμετέραι ἁγιότητι.

86 Ἰουβενάλιος ἐπίσκοπος Ἱεροσολύμων εἶπεν· Ἀναγινωσκέσθω καὶ ἐμφερέσθω τῆι πίστει τῶν ὑπομνημάτων.

87 Καὶ ἐν τῶι ἀναγινώσκεσθαι Ἀέτιος ἀρχιδιάκονος Κωνσταντινουπόλεως εἶπεν· Οὔτε ὑπεδέχθη ἡ ἐπιστολὴ τοῦ ὁσιωτάτου ἀρχιεπισκόπου Λέοντος οὔτε ἀνεγνώσθη.

88 Οἱ Ἀνατολικοὶ καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκοποι ἐξεβόησαν· Οὐκ ἀνεγνώσθη ἡμῖν ἡ ἐπιστολή. εἰ ἀνεγνώσθη, πάντως καὶ ἐμφέρεται.

89 Εὐσέβιος ὁ εὐλαβέστατος ἐπίσκοπος Δορυλαίου εἶπεν· Οὐκ ἀνεγνώσθη, ἀλλὰ παρακατέσχεν τὴν ἐπιστολὴν τὴν συνοδικήν.

90 Ἀέτιος ἀρχιδιάκονος Κωνσταντινουπόλεως εἶπεν· Οὔτε ὑπεδέχθη ἡ ἐπιστολὴ οὔτε ἀνεγνώσθη. καὶ ἑπτάκις ὤμοσεν ἐπὶ πάντων ποιεῖν ταύτην ἀναγνωσθῆναι καὶ οὐκ ἀνεγνώσθη καὶ ἐπιώρκησεν ὅ τι ὤμοσεν. L IIII 124

15 σημ ὅτι ἐνταῦθα ἐπέτρεψεν μὲν Διόσκορος τὴν ἐπιστολὴν ἀναγνωσθῆναι Λέοντος, οὐκ ἀνεγνώσθη δέ Mmg 24 ἐν Χαλκηδόνι Mmg

MBPSΦ, Λ^n [usque ad 23]

1 *Hilarus* ΦΛ^n Ἱλάριος MBPS αὐτὸν om. B λύδδων B λυδδῶν Mcorr cf. p. 82, 28 2 ἡμῶν MPS cf. Φ om. BΛ^n 3 ἐπίσκοπον — καθέδρας] ἡμῶν τῆς ἀποστολικῆς καθέδρας πάπαν λέοντα, B cf. Φ^c 5 τῆ εὐσεβεία PSΦΛ^n ἡ εὐσέβεια MB ἀρκέσαι B 6 εἰ γὰρ καὶ MBPS εἰ καὶ καὶ M in ras. *nam* Φ *sicut etiam* Λ^n; uerba Latina mutauit translator τοῦτο ἀλλὰ McorrB τούτου οὐδὲν [οὐδένα PS]MPS om. ΦΛ^n 7 ὡς] ἀλλ' PS om. Λ^n τῆι¹ om. S 7/8 ἁγίω τοιούτω MPS 8 συνόδω PS ὅθεν et οὕτινος τύπου dittographia 9 ἀμφίβαλλεν S ἠμφίβαλλεν P 10 ἡμῖν ΦΛ^n ὑμῖν MBPS 11 ἀνῆκε B τὴν εἰς om. B 12 εὐλαβεία B πάντα om. B 13 τὰ ἁρμόζοντα BS ἐπέστειλε MP ὑποδειχθέντα M 15 ὁ εὐλαβέστατος ἐπίσκοποσ BΦ om. S ὑποδεχθήτω BPΦΛ^n ὑποδειχθήτω MS τὰ γράμματα τὰ γραφέντα B 16 ἁγιωτάτου BS ἡμῶν ἀδελφοῦ B 18 ὑποδεχθέντων BΛ^n ἀποδοθέντων MPSΦ 19 θέσπισμα MPSΛ^n γράμμα BΦ 19/20 ἡμῶν ἀρχιεπισκόπω B ἀρχιεπισκόπω PS 25 ὑπεδείχθη McorrS ἁγιωτάτου B ἀρχιεπισκόπου] πάπα S 27 ἡ ἐπιστολὴ ἡμῖν B 28 δορυλλαίου MPS, corr. M, om. B 31 ἀναγινώσκεσθαι PS 32 ἀνέγνω B

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 9/9/15 7:57 AM

91 Θέοδωρος ὁ εὐλαβέστατος ἐπίσκοπος Κλαυδιουπόλεως Ἰσαυρίας εἶπεν· Ὅτι ὥμοσεν, πάντες οἴδαμεν· ὅτι δὲ οὐκ ἀνεγνώσθη, ὁμολογοῦμεν.

92 Οἱ ἐνδοξότατοι ἄρχοντες καὶ ἡ ὑπερφυὴς σύγκλητος εἶπον· Οἱ εὐλαβέστατοι ἐπίσκοποι οἷς ἡ αὐθεντία τότε τῶν πραττομένων παρὰ τῆς βασιλικῆς ἐδέδοτο κορυφῆς, λεγέτωσαν διὰ τί ἡ ἐπιστολὴ τοῦ ὁσιωτάτου ἀρχιεπισκόπου Λέοντος οὐκ ἀνεγνώσθη, μάλιστα καὶ διαλαλιᾶς προχωρησάσης τῆς παρακελευομένης αὐτὴν ἀναγωσθῆναι.

93 Διόσκορος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Τὰ πεπραγμένα δηλοῖ ὅτι δεύτερον προσεφώνησα ἀναγνωσθῆναι τὸ γράμμα τοῦ εὐλαβεστάτου ἐπισκόπου Ῥώμης.

94 Οἱ ἐνδοξότατοι ἄρχοντες καὶ ἡ ὑπερφυὴς σύγκλητος εἶπον· Τίνος οὖν αἰτίαι μετὰ τὴν διαλαλιὰν τὴν σὴν ἡ ἀνάγνωσις τῆς ἐπιστολῆς οὐκ ἐγένετο;

95 Διόσκορος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Ἐρωτηθῶσιν καὶ οἱ
M VI 617 ἄλλοι ἐπίσκοποι οἷς ἐπετέτραπτο τὸ πρᾶγμα, τίνος χάριν οὐκ ἀνεγνώσθη.

96 Οἱ ἐνδοξότατοι ἄρχοντες καὶ ἡ ὑπερφυὴς σύγκλητος εἶπον· Τίνας μάλιστα βούλῃ ἐρωτηθῆναι; σαφῶς εἰπέ.

97 Διόσκορος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Τὸν θεοσεβέστατον ἐπίσκοπον Ἰουβενάλιον καὶ τὸν θεοσεβέστατον ἐπίσκοπον Θαλάσσιον.

98 Οἱ ἐνδοξότατοι ἄρχοντες καὶ ἡ ὑπερφυὴς σύγκλητος εἶπον· Ἐν πρώτῃ τάξει ἀπόκριναι αὐτὸς δι' ἣν αἰτίαν ἡ ἀνάγνωσις οὐκ ἐγένετο· ἀκολούθως γὰρ καὶ αὐτοὶ ἐρωτηθήσονται.

99 Διόσκορος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Ἅπαξ εἶπον ὅτι δεύτερον διελάλησα ἀναγνωσθῆναι αὐτήν.

100 Εὐσέβιος ὁ εὐλαβέστατος ἐπίσκοπος Δορυλαίου εἶπεν· Ψεύδεται.

101 Οἱ ἐνδοξότατοι ἄρχοντες καὶ ἡ ὑπερφυὴς σύγκλητος εἶπον· Λεγέτω ὁ θεοφιλέστατος ἐπίσκοπος Ἰουβενάλιος πῶς διαλαλήσαντος τοῦ θεοφιλεστάτου ἐπισκόπου Διοσκόρου ἀναγνωσθῆναι τὴν ἐπιστολὴν τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου Ῥώμης ἡ ἀνάγνωσις αὐτῆς οὐκ ἐγένετο.

102 Ἰουβενάλιος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἱεροσολύμων εἶπεν· Εὐθέως ἀπεκρίνατο ὁ πρεσβύτερος καὶ πριμικήριος τῶν νοταρίων Ἰωάννης ἔχειν μετὰ χεῖρας εὐσεβῆ γράμματα τῶν θεοφιλεστάτων καὶ εὐσεβεστάτων βασιλέων καὶ ἀπεκρινάμην ἀναγνωσθῆναι τὰ βασιλικὰ γράμματα.

103 Οἱ ἐνδοξότατοι ἄρχοντες καὶ ἡ ὑπερφυὴς σύγκλητος εἶπον· Μετὰ οὖν τὴν ἀνάγνωσιν τοῦ θείου γράμματος καὶ ἡ τοῦ εὐλαβεστάτου ἀρχιεπισκόπου Λέοντος ἐπιστολὴ ἀνεγνώσθη;

104 Ἰουβενάλιος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἱεροσολύμων εἶπεν· Οὐκέτι οὔτε ὁ πριμικήριος τῶν νοταρίων οὔτε ἄλλος τις εἶπεν ἔχειν μετὰ χεῖρας τοῦ εὐλαβεστάτου ἐπισκόπου Ῥώμης τὰ γράμματα.

105 Οἱ ἐνδοξότατοι ἄρχοντες καὶ ἡ ὑπερφυὴς σύγκλητος εἶπον· Νῦν καὶ ὁ εὐλαβέστατος ἐπίσκοπος Θαλάσσιος λεγέτω τὴν αἰτίαν δι' ἣν μὴ ἀνεγνώσθη ἡ ἐπιστολὴ τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου Λέοντος.

MBPSΦ

2 ὥμοσεν μὲν PS ὁμολογοῦμεν BΦ πάντες ὁμολογοῦμεν MPS 3 ὑπερφυεστάτη B εἶπεν MPS 6 μάλιστα om. S τῆς om. B 7—12 τὰ πεπραγμένα — εἶπεν om. M 7 ἀρχιεπίσκοποσ B 9 τῆς ῥωμαίων P 10 ὑπερφυεστάτη B εἶπε PS αἰτία B καὶ τίνα PS 14 ὑπερφυστάτη B εἶπεν MPS τίνασ BΦ τίνα MPS βούλει BPS 18 εἶπεν MP 22 ταύτην B 23 δορυλλαίου MPS, corr. M, δορυλλαίων B 24 μεγαλοπρεπέστατοι B εἶπεν MPS καὶ ὁ B 26 Ῥώμης] λέοντοσ B 27 αὐτῆς om. PSΦ^{ac} 29/30 εὐσεβὲσ γράμμα MPS 32 εἶπεν MP 38 εἶπεν MP 39 μὴ MP οὐκ BS ἁγιωτάτου om. B 40 ῥώμησ λέοντοσ B

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 9/9/15 7:57 AM

106 Θαλάσσιος ὁ εὐλαβέστατος ἐπίσκοπος Καισαρείας Καππαδοκίας εἶπεν· Ἐν οἶδα ἐγὼ ὅτι οὔτε ἐκώλυσα οὔτε δὲ τοσαύτην αὐθεντίαν εἶχον, ὥστε ἐμὲ μόνον τυπῶσαι γενέσθαι τὴν ἀνάγνωσιν.

107 Οἱ ἐνδοξότατοι ἄρχοντες καὶ ἡ ὑπερφυὴς σύγκλητος εἶπον· Τὰ ἐξῆς τῶν πεπραγμένων ἀναγινωσκέσθω.

Κωνσταντῖνος ὁ καθωσιωμένος σηκρητάριος ἀπὸ τοῦ αὐτοῦ σχεδαρίου ἀνέγνω

Ἰωάννης πρεσβύτερος καὶ πρῶτος νοταρίων ἀνέγνω L IIII 125

108 Θεῖον γράμμα γραφὲν τῶι εὐλαβεστάτωι Διοσκόρωι περὶ τοῦ παραγενέσθαι Βαρσουμᾶν, ὅπερ ἀνωτέρω ἐντέτακται ἀπὸ κώδικος ἀναγνωσθέν. p. 71, 2—15

109 Ἰουβενάλιος ἐπίσκοπος Ἱεροσολύμων εἶπεν· Ταὐτὰ καὶ ἐμοὶ ἐγράφη περὶ τοῦ εὐλαβεστάτου πρεσβυτέρου καὶ ἀρχιμανδρίτου Βαρσουμᾶ παρὰ τῶν εὐσεβεστάτων βασιλέων, ὅθεν εὐλόγως παρέστω τῆι ἁγίαι συνόδωι.

110 Διόσκορος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Εἴ τι διδάσκειν ἔχουσιν περὶ τῆς ἐν χερσὶν ὑποθέσεως οἱ περίβλεπτοι Ἐλπίδιος ὁ κόμης καὶ Εὐλόγιος ὁ τριβοῦνος καὶ νοτάριος, λεγέτωσαν. M VI 620

111 Ἐλπίδιος ὁ περίβλεπτος κόμης εἶπεν· Οὔτε τῶι ἀρχεκάκωι δαίμονι ῥαθυμητέον ποτέ τοῦ πρὸς τὰς ἁγίας ἐκκλησίας πολέμου καὶ ὁ εὐσεβέστατος ἀεὶ βασιλεὺς ἀντιπαρατάττεται τῶι μὴ δικαίως μαχομένωι, ὀρθῶς ἄρα διανοηθεὶς ὡς ἕξει τὸν ὑπερμαχοῦντα τῆς αὐτοῦ βασιλείας, εἰ πρὸς τοὺς ἀγῶνας τοὺς ὑπὲρ τῆς εὐσεβείας αὐτὸς ἐξοπλίζοιτο. καὶ οὐκ ἐμέμψατο τὴν γνώμην οὕτω φρονῶν· ἄνωθεν γὰρ αὐτῶι τὰ πολλὰ μᾶλλον ἢ τοῖς ὅπλοις κατώρθωται. διὰ τοῦτο καὶ Νεστορίου τῆς ἀπονοίας μεθ' ὑμῶν κατεψήφισται, ὅτι πρὸς τὴν θεραπείαν τοῦ κρείττονος τεταγμένος ἀσεβῶν διδαγμάτων πατὴρ ἐγένετο καὶ διδάσκαλος, καθάπερ ὑπὲρ τῶν δαιμόνων, ἀλλ' οὐχὶ τῆς εὐσεβείας τὴν ἱερωσύνην λαβών. ἀλλ' ἐκεῖνος μὲν τῶι πρέποντι χώρωι τέως καταδεδίκασται πρὸς τὴν ἀπαραίτητον ἐν τῶι μέλλοντι βίωι τηρούμενος κόλασιν, ὅτι πρὸς τοσαύτην ἀσέβειαν αὐτός τε ἐξεχύθη καὶ πολλοὺς μεταπείσας παρέσυρεν· τὴν δὲ γενομένην νῦν ἀμφισβήτησιν ὁ θειότατος βασιλεὺς ἐφ' ὑμᾶς ὡς πατέρας καὶ κριτὰς ἄγει καὶ παρ' ὑμῶν εὑρασθαι βούλεται τοῦ κινουμένου τὴν λύσιν, κοινὴν αὐτῶι τε καὶ τοῖς ὑπηκόοις ἐσομένην ἀσφάλειαν. τίνα δέ ἐστιν ἅπερ ὁ θειότατος βασιλεὺς ἡμῖν τε ἐντέταλται καὶ πρὸς ὑμᾶς ἔγραψεν, νῦν αὐτίκα ὑμῖν φανερὰ ποιήσω, τοσοῦτον ὑπειπὼν οἷα δὴ εἷς ὢν τῶν ὑφ' ὑμῖν τὴν εὐσέβειαν ὀρθῶς τελουμένων. σήμερον ὑμῖν ὁ τῶν ὅλων δεσπότης καὶ θεὸς λόγος σωτὴρ εἰς κρίσιν ἑαυτὸν παραδίδωσιν καὶ δικαζόντων ἀνέχεται καὶ τιμᾶι ταῖς ἐξουσίαις τῶν ψήφων ὑμᾶς, ἵνα εὑρὼν ὑμᾶς ἐπ' αὐτῶι τὰ δίκαια κρίναντας καὶ ἐνταῦθα

7 post ἀνέγνω: ἐπὶ διοσκόρου M

109—111. 113. 114 praeter Φ extat altera uersio Latina in Collectione Nouariensi 10, 11—13. 15—17 [Λ^n]; praeterea adfert Timotheus Aelurus f. 52b. 53

MBPSΦ, Λ^n [praeter 1—6]

4 εἶπεν MP 6 σχιδαρίου MPS, corr. M ἀνέγνω: ἐπὶ διοσκόρου: M 9 ἀναγνωσθὲν ἀπὸ κώδικος B 10 ἐπίσκοπος om. BΛ^n, cf. notam Rustici τὰ αὐτὰ κἀμοὶ B 12 παρέστω MPΛ^n, nota Rustici, Tim. παρέστη BΦ παρέστην S 14 καὶ^2 om. MPS 18 δίκαια B 19 αὐτὸς om. B ὁπλίζοιτο B 21/22 κατεψηφίσατο B 23 ὑπὲρ MPSΛ^n Tim. ὑπὸ BΦ οὐχ ὑπὸ BΦ 24 χορῶι Λ^n τέως om. B 26 παρέσειρε S 27 εὐσεβέστατος B 28 εὑρέσθαι B τῶν κινουμένων B 29 τί οὖν ἐστιν ὅπερ B ἡμῖν τε MPS ἡμῶν ἡμῖν B 30 ὑπέγραψε B φανερὸν ὑμῖν B τοσούτων P 31 ὑμῶν BΦ ὑμῖν PSΦ Tim. ἡμῖν MBΛ^n 33 τὴν ψῆφον S

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 9/9/15 7:57 AM

τιμήσηι καὶ ἐπὶ τοῦ πατρὸς πάλιν ὁμολογήσηι, ὡς εἴ γέ τινας εὕροι τὸ γνήσιον τῆς εὐσεβείας ἐκβάλλοντας τῆς διανοίας καὶ τὰ πιστευόμενα τέχνηι ῥημάτων εἰς ἀμφισβήτησιν ἄγοντας παρὰ τὴν ἔκθεσιν τῶν ἁγίων πατέρων, φεῦ τῆς ἐπ' αὐτοῖς ἑκατέρας ψήφου
Mt. 26, 24 θεοῦ τε καὶ βασιλέως. καλὸν ἦν αὐτοῖς, εἰ μὴ ἐγεννήθησαν, ὅτι μετὰ λῃστὴν καὶ τελώνην καὶ πόρνην καὶ Χαναναίαν οὐχ ὁμολογοῦσιν καθαρῶς ἐπὶ τῆς δόξης τὸν ἐπὶ τῆς δι' ἡμᾶς αὐτοῦ ταπεινώσεως πιστευθέντα. ἀναγνώσομαι δὲ τὰ πρὸς ἡμᾶς ἐνταλθέντα παρὰ τοῦ θειοτάτου αὐτοκράτορος ἡμῶν βασιλέως.

112 M VI 621 p. 72, 5—73, 18 Ἐλπίδιος ὁ περίβλεπτος κόμης ἀνέγνω θεῖον ὑπομνηστικὸν τὸ δοθὲν αὐτῶι καὶ Εὐλογίωι περιβλέπτωι τριβούνωι καὶ νοταρίωι, ὅπερ ἀνωτέρω ἐντέτακται ἀπὸ κώδικος ἀναγνωσθέν.

113 L IIII 128 Ἐλπίδιος ὁ περίβλεπτος κόμης εἶπεν· Νῦν κελεύσατε δεχθῆναι καὶ ἀναγνωσθῆναι καὶ τὰ πρὸς ὑμᾶς γραφέντα παρὰ τῆς θείας κορυφῆς.

114 Διόσκορος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Ὑποδεχθὲν τὸ εὐαγὲς γράμμα τῶν φιλοχρίστων βασιλέων τὸ γραφὲν πρὸς τὴν ἁγίαν σύνοδον ἀναγινωσκέσθω.

Ἰωάννης πρεσβύτερος καὶ πρῶτος νοταρίων ἀνέγνω

115 p. 73, 21—74, 6 Θεῖον γράμμα γραφὲν πρὸς τὴν ἐν Ἐφέσωι σύνοδον περὶ τοῦ ἐπισκόπου Φλαβιανοῦ ὡς ἀνακινοῦντός τινα περὶ τῆς πίστεως πρὸς Εὐτυχῆ, ὅπερ ἀνωτέρω ἐντέτακται ἀπὸ κώδικος ἀναγνωσθέν.

116 Θαλάσσιος ἐπίσκοπος Καισαρείας Καππαδοκίας εἶπεν· Ὁ εὐσεβέστατος καὶ φιλόχριστος βασιλεὺς βουλόμενος τὴν πίστιν τὴν οὖσαν ἄχρι τοῦ παρόντος ἀσάλευτον μεῖναι, ἐκέλευσεν μηδὲν ἕτερον μήτε λεχθῆναι μήτε πραχθῆναι ἐν τῆι ἁγίαι συνόδωι, εἰ μὴ πρότερον τὰ τῆς πίστεως στῆι. ὅθεν πάντα ἀργείτω, τὰ μέντοι τῆς πίστεως προβαινέτω.

117 Ἰούλιος ἐπίσκοπος ἐπέχων τὸν τόπον τοῦ ἁγιωτάτου ἐπισκόπου τῆς Ῥωμαίων ἐκκλησίας Λέοντος ἑρμηνεύοντος αὐτὸν Φλωρεντίου ἐπισκόπου Λυδῶν εἶπεν· Οὔτε γὰρ ἄλλο προστέτακται.

118 Ἐλπίδιος ὁ περίβλεπτος κόμης εἶπεν· Ἐπειδὴ τοίνυν θεμέλιος τῆς πίστεως ἡ πίστις αὕτη, ἧς ἕνεκα καὶ συνεληλύθατε, καταξιώσατε συμψηφιζομένου ὑμῖν τοῦ θεοῦ τὰ περὶ τῆς πίστεως ἀποφήνασθαι, ὥστε δεύτερον κατὰ τὴν τάξιν καιρὸν γενέσθαι τὴν ἀνάγνωσιν τῶν πεπραγμένων κατὰ τὴν βασιλεύουσαν ἐπὶ Εὐτυχεῖ τῶι εὐλαβεστάτωι ἀρχιμανδρίτηι.

119 Διόσκορος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Δῆλα γέγονεν ἡμῖν τὰ εὐσεβῆ γράμματα τῶν θεοφιλεστάτων βασιλέων καὶ ὅτι κεκινημένων τινῶν ἐν τῆι Κωνσταντινουπόλει τὴν σύνοδον προσέταξαν γενέσθαι. εἴ τι τοίνυν κεκίνηται, πρῶτον δηλούσθω, εἶθ' οὕτως ἐπιφερέσθω τὰ τῶν ἄνωθεν γενομένων ἁγίων συνόδων δίκαια. φανερὰ ὥρισαν οἱ κανόνες· φανερὰ ἐτύπωσαν αἱ σύνοδοι· ἐκβῆναι τούτων οὐκ ὀφείλομεν. ὁ εὐσεβέστατος καὶ φιλόχριστος ἡμῶν βασιλεὺς ἀναφυέντων τινῶν ἐκέλευσεν ταύτην τὴν ἁγίαν συγκροτηθῆναι

116—120 = Collectio Nouariensis de re Eutychis 10, 19—23 [Λ^n]
119. 120 adfert Timotheus Aelurus f. 55^b

MBPSΦ, Λ^n [praeter 16—18]

7 ἡμῶν αὐτοκράτοροσ B 8 Ἐλπίδιος — κόμης] καὶ B τὸ θεῖον B τὸ om. MPS, corr. M αὐτῶ τὲ B 9 εὐλογίω τῶ B καὶ om. MPS νωταρίων MP 16 ἐπισκόπου B τῆσ ὁσίασ μνήμησ MPSΦ 17 εὐτυχῆν MPS 19 ὁ εὐλαβέστατοσ ἐπίσκοποσ B 21 ἐν om. S 22 πάντασ S μέντοι] δέ γε S 24 τῆς om. MP 25 αὐτῶ BSΦ^c λύδδων B λυδδῶν M^{corr} *lybdaei* Φ^a *lyddae* Φ^{cr} 25/26 οὐδὲν γὰρ ἄλλό τι B 27 ὁ περίβλεπτος om. S ἐπειδὴ τοίνυν BΦΛ^n ἐπειδήπερ ὁ MPS 29 πίστεωσ ἡμῶν B ὡσ S 30 καὶ κατὰ S εὐτυχὴ S 32 τῆι om. S τὴν ἁγίαν B 33 προσέταξεν $\Phi^{ac}\Lambda^n$ 36 συγκροτηθῆναι om. S

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 9/9/15 7:57 AM

σύνοδον, οὐχ ἵνα τὴν πίστιν ἑαυτῶν ἐκθώμεθα, ἣν ἐξέθεντο οἱ πατέρες ἡμῶν ἤδη, ἀλλ' M VI 624
ἵνα ζητήσωμεν τὰ ἀναφυέντα, εἰ συμβαίνουσιν τοῖς ὁρισθεῖσιν παρὰ τῶν ἁγίων ἡμῶν πατέρων. χρὴ τοίνυν ἐκεῖνα τὰ ἀναφυέντα πρότερον ζητηθῆναι καὶ ἡμᾶς δοκιμάσαι εἰ συνωιδὰ τυγχάνουσιν τοῖς ὁρισθεῖσιν παρὰ τῶν ἁγίων πατέρων. ἢ βούλεσθε τὴν πίστιν τῶν ἁγίων πατέρων ἀνασκευάσαι;

120 Ἡ ἁγία σύνοδος εἶπεν· Εἴ τις ἀνασκευάζει, ἀνάθεμα ἔστω. εἴ τις ἐπεξεργάζεται, ἀνάθεμα ἔστω. τὴν πίστιν τῶν πατέρων φυλάξωμεν.

121 Καὶ ἐν τῷ ἀναγινώσκεσθαι οἱ Ἀνατολικοὶ καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκοποι ἐξεβόησαν· Ταῦτα οὐκ εἴπομεν. ταῦτα τίς εἶπεν;

122 Θεόδωρος ὁ εὐλαβέστατος ἐπίσκοπος Κλαυδιουπόλεως εἶπεν· Ἀγάγητε τοὺς νοταρίους αὐτοῦ. ἐκβαλὼν γὰρ τοὺς πάντων νοταρίους τοὺς ἑαυτοῦ ἐποίησεν γράφειν. ἐλθόντων οἱ νοτάριοι καὶ εἴπωσιν εἰ ἐγράφη ταῦτα ἢ εἰ παρόντων ἡμῶν ἀνεγνώσθη ἤ τις ἐπέγνω καὶ ὑπέγραψεν.

123 Οἱ ἐνδοξότατοι ἄρχοντες καὶ ἡ ὑπερφυὴς σύγκλητος εἶπον· Τὰ ὑπομνήματα τίνος χειρὶ γέγραπται;

124 Διόσκορος ὁ εὐλαβέστατος ἐπίσκοπος τῆς Ἀλεξανδρέων εἶπεν· Ἕκαστος διὰ τῶν L IIII 129
ἑαυτοῦ νοταρίων ἔγραψεν, οἱ ἐμοὶ τὰ ἐμά, οἱ τοῦ θεοσεβεστάτου ἐπισκόπου Ἰουβεναλίου τὰ αὐτοῦ, οἱ τοῦ θεοσεβεστάτου ἐπισκόπου Θαλασσίου τὰ αὐτοῦ· ἦσαν δὲ καὶ ἄλλων εὐλαβεστάτων ἐπισκόπων πολλοὶ νοτάριοι ἐκλαμβανόντες. οὕτως οὐκ ἔστιν τῶν ἐμῶν νοταρίων τὸ γράμμα· ἕκαστος ἔχει τὸ ἴδιον.

125 Ἰουβενάλιος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἱεροσολύμων εἶπεν· Ἦν νοτάριός μου εἷς ἐκλαμβάνων μετὰ τῶν ἄλλων νοταρίων.

126 Θαλάσσιος ὁ εὐλαβέστατος ἐπίσκοπος Καισαρείας Καππαδοκίας εἶπεν· Καὶ ἐμὸς εἷς ἦν ἐκλαμβάνων.

127 Διόσκορος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Ἰδοὺ καὶ ὁ νοτάριος τοῦ ἐπισκόπου Ἰουβεναλίου ἐξέλαβεν καὶ ὁ νοτάριος τοῦ ἐπισκόπου Θαλασσίου καὶ ὁ τῆς Κορίνθου ἐξέλαβεν· μὴ οἱ ἐμοὶ μόνοι;

128 Εὐσέβιος ὁ εὐλαβέστατος ἐπίσκοπος Δορυλαίου εἶπεν· Ἀξιῶ τὸν θεοφιλέστατον ἐπίσκοπον Στέφανον τῆς Ἐφεσίων ἐρωτηθῆναι εἰ μὴ ἐξειλήφασιν τὰ ὑπομνήματα τῆς ἁγίας συνόδου οἱ νοτάριοι αὐτοῦ καὶ τίνα πεπόνθασιν παρὰ τῶν νοταρίων τοῦ θεοφιλεστάτου ἐπισκόπου τῆς Ἀλεξανδρέων Διοσκόρου.

129 Οἱ ἐνδοξότατοι ἄρχοντες καὶ ἡ ὑπερφυὴς σύγκλητος εἶπον· Τί λέγει πρὸς ταῦτα ὁ εὐλαβέστατος ἐπίσκοπος Στέφανος;

130 Στέφανος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἐφέσου εἶπεν· Ἐξελάμβανον οἱ νοτάριοί μου, Ἰουλιανὸς ὁ νῦν εὐλαβέστατος ἐπίσκοπος Λεβέδου καὶ Κρισπῖνος διάκονος καὶ ἦλθον οἱ νοτάριοι τοῦ εὐλαβεστάτου ἐπισκόπου Διοσκόρου καὶ ἀπήλειψαν αὐτῶν τὰς

---

8 ἐν Χαλκηδόνι B^{mg} in textu post φυλάξωμεν MPS

MBPSΦ, $Λ^{n}$

2 *quae nuper obortа sunt* $Λ^{n}$ 4 πατέρων] ἡμῶν βασιλέων B 6 ἀνασκευάσει PS ἐξεπεργάζεται PS 7 ἔστω om. B φυλάξομεν M 9 εἴπαμεν MS, corr. M ταῦτα τίς εἶπεν om. P 10 κλαυδιουπόλεωσ ἐπίσκοποσ εἶπεν M εἶπε κλαυδιουπόλεωσ ἐπίσκοποσ P 11 ἑαυτοῦ B ἁπάντων B γράφειν μόνους B 12 ἐγράφη] ἐλέχθη B . 14 εἶπε P 17 θεοφιλεστάτου B ἐπισκόπου om. B θαλασσίου B 18 θεοφιλεστάτου Ἰουβεναλίου B 23 ὁ εὐλαβέστατος om. P ἐμοὶ S 25 οἱ νοτάριοι S νοτάριοσ B 26 ἐξέλαβε — ἐπισκόπου] καὶ BS 27 ἐξέλαβον S 28 δορυλλαίου PS δορυλλαίων B εὐλαβέστατον B 29 στέφανον τῆσ ἐφέσου MP τῶν ἐφεσίων στέφανον B εἰ μὴ ἐξειλήφασιν εἰ μὴ S 30/31 εὐλαβεστάτου B 31 ἐπισκόπου om. BS ἀλεξανδρείασ S 32 εἶπεν MP 34 τῆσ ἐφεσίων B 35 μου om. PS κρισπιανὸσ B

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 9/9/15 7:57 AM

δέλτους καὶ τοὺς δακτύλους αὐτῶν παρά τι ἔκλασαν θέλοντες λαβεῖν καὶ τὰ καλαμάρια
M VI 625 αὐτῶν. καὶ οὔτε ἀντίγραφα ἔλαβον τῶν ὑπομνημάτων οὔτε οἶδα ἐκ τότε τί ἐγένετο, ἀλλὰ καὶ ἐν αὐτῇ τῇ ἡμέραι ἐν ᾗ ἡ ἐξέτασις ἐγένετο, ὑπεγράψαμεν εἰς χάρτην καὶ οἱ ἐπίσκοποι οἱ μὴ ὑπογράψαντες ἐμοῦ ἐγγυησαμένου τῇ ἑξῆς ὑπέγραψαν.

131 Εὐσέβιος ὁ εὐλαβέστατος ἐπίσκοπος Δορυλαίου εἶπεν· Ἀξιῶ τὸν θεοφιλέστατον ἐπίσκοπον Ἐφέσου Στέφανον εἰπεῖν εἰς ποῖον χάρτην ὑπέγραψαν.

132 Στέφανος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἐφέσου εἶπεν· Εἰς ἄγραφον χάρτην. ἐν αὐτῇ γὰρ τῇ ὥραι ἐν ᾗ ἡ καθαίρεσις γέγονεν, εὐθὺς καὶ ἡ ὑπογραφὴ ἐγένετο.

133 Διόσκορος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Ἀναγνωσθῆι ἡ κατάθεσις τοῦ εὐλαβεστάτου ἐπισκόπου Στεφάνου· ἆρα ἐγὼ αὐτὸν ἠνάγκασα καταθέσθαι;

134 Ἀκάκιος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀριαραθείας εἶπεν· Ἀγράφωι χάρτηι ὑπεγράψαμεν ἀναγκασθέντες καὶ βιασθέντες καὶ μυρία κακὰ παθόντες. μὴ βουλόμενοι, ἀλλὰ τυραννούμεννοι ὑπεσημηνάμεθα· ἕως γὰρ ἐσπέρας κατέσχον ἡμᾶς ἀποκλείσαντες εἰς τὴν ἐκκλησίαν καὶ ἀνωμαλοῦντας ἡμᾶς οὐ συνεχώρησαν οὔτε ἀναπνεῦσαι οὔτε ἀναχωρῆσαι καὶ ἑαυτῶν γενέσθαι, ἀλλὰ στρατιώτας ἡμῖν ἐπήγαγον μετὰ βάκλων καὶ ξιφῶν καὶ μονάζοντας καὶ οὕτως ἐποίησαν ἡμᾶς ὑποσημήνασθαι.

135 Οἱ ἐνδοξότατοι ἄρχοντες καὶ ἡ ὑπερφυὴς σύγκλητος εἶπον· Ἀναγινωσκέσθω τὰ λοιπά.

Κωνσταντῖνος ὁ καθωσιωμένος σηκρητάριος τοῦ θείου κονσιστωρίου ἐκ τοῦ αὐτοῦ σχεδαρίου ἀνέγνω

136 Διόσκορος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Ἐγὼ πρὸς πληροφορίαν ἁπάντων καὶ βεβαίωσιν τῆς πίστεως καὶ πρὸς ἀνατροπὴν τῶν ἀναφυέντων τὰ τῶν πατέρων ἐρευνῶ, καὶ τῶν ἐν Νικαίαι καὶ τῶν ἐν Εφέσωι.

137 Ἡ ἁγία σύνοδος εἶπεν· Τοῦτο τὴν οἰκουμένην σώιζει. τοῦτο τὴν πίστιν στηρίζει.

138 Καὶ ἐν τῶν ἀναγινώσκεσθαι Εὐσέβιος ὁ εὐλαβέστατος ἐπίσκοπος Δορυλαίου εἶπεν·
L IIII 132 Ἰδοὺ ἐρευνῶ εἶπεν· κἀγὼ τοῦτο πεποίηκα.

139 Διόσκορος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Ἐρευνῶ εἶπον, οὐ
Ioh. 5, 39 καινοτομῶ· καὶ γὰρ ὁ σωτὴρ προσέταξεν ἡμῖν λέγων· ἐρευνᾶτε τὰς γραφάς. ὁ δὲ ἐρευνῶν τὴν γραφὴν οὐ καινοτομεῖ.

140 Εὐσέβιος ὁ εὐλαβέστατος ἐπίσκοπος Δορυλαίου εἶπεν· Ὁ σωτὴρ εἶπεν· Ζητεῖτε,
Mt. 7, 7 καὶ εὑρήσετε.

Κωνσταντῖνος ὁ καθωσιωμένος σηκρητάριος τοῦ θείου κονσιστωρίου ἀπὸ τοῦ αὐτοῦ σχεδαρίου ἀνέγνω

---

136. 137 = Collectio Nouariensis 10, 24. 25 [Λ^n]; adfert Timotheus Aelurus f. 55^b

21 ἐπὶ Διοσκόρου [om. B] ἐν Ἐφέσωι [om. P^{mg}] $M^{mg}B^{mg}P^{mg}$

25 ἐν Χαλκηδόνι $M^{mg}B^{mg}P^{mg}$

MBPSΦ, Λ^n [21—24]

2 οὔτε^1] οὐδὲ MPS ἔκτοτε τῶν B 3 ἡ om. MPS, corr. M 5 δορυλλαίου PS δορυλλαίων B εὐλαβέστατον B *religiosissimum* Φ^r 6 τῆσ ἐφέσου MP Στέφανον om. B ὁποῖον B ὑπέγραψε S 7 τῆσ ἐφεσίων B 9 ἀνεγνώσθη PS 10 ἐπισκόπου om. B ἠνάγκασα αὐτὸν S 11 ἀριαράθησ B 12 μὴ MPS οὐ B 12/13 ἀλλὰ — ὑπεσημηνάμεθα] ὑπεγράψαμεν ἀλλὰ τυραννούμενοι B 14 ἀνωμαλοῦντεσ B οὔτε^2 B ἢ MPS 17 εἶπεν MP 19 κονσιστωρίου MP συνεδρίου B 20 σχιδαρίου MPS, corr. M 24 στηρίζει PSΛ^n στήσει M σώζει BΦ 25 ἀναγνωσθῆναι B ὁ εὐλαβέστατος om. B δορυλλαίου MPS, corr. M δορυλλαίων B 28 καινοτομῶν PS 28/29 ὁ — καινοτομεῖ] καὶ ἐρευνῶ τὴν γραφὴν οὐ καινοτομῶ B 30 δορυλλαίου MP, corr. M δερυλλαίων B 31 εὑρήσετε B$\Lambda^n\Phi$ δοθήσεται ὑμῖν [ἡμῖν M] MPS 32 τοῦ — κονσιστωρίου om. BS 33 σχιδαρίου MPS, corr. M

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 9/9/15 7:57 AM

141 Διόσκορος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Εἰ καὶ δύο λέγονται σύνοδοι, ἀλλ' εἰς μίαν συντείνουσιν πίστιν.

142 Ἡ ἁγία σύνοδος εἶπεν· Ἀπαραλείπτως πάντα ὥρισαν οἱ πατέρες· ὁ παραβαίνων ταῦτα ἀνάθεμα. οὐδεὶς προστίθησιν, οὐδεὶς ἀφαιρεῖ.

143 Διόσκορος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Ἐπειδὴ τὰς φωνὰς ὑμῶν καὶ θεὸς ἀποδέχεται καὶ αὐτοὶ τὰς ἑαυτῶν καταδέχεσθε βεβαίας εἶναι καὶ ἀρεσκούσας θεῶι, εἴ τις παρὰ τὰ πεπραγμένα ἢ παρὰ τὰ δεδογμένα τοῖς πατράσιν τοῖς τε ἐν Νικαίαι συνελθοῦσιν M VI 628 καὶ τοῖς ἐνταῦθα συνειλεγμένοις ἢ ζητεῖ ἢ πολυπραγμονεῖ ἢ ἀνασκευάζει, ἀνάθεμα ἔστω.

144 Ἡ ἁγία σύνοδος εἶπεν· Τῶι μεγάλωι φύλακι τῆς πίστεως Διοσκόρωι τῶι ἀρχιεπισκόπωι.

145 Διόσκορος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Καὶ τὸ ἕτερον λέγω, ὅπερ ἐστὶν φοβερὸν καὶ φρικτόν· ἐάν, φησίν, ἁμαρτάνων ἁμάρτηι ἀνὴρ εἰς ἄνδρα, καὶ προσεύ- 1 Reg. 2, 25 ξονται ὑπὲρ αὐτοῦ πρὸς κύριον· ἐὰν δὲ εἰς κύριον ἁμάρτηι, τίς προσεύξεται περὶ αὐτοῦ; εἰ τοίνυν τὸ πνεῦμα τὸ ἅγιον συνήδρευσεν μετὰ τῶν πατέρων, ὥσπερ οὖν καὶ συνήδρευσεν, καὶ ἐτύπωσεν τὰ τετυπωμένα, ὁ ἀνασκευάζων αὐτὰ τὴν τοῦ πνεύματος ἀθετεῖ χάριν.

146 Ἡ ἁγία σύνοδος εἶπεν· Πάντες τὰ αὐτὰ λέγομεν· ἀνάθεμα ἔστω ὁ ἀνασκευάζων. ἐκβαλλέσθω ὁ ἀνασκευάζων.

147 Διόσκορος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Οὐδεὶς τυποῖ τὰ τετυπωμένα.

148 Ἡ ἁγία σύνοδος εἶπεν· Αὗται αἱ φωναὶ πνεύματος ἁγίου. τῶι φύλακι τῶν κανόνων. διὰ σοῦ ζῶσιν οἱ πατέρες. τῶι φύλακι τῆς πίστεως.

149 Καὶ ἐν τῶι ἀναγινώσκεσθαι Θεόδωρος ὁ εὐλαβέστατος ἐπίσκοπος Κλαυδιουπόλεως εἶπεν· Οὐδεὶς εἶπεν ταῦτα.

150 Διόσκορος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Ἐκ τῶν ὁμολογουμένων πάντα ἀρνεῖσθαι θέλουσιν· εἶπωσιν καὶ τοῦτο ὅτι οὐδὲ παρῆμεν.

Κωνσταντῖνος ὁ καθωσιωμένος σηκρητάριος τοῦ θείου κονσιστωρίου ἐκ τοῦ αὐτοῦ σχεδαρίου ἀνέγνω

151 Ἐλπίδιος ὁ περίβλεπτος κόμης εἶπεν· Φανερῶν ὄντων τῶν δεδογμένων ὑμῖν ἐπὶ τῆι ἁγίαι πίστει καὶ τῆς κοινῆς ἁπάντων φωνῆς συνθεμένης τε καὶ εὐφημησάσης τὴν ὑμῶν τῶν προεδρευόντων ψῆφον, κελεύσατε τὸν εὐλαβέστατον ἀρχιμανδρίτην Εὐτυχῆ [εἰσελθεῖν], ἐφ' ὧι κέκριται τὰ κεκριμένα καὶ ὃς ἐστιν ὑπόθεσις πάσης τῆς πράξεως καὶ οὗ ἕνεκα γέγραπται ὑμῖν τὸ πολὺ μέρος τοῦ θείου γράμματος, παρεῖναι καὶ τὰ δοκοῦντα αὐτῶι διδάξαι τὴν ὑμετέραν θεοσέβειαν.

141—148 adfert Timotheus Aelurus f. 55b

1 ἐπὶ διοσκόρου $M^{mg}P^{mg}$ ἐν ἐφέσω B^{mg} 22 ἐν χαλκηδόνι $M^{mg}B^{mg}$ 28 ἐπὶ διοσκόρου M^{mg} post εἶπεν PS ἐν ἐφέσω B^{mg}

MBPSΦ, $Λ^{n}$ [1—21. 28—33]

1 ὁ εὐλαβέστατοσ ἐπίσκοποσ $BΦ^{ac}$ 6 ἀποδέχεσθε B 7 ἢ $M^{corr}BΦΛ^{n}$ Tim. om. MPS τε om. B 9 τῶι¹ om. MPS, corr. M 9/10 ἀρχιεπισκόπωι πολλὰ τὰ ἔτη Tim. 12 ἁμαρτὼν B 12/13 προσεύξωνται P 13 περὶ B 13/14 προσεύξηται καὶ [om. M^{corr}S]MPS 14 ὑπὲρ S 15 ἐτύπωσαν Tim. 17 ταῦτα $Λ^{n}$ Tim. ἔστω om. B 18 ἐκβαλέσθω MPSB, corr. M 21 σὲ B πίστεως Διοσκόρωι ἀρχιεπισκόπωι Tim. 22 ἀναγνωσθῆναι B 24 ὁ εὐλαβέστατος om. B 26 ὁ καθωσιωμένος om. S τοῦ — κονσιστωρίου om. BS αὐτοῦ BΦ om. MPS 27 σχιδαρίου MPS, corr. M 30 τὸν εὐλαβέστατον B *religiosissimum* Φ *uirum uenerabilem* $Λ^{n}$ om. MPS εὐτυχῆν MPS, corr. M 31 εἰσελθεῖν $M^{mg}B$ om. MPSΦ$Λ^{n}$ κέχρηται τὰ κεκτημένα PS ὅσ B ὡσ MPS ἡ ὑπόθεσισ M^{corr} τῆς om. B 33 ὑμῶν B

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 9/9/15 7:57 AM

152 Ἡ ἁγία σύνοδος εἶπεν· Ἀκολούθως.

153 Ἰουβενάλιος ἐπίσκοπος Ἱεροσολύμων εἶπεν· Εὔλογον παρεῖναι τὸν θεοσεβέστατον ἀρχιμανδρίτην Εὐτυχῆ καὶ τοῖς αὐτοῦ δικαιώμασιν χρήσασθαι.

154 Καὶ εἰσελθόντος αὐτοῦ Θαλάσσιος ἐπίσκοπος Καισαρείας Καππαδοκίας εἶπεν· Τὰς προσούσας αὐτῷ δικαιολογίας ὁ εὐλαβέστατος ἀρχιμανδρίτης Εὐτυχὴς σαφηνιζέτω τῇ ἁγίαι ταύτῃ καὶ μεγάλῃ συνόδωι.

155 Εὐτυχὴς ἀρχιμανδρίτης εἶπεν· Ἐγὼ παρεθέμην ἐμαυτὸν τῷ πατρὶ καὶ τῷ υἱῷ
L IIII 133 καὶ τῷ ἁγίωι πνεύματι καὶ τῷ λόγωι τῆς ἀληθείας τῆς ὑμῶν δικαιοσύνης καὶ μάρτυρας ὑμᾶς ἔχω τῆς ἐμαυτοῦ πίστεως, περὶ ἧς καὶ ἠγωνισάμην μεθ' ὑμῶν μετὰ τῆς ἁγίας συνόδου τῆς πρὸ ὑμῶν ἐνταῦθα συναχθείσης, ὡς καὶ ἡ ὑμετέρα ὁσιότης μαρτυρεῖ. ἔχω
M VI 629 δὲ μετὰ χεῖρας καὶ τὸν λίβελλον τὸν περὶ τῆς πίστεώς μου· κελεύσατε αὐτὸν ἀναγνωσθῆναι, καὶ τὴν ὁμολογίαν δὲ τῆς πίστεως τὴν ἐγκειμένην ἐν αὐτῷι.

156 Στέφανος ἐπίσκοπος Ἐφέσου εἶπεν· Δίκαιόν ἐστιν τὴν ὁμολογίαν καὶ τοὺς λιβέλλους τοῦ εὐλαβεστάτου ἀρχιμανδρίτου Εὐτυχοῦς ὑποδεχθέντας ἐνταγῆναι τῇι πράξει τῶν ὑπομνημάτων.

Καὶ ἐπιδοθέντων αὐτῶν Ἰωάννης πρεσβύτερος καὶ πρῶτος νοταρίων ἀνέγνω

157 Τῇι ἁγιωτάτηι καὶ θεοφιλεστάτηι συνόδωι οἰκουμενικῇι συνελθούσηι ἐν τῇι Ἐφεσίων μητροπόλει παρὰ Εὐτυχοῦς ἀρχιμανδρίτου. Εὐχαριστῶν τῷι παναγίωι θεῷι τῆς παρούσης ἡμέρας καθ' ἣν ἡ εὐσέβεια δι' ὑμᾶς τὴν παρρησίαν ἀπείληφεν, ἀναδιδάσκω τὴν ὑμετέραν ἁγίαν σύνοδον τὰ ἐπ' ἐμοί, μᾶλλον δὲ κατὰ τῆς ὀρθῆς πίστεως παρακολουθήσαντα, προθυμηθεὶς μὲν ἐκ νέας κομιδῆι ἡλικίας ἐν ἡσυχίαι ἀπραγμόνως μέχρι γήρως διατελεῖν καὶ πάσης ἔξω ταραχῆς καθεστάναι, οὐ συγχωρηθεὶς δὲ τῆς τοιαύτης ἐν ἀπολαύσει γενέσθαι προθέσεως, ἀλλὰ καὶ τοῖς ἐσχάτοις ἐξ ἐπιβουλῆς περιβληθεὶς κινδύνοις διὰ τὸ κατὰ τὸν ὅρον τῆς ἐνταῦθα προτέρας ὑμῶν ἁγίας συνόδου μὴ προσδέξασθαι παρὰ τὴν ἐν Νικαίαι ὑπὸ τῶν ἁγίων πατέρων ἐκτεθεῖσαν πίστιν φρονεῖν. ἀναγκαῖον δὲ πρὸ τῆς διδασκαλίας τῶν γενομένων εἰς πληροφορίαν τῆς ὑμετέρας ὁσιότητος, ἣν ἔχω περὶ τοῦ ἁγίου δόγματος ὁμολογίαν, φανερὰν αὖθις ποιῆσαι, μαρτυροῦντος μέν μοι τοῦ θεοῦ, μαρτυρούσης δὲ καὶ τῆς ὑμετέρας ἁγιωσύνης, μεθ' ἧς καὶ αὐτὸς ἀεὶ κατὰ δύναμιν ὑπὲρ τῆς ὀρθοδόξου πίστεως κατὰ τῶν αἱρετικῶν ἐσπούδασα.

Πιστεύω εἰς ἕνα θεὸν πατέρα παντοκράτορα, πάντων ὁρατῶν τε καὶ ἀοράτων ποιητήν· καὶ εἰς ἕνα κύριον Ἰησοῦν Χριστὸν τὸν υἱὸν τοῦ θεοῦ, γεννηθέντα ἐκ τοῦ πατρὸς μονογενῆ, τουτέστιν ἐκ τῆς οὐσίας τοῦ πατρός, θεὸν ἐκ θεοῦ, φῶς ἐκ φωτός, θεὸν ἀληθινὸν ἐκ θεοῦ ἀληθινοῦ, γεννηθέντα, οὐ ποιηθέντα, ὁμοούσιον τῷι πατρί, δι' οὗ τὰ πάντα ἐγένετο τά τε ἐν τῷι οὐρανῷι καὶ τὰ ἐν τῇι γῇι, τὸν δι' ἡμᾶς τοὺς ἀνθρώπους καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν κατελθόντα σαρκωθέντα ἐνανθρωπήσαντα παθόντα καὶ ἀναστάντα τῇι τρίτηι ἡμέραι, ἀνελθόντα εἰς τοὺς οὐρανούς, ἐρχόμενον κρῖναι ζῶντας καὶ

---

157 adfert Timotheus Aelurus f. 54a

16 σημ̄ ὅτι τοῦτον ἐπιδοὺς τὸν λίβελλον εὐτυχὴς ἐδέχθη παρὰ τῆς συνόδου καὶ παρὰ διοσκόρου Mmg

30 ἔκθεσις πίστεως εὐτυχοῦς Mmg Bmg ὁμολογία πίστεως καὶ δόγματος εὐτυχοῦς τοῦ ἀρχιμανδρίτου Smg

---

MBPSΦΛa

2 εὐλαβέστατον B 3 εὐτυχέα MPS 4 ὁ ἐπίσκοποσ P 7 ὁ ἀρχιμανδρίτησ S 11 τὸν] τὸ S τὸν] τοῦ S κελεύσατε MPSΛa καὶ κελεύσατε BΦ 12 δὲ om. B τῆς om. B τὴν ἐγκειμένην ἐν BΛa τῆσ ἐγκειμένησ MPS 21 μὲν γὰρ B 22 γήρουσ MS τῆς om. B 23 βληθεὶσ PS 24/25 μὴ τροσδέξασθαι M μ̄ρσ̄ δέξασθαι PS *recipere uel sentire* Λa 25 ὑπὸ] παρὰ B ἁγίων om. B 26 δὴ Φac 27 ἐγὼ ἔχω S μέν μοι BΦΛa Tim. μέντοι MPS 31 τὸν γεννηθέντα B 34 τῶι om. B 35 καὶ om. B 36 τοὺς om. B

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 9/9/15 7:57 AM

νεκρούς· καὶ εἰς τὸ ἅγιον πνεῦμα. τοὺς δὲ λέγοντας ἦν ποτε ὅτε οὐκ ἦν καὶ πρὶν γεννηθῆναι οὐκ ἦν καὶ ὅτι ἐξ οὐκ ὄντων ἐγένετο, ἢ ἐξ ἑτέρας ὑποστάσεως ἢ οὐσίας φάσκοντας εἶναι ἢ τρεπτὸν ἢ ἀλλοιωτὸν τὸν υἱὸν τοῦ θεοῦ, ἀναθεματίζει ἡ καθολικὴ καὶ ἀποστολικὴ ἐκκλησία. M VI 632

Οὕτως ἄνωθεν ἐκ προγόνων παραλαβὼν ἐπίστευσα καὶ πιστεύω. ἐν αὐτῇ γὰρ καὶ ἐτέχθην καὶ εὐθὺς ἀφιερώθην θεῷ καὶ προσεδέξατό με ἡ αὐτοῦ φιλανθρωπία καὶ ἐν τῇ πίστει ταύτῃ βαπτισθεὶς ἐσφράγισμαι καὶ μέχρι τῆς σήμερον ἔζησα εὐχόμενος ἐν αὐτῇ καὶ τελειωθῆναι. ταύτην τὴν πίστιν καὶ ἡ μνημονευθεῖσα ἐνταῦθα προτέρα ἁγία καὶ οἰκουμενικὴ σύνοδος ἐβεβαίωσεν, ἧς καθηγήσατο ὁ τῆς μακαρίας καὶ ὁσίας μνήμης πατὴρ ἡμῶν καὶ ἐπίσκοπος Κύριλλος καὶ ὅρον ἐξήνεγκεν τὸν παρὰ ταύτην προστιθέντα τι ἢ ἐπινοοῦντα ἢ διδάσκοντα ἐπιτιμίοις τοῖς τότε ἐγγραφεῖσιν ὑποκεῖσθαι, ὧν τὰ ἴσα ἐν βίβλῳ ἀπέστειλέν μοι ὁ μνημονευθεὶς ἐν ἁγίοις πατὴρ ἡμῶν καὶ ἐπίσκοπος Κύριλλος, ἣν καὶ μετὰ χεῖρας ἔχω. ὑποτάξας τοίνυν ἐμαυτὸν τῇ ἁγίᾳ συνόδῳ καὶ τὸν ὅρον ταύτης ἄχρι τοῦ παρόντος ἐφύλαξα L III 136

158 Καὶ ἐν τῷ ἀναγινώσκεσθαι Εὐσέβιος ὁ εὐλαβέστατος ἐπίσκοπος Δορυλαίου εἶπεν· Ἐψεύσατο· οὐκ ἔστιν ὅρος τοιοῦτος, οὐκ ἔστιν κανὼν τοῦτο διαγορεύων.

159 Διόσκορος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Τέσσαρά ἐστιν βιβλία περιέχοντα τοῦτον τὸν ὅρον. ὃν ὥρισαν οἱ ἐπίσκοποι, οὐκ ἐστιν ὅρος; μὴ γὰρ ἔχει ὅτι κανών ἐστιν; οὐκ ἐστιν κανών· ἄλλο ἐστὶν κανών, ἄλλο ὅρος. κατηγόρησον πέντε συνοδικῶν βιβλίων· κἀγὼ ἔχω καὶ ὁ δεῖνα καὶ ὁ δεῖνα ἔχει, ἐνέγκωσιν πάντες τὰ βίβλια.

160 Διογένης ὁ εὐλαβέστατος ἐπίσκοπος Κυζίκου εἶπεν· Δολερῶς προέταξεν τὴν ἐν Νικαίαι τῶν ἁγίων πατέρων σύνοδον, ἐδέξατο δὲ προσθήκας παρὰ τῶν ἁγίων πατέρων διὰ τὴν ἔννοιαν τὴν κακὴν Ἀπολιναρίου καὶ Οὐαλεντίνου καὶ Μακεδονίου καὶ τῶν ὁμοίων ἐκείνοις καὶ προστέθειται τῷ συμβόλῳ τῶν ἁγίων πατέρων τὸ κατελθόντα καὶ σαρκωθέντα ἐκ πνεύματος ἁγίου καὶ Μαρίας τῆς παρθένου. τοῦτο γὰρ παρέλιπεν Εὐτυχὴς ὡς Ἀπολιναριστής· καὶ Ἀπολινάριος γὰρ δέχεται τὴν ἐν Νικαίαι ἁγίαν σύνοδον, κατὰ τὴν οἰκείαν παρανομίαν ἐκλαμβάνων τὸ ῥητόν, καὶ φεύγει τὸ ἐκ πνεύματος ἁγίου καὶ Μαρίας τῆς παρθένου, ἵνα πανταχοῦ μὴ τὴν ἕνωσιν τῆς σαρκὸς ὁμολογήσῃ. οἱ γὰρ ἅγιοι πατέρες οἱ μετὰ ταῦτα τὸ ἐσαρκώθη, ὃ εἶπον οἱ ἅγιοι ἐν Νικαίαι πατέρες, ἐσαφήνισαν εἰπόντες ἐκ πνεύματος ἁγίου καὶ Μαρίας τῆς παρθένου.

161 Οἱ Αἰγύπτιοι καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκοποι ἐξεβόησαν· Οὐδεὶς δέχεται προσθήκην, οὐδεὶς μείωσιν. τὰ τῶν ἐν Νικαίαι κρατείτω· ὁ ὀρθόδοξος βασιλεὺς τοῦτο ἐκέλευσεν. M VI 633

162 Οἱ Ἀνατολικοὶ καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκοποι ἐξεβόησαν· Ταῦτα Εὐτυχὴς εἶπεν.

163 Οἱ Αἰγύπτιοι καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκοποι εἶπον· Προσθήκην οὐδεὶς

---

15 ἐν χαλκηδόνι $M^{mg}B^{mg}$ post 15 εἶπεν PS

MBPSΦ, $Λ^n$ [1—14]

1 τὸ $\overline{πνα}$ τὸ ἅγιον B 2 οὐκ ἐξ οὐκ S 2/3 φάσκοντες P 3 τὸν — θεοῦ] τὸν θῦ B 3/4 ἀποστολικὴ καὶ καθολικὴ MPS 6 με ἡ om. PS αὐτοῦ $M^{corr}BΦΛ^n$ Tim. τοῦ M δεσπότου PS 7 ἐν om. MPS βαπτισθεὶς $M^{corr}B$ χθὲσ πεισθεὶσ [χρισθεὶσ S] PS 8 πρότερον B *super* $Λ^n$ 10 καὶ¹ om. S ταύτην MPS$Λ^n$ Tim. ταῦτα BΦ 11 γραφεῖσιν unus codex $Φ^c$ et $Φ^r$ 12 βίβλῳ P βιβλίῳ MBS 13 ἣν MBPS *quem* $Λ^n$ *quae* Φ καὶ² om. B 15 δορυλαίου M^{corr} δορυλλαίου MPS δορυλλαίων B 17 βιβλία εἰσὶ B 18 ἔχῃ M 19 οὐκ — κανών³ om. B ἄλλο² MPBΦ^a καὶ ἄλλο S$Φ^{cr}$ 20 καὶ ὁ δεῖνα om. B 21/22 τῶν ἐν νικαίᾳ B 22 γὰρ $B^{corr}Φ$ 23 βαλεντίνου B 24 τὸ B τὸν MPS 26 ἀπολιναριαστήσ B καὶ om. unus codex $Φ^c$ et $Φ^r$ ἁγίαν om. BS 27 τὰ ῥήματα BΦ 29 εἶπαν MS, corr. M $\overline{πρσ}$ οἱ ἐν νικαίᾳ B 32 ὁ om. B 34—p. 92, 2 οἱ — ἐκέλευσεν om. B

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 9/9/15 7:57 AM

δέχεται. κρατείτω τὰ τῶν πατέρων. τὰ τῶν ἐν Νικαίαι κρατείτω. τὰ ἐκ πνεύματος ἁγίου κρατείτω. ὁ ὀρθόδοξος βασιλεὺς τοῦτο ἐκέλευσεν.

Κωνσταντῖνος ὁ καθωσιωμένος μαγιστριανὸς καὶ σηκρητάριος τοῦ θείου κονσιστωρίου ἐκ τοῦ αὐτοῦ σχεδαρίου ἀνέγνω

164 καὶ πάντας δὲ τοὺς ἁγίους πατέρας, ὡς καὶ ἡ ὑμετέρα θεοσέβεια, ὀρθοδόξους ἔσχον καὶ πιστοὺς καὶ διδασκάλους ἐμαυτῶι ἐθέμην, ἀναθεματίζων Μάνην Βαλεντῖνον Ἀπολινάριον καὶ Νεστόριον καὶ πάντας τοὺς αἱρετικοὺς ἕως Σίμωνος τοῦ μάγου καὶ τοὺς λέγοντας τὴν σάρκα τοῦ κυρίου καὶ θεοῦ ἡμῶν Ἰησοῦ Χριστοῦ ἐξ οὐρανοῦ κατεληλυθέναι

165 Καὶ ἐν τῶι ἀναγινώσκεσθαι Εὐσέβιος ὁ εὐλαβέστατος ἐπίσκοπος Δορυλαίου εἶπεν·
L IIII 137 Ἔφυγεν μὲν τὸ ἐξ οὐρανοῦ, οὐ προσέθηκεν δὲ πόθεν.

166 Διογένης ὁ εὐλαβέστατος ἐπίσκοπος Κυζίκου εἶπεν· Πόθεν οὖν εἶπεν; μὰ τὴν ἐξουσίαν ὑμῶν, παρεκαλέσαμεν αὐτὸν λέγοντες· κύρι Εὐτυχῆ, πόθεν οὖν; εἰπέ· καὶ οὐ συνεχώρησεν.

167 Βασίλειος ὁ εὐλαβέστατος ἐπίσκοπος Σελευκείας εἶπεν· Παρεκαλέσαμεν τότε, ὡς μέμνηται καὶ ὁ κύριος Εὐσέβιος καὶ Σώιζων ὁ Φιλίππων, ὥστε εἰπεῖν αὐτὸν τὸν τρόπον τῆς σαρκώσεως καὶ τῆς ἐνανθρωπήσεως, εἰ κατὰ πρόσληψιν σαρκὸς οἶδεν τὸν θεὸν λόγον γενόμενον ἄνθρωπον. καὶ ἐκέλευσαν ἀπερίεργον ἔᾶσαι τοῦτο καὶ οὐ προσεδέξαντο τὴν δικαιολογίαν ἡμῶν.

168 Διόσκορος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Ὁ θεοσεβέστατος ἐπίσκοπος Βασίλειος ἐπελάβετο ἐν ὑπομνήμασιν τῆς ἑαυτοῦ φωνῆς λέγων ὅτι οὕτως οὐκ εἶπον, ἀλλὰ ἐπλαστογραφήθη. εἰ δὲ Εὐτυχὴς παρὰ τὰ δόγματα τῆς ἐκκλησίας φρονεῖ, οὐ μόνον τιμωρίας ἄξιός ἐστιν, ἀλλὰ καὶ πυρός· ἐγὼ γὰρ τῆς πίστεως τῆς καθολικῆς καὶ ἀποστολικῆς φροντίδα τίθεμαι, οὐκ ἀνθρώπου τινός. περὶ γὰρ αὐτὸ
M VI 636 τὸ θεῖον τὸν νοῦν τεταμένον ἔχω καὶ εἰς πρόσωπον οὐκ ἀφορῶ οὔτε μὴν φροντίζω τινὸς ἢ τῆς ἐμαυτοῦ ψυχῆς καὶ τῆς ὀρθῆς καὶ εἰλικρινοῦς πίστεως.

169 Βασίλειος ὁ εὐλαβέστατος ἐπίσκοπος Σελευκείας Ἰσαυρίας εἶπεν· Ἀναγινωσκομένων τῶν ὑπομνημάτων τῶν ἐπὶ Εὐτυχεῖ πραχθέντων, ἡ διαλαλιὰ ἡ ἐμὴ ἀνεγνώσθη καὶ εἰς μέσον ἦχθη, ἣν ἐποιησάμην ἀκολουθῶν τοῖς ἐν Ἐφέσωι πατράσιν τὸ πρότερον συνεδρεύσασιν, ἀποδεξάμενος τὴν ἐπιστολὴν τοῦ μακαριωτάτου Κυρίλλου τῆς συνόδου τῆς μακαρίας ἐκείνης ἡγησαμένου, δι' ἧς τὸν φρενοβλαβῆ Νεστόριον ἤλεγχεν παρερμηνεύοντα τὴν τῶν τριακοσίων δέκα καὶ ὀκτὼ πατέρων πίστιν. εἶχεν δὲ ἡ διαλαλιά μου, ὡς καὶ μέχρι νῦν ἔχει, ὅτι προσκυνῶ τὸν ἕνα κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὸν υἱὸν τοῦ θεοῦ

---

164 adfert Timotheus Aelurus f. 54b
168 cf. 546. 548. 856
169 cf. 301
5 ἐπὶ διοσκόρου Mmg ἐν ἐφέσω Bmg
9 ἐν χαλκηδόνι Bmg post ἀναγινώσκεσθαι MPS

MBPSΦ

3 μαγιστριανὸς καὶ om. BΦac θείου om. S 4 σχιδαρίου MP, corr. M 5 καὶ2 om. S εὐσέβεια B 6 ἐμαυτοῦ B 7 καὶ1 om. BS 8 θῦ καὶ σρσ̄ S 9 ἀναγνωσθῆναι B δορυλλαίου MPS, corr. M δορυλλαίων B 10 οὐρανῶν MPS προστέθεικε P 11 εἶπεν M εἶπε BPS εἰπὲ Φ 12 οὖν ἐσαρκώθη B 13 Σελευκείας Ἰσαυρίας Φ καὶ ὡσ S 14 καὶ om. S 15 τῆσ ἐνανθρωπήσεωσ καὶ τῆσ σαρκώσεωσ B 16/17 ἐκέλευσαν [scil. Dioscorus et synodus Ephesena, ἐκέλευσεν S] — ἡμῶν MPSΦ καὶ οὐ προσεδέξατο τὴν δικαιολογίαν ὑμῶν, ἀλλ' ἐκέλευσεν ἀπερίεργον ἔᾶσαι τοῦτο B 20 εἶπεν S 21/22 τῆσ καθολικῆσ πίστεωσ S 22 καὶ οὐκ BΦ 23 τεταγμένον B 25 ὁ εὐλαβέστατος om. B 26 πεπραγμένων B 27 ἀκολούθωσ B 28 ἀποδεχόμενοσ B μακαρίου B 28/29 τῆσ μακαρίασ συνόδου S 30 τῶν τιῆ πρ̄ων τὴν S δεκαοκτὼ B δὲ καὶ S 31 ἔχω S ἔχων P ἕνα om. Φ

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 9/9/15 7:57 AM

τὸν μονογενῆ, τὸν θεὸν λόγον μετὰ τὴν σάρκωσιν καὶ τὴν ἐνανθρώπησιν ἐν δύο φύσεσιν γνωριζόμενον.

170 Οἱ Αἰγύπτιοι καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκοποι ἐξεβόησαν· Τὸν ἀμέριστον μηδεὶς χωριζέτω. τὸν ἕνα υἱὸν οὐδεὶς λέγει δύο.

171 Οἱ Ἀνατολικοὶ καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκοποι ἐξεβόησαν· Ἀνάθεμα τῶι μερίζοντι. ἀνάθεμα τῶι διαιροῦντι.

172 Βασίλειος ὁ εὐλαβέστατος ἐπίσκοπος Σελευκείας Ἰσαυρίας εἶπεν· Ἀνάθεμα τῶι μερίζοντι, ἀνάθεμα τῶι διαιροῦντι τὰς δύο φύσεις μετὰ τὴν ἕνωσιν· ἀνάθεμα δὲ καὶ τῶι μὴ γνωρίζοντι τὸ ἰδιάζον τῶν φύσεων.

173 Οἱ Αἰγύπτιοι καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκοποι ἐξεβόησαν· Ὡς ἐγεννήθη, οὕτως ἔπαθεν. τὰς φωνὰς τῶι βασιλεῖ. εἷς κύριος, μία πίστις. τὸν ἕνα κύριον δύο οὐδεὶς λέγει. ταῦτα Νεστόριος ἐφρόνει. ταῦτα Νεστόριος ἐβόα.

174 Οἱ Ἀνατολικοὶ καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκοποι ἐξεβόησαν· Ἀνάθεμα Νεστορίωι καὶ Εὐτυχεῖ.

175 Οἱ Αἰγύπτιοι καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκοποι ἐξεβόησαν· Τὸν κύριον τῆς δόξης μὴ μερίζετε. τὸν ἀμέριστον μὴ μερίζετε.

176 Βασίλειος ὁ εὐλαβέστατος ἐπίσκοπος Σελευκείας Ἰσαυρίας εἶπεν· Ὃ ἔλεγον· ἐν δύο φύσεσιν γνωριζόμενον μετὰ τὴν ἕνωσιν, θεότητι τελείαι καὶ ἀνθρωπότητι τελείαι. τὴν μὲν γὰρ εἶχεν ἐκ πατρὸς προαιώνιον, τὴν δ' ἐκ τῆς κατὰ σάρκα μητρὸς λαβὼν ὁ αὐτὸς ἥνωσεν ἑαυτῶι καθ' ὑπόστασιν καὶ κεχρημάτικεν ὁ υἱὸς τοῦ θεοῦ υἱὸς ἀνθρώπου. L III 140 ταύτης ἀναγνωσθείσης τῆς διαλαλιᾶς εἷς μέν τις, οὐκ οἶδα δὲ ὅστις (ἡ γὰρ ἀχλὺς τῶν πραγμάτων καὶ τὸ τῆς ψυχῆς ὄμμα συνέχεεν καὶ τὸ τοῦ σώματος), ἔρριψεν ἑαυτὸν εἰς τὸ μέσον καὶ ἤρξατο λέγειν ὅτι αὕτη ἡ φωνὴ τὴν ἐκκλησίαν ἐτάραξεν. ἐπανέστησαν λοιπὸν πάντες οἱ Αἰγύπτιοι καὶ οἱ μονάζοντες οἱ ἀκολουθοῦντες Βαρσουμᾶι καὶ πᾶς ὁ ὄχλος καὶ ἤρξαντο λέγειν· τὸν λέγοντα δύο φύσεις εἰς δύο τέμε. ὁ λέγων δύο φύσεις M VI 637 Νεστοριανός ἐστιν. μετὰ ταῦτα ἀνεγνώσθη πάλιν ἡ ἐμὴ φωνὴ μετὰ τὴν ἀσεβῆ καὶ ἀλλόκοτον Εὐτυχοῦς φωνήν. ἐρωτώμενος γὰρ παρὰ τοῦ θεοφιλεστάτου ἐπισκόπου Εὐσεβίου εἰ λέγει δύο φύσεις ἐν τῶι Χριστῶι, εἶπεν ἐκ δύο μὲν φύσεων εἰδέναι τὸν Χριστὸν πρὸ τῆς ἑνώσεως, μετὰ δὲ τὴν ἕνωσιν μίαν· ἐγὼ δὲ τότε, ὡς νῦν ἐντυχὼν τοῖς ὑπομνήμασιν ἀνεμνήσθην, εἶπον· ἐὰν μὴ μετὰ τὴν ἕνωσιν ἀχωρίστους καὶ ἀσυγχύτους εἴπῃς δύο φύσεις, σύγχυσιν λέγεις καὶ σύγκρασιν. ἀναγνωσθείσης τῆς φωνῆς τοσοῦτος ἐγένετο κρότος παρ' αὐτῶν, ὥστε πάντων ἡμῶν τιναχθῆναι τὴν ψυχὴν καὶ μάλιστα ἡμῶν τῶν κρινομένων καὶ κελευσθέντων ἀναμένειν τὴν ψῆφον τῆς συνόδου. ἀχλύος πληρωθεὶς εἶπον ὅτι ἐγὼ οὐ μέμνημαι αὐταῖς λέξεσιν ταῦτα εἰρηκώς, οἶδα μέντοι εἰρηκὼς ὅτι ἐὰν μίαν φύσιν εἴπῃς ἀπολελυμένως μετὰ τὴν ἕνωσιν, σύγχυσιν λέγεις καὶ σύγκρασιν· ἐὰν μέντοιγε προσθῆις σεσαρκωμένην καὶ ἐνανθρωπήσασαν καὶ νοήσηις παραπλησίως τῶι μακαριωτάτωι Κυρίλλωι τὴν σάρκωσιν καὶ τὴν ἐνανθρώπησιν, τὰ αὐτὰ λέγεις ἡμῖν. δῆλον γὰρ ὅτι ἄλλο μέν τί ἐστιν ἡ θεότης αὐτοῦ ἡ ἐκ τοῦ πατρός, ἄλλο δὲ ἡ ἀνθρωπότης ἡ ἐκ τῆς μητρός. καὶ οἱ κατεγνωκότες πρότερον ὕστερον ἀπεδέξαντό με ταῦτα εἰρηκότα.

176 cf. 301. 542. 545. 546

MBPSΦ

4 λέγω δύο S δύο λέγει B 12 οὐδεὶς δύο λέγει B οὐδεὶς λέγει δύο S ταῦτα² om. S φρονεῖ — βοᾶ unus codex Φ^c et Φ^r 17 ὁ om. B 19 πρὸ αἰώνων B 20 ἑαυτὸ S 21 μέν — δὲ] τίσ δὲ οὐκ οἶδα B 23 ὅτι om. B 24 πάντες om. B 25 καὶ om. PS ἤρξατο S τέμετε BΦ 26 νεστοριανόσ BΦ νεστόριόσ MPS ἡ — φωνὴ om. S ἡ B om. MP 28 μὲν om. B 30 εἶπον B καὶ εἶπον MPSΦ μὴ om. PS 30/31 εἴπησ μετὰ — ἀσυγχύτουσ δύο B 30 ἀσυγχύτουσ καὶ ἀχωρίστουσ S 32 παρ' αὐτῶν BΦ om. MPS 33 ἀχλύοσ MPS ἀχλύοσ οὖν B 36 προσθεῖσ S νοήσεισ S 36/37 μακαρίω B 38 μέν τί] μέντοι S τί B 39 με] μετὰ PS

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 9/9/15 7:57 AM

177 Οἱ ἐνδοξότατοι ἄρχοντες καὶ ἡ ὑπερφυὴς σύγκλητος εἶπον· Καὶ οὕτως ὀρθοδόξως διδάξας διὰ τί τῆι καθαιρέσει Φλαβιανοῦ τοῦ τῆς ὁσίας μνήμης ὑπέγραψας;

178 Βασίλειος ὁ εὐλαβέστατος ἐπίσκοπος Σελευκείας Ἰσαυρίας εἶπεν· Ἐπειδὴ εἰς κρίσιν ἑκατὸν εἴκοσι ἢ τριάκοντα παραδοθεὶς ἐπισκόπων ἀνάγκην εἶχον πείθεσθαι τοῖς ὑπ' ἐκείνων τυπουμένοις.

179 Διόσκορος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Νῦν πεπλήρωται τὸ
Mt. 12, 37 γεγραμμένον ἐκ τοῦ στόματός σου δικαιωθήσηι καὶ ἐκ τοῦ στόματός σου κατακριθήσηι. αἰδούμενος ἀνθρώπους παρέβης τὸ εὔλογον καὶ τὴν πίστιν ἠθέτησας;
Sir. 4, 22 οὐκ ἤκουσας καὶ μὴ ἐντραπῆις εἰς πτῶσίν σου;

180 Βασίλειος ὁ εὐλαβέστατος ἐπίσκοπος Σελευκείας Ἰσαυρίας εἶπεν· Εἰ πρὸς ἄρχοντας εἶχον, ἐμαρτύρουν· καὶ γὰρ ἐν Κωνσταντινουπόλει ἐπεδειξάμην παρρησίαν· παρὰ πατρὸς
cf. Leu. 20, 9 δὲ ὁ κρινόμενος δικαίοις οὐ κέχρηται. παῖς γὰρ πατρὶ δίκαια λέγων τεθνάτω.

181 Οἱ Ἀνατολικοὶ καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκοποι ἐξεβόησαν· Πάντες ἡμάρτομεν, πάντες συγγνώμην αἰτοῦμεν.

182 Οἱ ἐνδοξότατοι ἄρχοντες καὶ ἡ ὑπερφυὴς σύγκλητος εἶπον· Καὶ μὴν ὑμεῖς πρότερον ἐδιδάξατε ὡς κατὰ βίαν καὶ ἀνάγκην ἀγράφωι χάρτηι ὑπογράψαι κατηναγκάσθητε εἰς τὴν καθαίρεσιν τοῦ τῆς ὁσίας μνήμης Φλαβιανοῦ.

183 Οἱ Ἀνατολικοὶ καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκοποι ἐξεβόησαν· Πάντες
M VI 640 L IIII 141 ἡμάρτομεν, πάντες συγγνώμην αἰτοῦμεν.

184 Θαλάσσιος καὶ Εὐστάθιος καὶ Εὐσέβιος οἱ εὐλαβέστατοι ἐπίσκοποι εἶπον· Πάντες ἡμάρτομεν, πάντες συγγνώμην αἰτοῦμεν.

Βερονικιανὸς ὁ καθωσιωμένος μαγιστριανὸς καὶ σηκρητάριος τοῦ θείου κονσιστωρίου ἀνέγνω ἀπὸ τοῦ αὐτοῦ σχεδαρίου

185 ἀλλὰ κατὰ ταύτην τὴν πίστιν καὶ ζῶν καὶ προσκαρτερῶν ταῖς εὐχαῖς κατηγορίαν ἐξ ἐπιβουλῆς ὑπομεμένηκα παρὰ Εὐσεβίου τοῦ ἐπισκόπου Δορυλαίου λιβέλλους ἐπιδόντος κατ' ἐμοῦ τῶι εὐλαβεστάτωι ἐπισκόπωι Φλαβιανῶι καὶ τοῖς ἐκ διαφόρων ἰδίων ἕνεκα αἰτιῶν ἐνδημοῦσιν τότε τῆι βασιλευούσηι, αἱρετικὸν μὲν ἐμὲ ὑβριστικῶς ἐν αὐτοῖς ἀποκαλοῦντος, οὐδὲν δὲ εἶδος αἱρέσεως τοῖς λιβέλλοις ἐνθέντος, ὅπως ἀθρόον ἐν τοῖς ἀγῶσιν τῆς ἐξετάσεως τοῖς τῆς γλώττης, οἷα εἰκός, ἐκ τῶν θορύβων ὀλίσθοις εἰς ἁμάρτημα περιπέσοιμι καινοφωνούμενος. ἐμὲ μὲν οὖν ἐκ τῶν τῆς κατηγορίας λιβέλλων ὁ μνημονευθεὶς εὐλαβέστατος ἐπίσκοπος ἀπαντῆσαι πρὸς τὴν ἀπολογίαν τοῦ κατηγορηκότος παρεκελεύετο, τὰ μὲν πολλὰ τῶι κατηγόρωι συνὼν καὶ σχεδὸν ἀχώριστος ὑπάρχων αὐτῶι, οἰόμενος δὲ ὡς εἰθισμένον ἀεὶ τῶι μοναστηρίωι προσκαρτερεῖν μὴ παραγενήσεσθαι καὶ διὰ τοῦτο καθαιρήσειν ὡς οὐκ ἀπαντήσαντα. ἀφ' ὧν μετὰ τὸ παραγενέσθαι με κατὰ τὴν βασιλεύουσαν ἐκ τῆς μονῆς μεμαθηκὼς παρὰ τοῦ θαυμασιωτάτου σιλεντιαρίου

185 adfert Timotheus Aelurus f. 54b
24 ἐπὶ διοσκόρου Mmg εὐτυχὴσ ἐν ἐφέσω Bmg

MBPSΦ, Λn [24—34 παραγενέσθαι]
1 εἶπεν MP 2 τοῦ τῆσ — μνήμησ φλαβιανοῦ S 4 ἢ] ἢ καὶ ἑκατὸν B 6 ὁ εὐλαβέστατος om. B 8 παρέβη MP, corr. P 9 ἐντραπῆ S 14 ἡμάρταμεν M 15 εἶπεν MP 18 ἐξεβόησαν] εἶπον M 19 ἡμάρταμεν M 20/21 Θαλάσσιος — αἰτοῦμεν om. PS 20 θαλάσσιοσ εὐσέβιοσ καὶ εὐστάθιοσ BΦ Εὐσέβιος scil. Ancyranus 22 μαγιστριανὸς καὶ om. BΦac 22/23 συνεδρίου B 23 ἀνεγνώσθη M σχιδαρίου P 25 ὑποβολῆσ B τοῦ om. S δορυλλαίου MPS, corr. M δορυλλαίων B λιβέλλου ἐπιδοθέντοσ B 26 ἐπισκόπωι om. M 27/28 ἀποκαλοῦντεσ S 28 ἐκθέντοσ S 29 γλώσσησ B 30 καινοφωνούμενος Λn Φ Tim. κενοφωνούμενος MBPS 31 κατηγορίαν καὶ ἀπολογίαν S 31/32 παρεκελεύσατο B 32 ὑπάρχων αὐτῶ MPSΛn αὐτοῦ ὑπάρχων B 33 παραγενῆσθαι S παραγενέσθαι B 34 ἀπαντήσαντα PS ἀπαντήσοντα MB

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 9/9/15 7:57 AM

Μάγνου, ὃν ὁ εὐσεβέστατος καὶ πιστότατος ἡμῶν βασιλεὺς ἀπένειμεν πρὸς τὸ μὴ συγχωρῆσαί μοι τὸν ἀπειλούμενον ἐπὶ τῇι σωτηρίαι κίνδυνον, περιττὴν εἶναι λοιπὸν τὴν παρουσίαν μου ἀπεκρίνατο ὡς καὶ ἤδη πρὸ τῆς ἐξετάσεως καθηιρημένου, ὡς καὶ ἡ γενομένη 838
παρὰ τοῦ αὐτοῦ θαυμασιωτάτου σιλεντιαρίου μετὰ ταῦτα κατάθεσις δηλοῖ. ἀλλ' ἐπειδὴ καὶ οὕτως τὸ κριτήριον ἐπὶ ταῖς ἀπολογίαις κατέλαβον, τὴν μὲν ὑπὲρ τῆς θείας 5
ὁμολογίας παρ' ἐμοῦ γενομένην τε καὶ ὑπογραφεῖσαν διδασκαλίαν κατὰ τὴν ἐκτεθεῖσαν παρὰ τῶν ἁγίων πατέρων ἐν Νικαίαι πίστιν καὶ κατὰ τήνδε τὴν Ἐφεσίων βεβαιωθεῖσαν παρὰ τῆς προτέρας ἁγίας συνόδου οὔτε δέχεσθαι ἠξίου οὔτε ἐπέτρεπεν ἀναγινώσκεσθαι, θορύβου δὲ τὸ κριτήριον καὶ ταραχῆς ἐπληροῦτο, πλείστων ἐπιχυθέντων ἀτάκτως καὶ πανταχόθεν με σὺν κραυγῆι διαθορυβούντων, ὡς αἱ ἐγγράφως μετὰ ταῦτα ἐξενεχθεῖσαι 10
παρὰ τῶν κρινάντων διαλαλιαὶ περὶ τῆς ταραχῆς δηλοῦσιν. κελευσθέντος δέ μου δι' ἑαυτοῦ λέγειν τὰ ἐπὶ τῇι ὁμολογίαι τῆς πίστεως καὶ εἰπόντος φρονεῖν ὡς οἱ τριακόσιοι δέκα καὶ ὀκτὼ ἅγιοι πατέρες οἱ ἐν Νικαίαι ἐθέσπισαν καὶ ἡ ἐν Ἐφέσωι ἁγία σύνοδος ἐβεβαίωσεν, ἀπήιτει με ἕτερά τινα παρὰ τὰ ἐκτεθέντα ἔν τε τῆι Νικαέων καὶ ἐν Εφέσωι πρότερον εἰπεῖν. ἐγὼ δὲ φοβηθεὶς παραβῆναι τόν τε ἐξενεχθέντα ὅρον ὑπὸ τῆς ἁγίας 15
συνόδου τῆς ἐνταῦθα συνειλεγμένης πρώην κατὰ βούλησιν θεοῦ τά τε ὁρισθέντα ἐπὶ τῇι πίστει παρὰ τῶν ἐν τῇι Νικαέων συναχθέντων ἁγίων πατέρων παρεκάλουν γνωρισθῆναι τῇι ὑμετέραι ἁγίαι συνόδωι ὡς τοῖς παρ' ὑμῶν δοκιμαζομένοις ἕτοιμος ὑπάρχων ἐμμένειν.
καὶ ταῦτα λέγοντος ἀθρόον ἡ κατ' ἐμοῦ πρὸ πολλοῦ συγγραφεῖσα, ὡς ἐδόκει αὐτῶι, M VI 641
καθαίρεσις ἀνεγινώσκετο καὶ κατ' ἰδίαν λοιπὸν μετὰ ταῦτα τινὲς αὐτῶν τε φωναὶ καὶ 20
ἐμοῦ καὶ ἄλλαι καταθέσεις καὶ μάλιστα ἔνθα ἐγὼ κατὰ τοὺς ἐν Νικαίαι ἁγίους πατέρας L III 144
καὶ τοὺς μετὰ ταῦτα ἐν Ἐφέσωι συνελθόντας ὡμολόγουν φρονεῖν, ἐπὶ τῶν πεπραγμένων ὑπομνημάτων μετεπλάττοντο, ὡς τὰ ἐγγράφως μετὰ ταῦτα πραχθέντα κατὰ παράκλησιν ἐμὴν καὶ κέλυσιν τοῦ εὐσεβεστάτου καὶ φιλοχρίστου ἡμῶν βασιλέως ἔδειξεν, οὐδένα λόγον τοῦ εὐλαβεστάτου ἐπισκόπου Φλαβιανοῦ ποιησαμένου τῆς ἐμῆς εἰς τὴν 25
ὑμετέραν ὁσιότητα ἐπικλήσεως οὔτε τὰς ἐμὰς πολιὰς αἰδεσθέντος ἐν τοῖς κατὰ τῶν αἱρετικῶν πολέμοις καὶ τῇι τῆς εὐσεβείας ὁμολογίαι καταγηράσαντος, ἀλλ' ὡς ἐξουσίαν ἔχων πάντα κατὰ μόνας περὶ τῆς πίστεως πράττειν καὶ μηδὲν τῇι ὑμετέραι ἁγιότητι τῶν τῆς τοσαύτης κρίσεως ἐπιτρέπειν δικαίων, καταπεφήνατό μου καὶ τῆς ἐκκλησίας ἀπέτεμεν, ὡς ἐνόμιζεν, καὶ τῆς ἱερωσύνης ἀφεῖλεν, ὡς ὤιετο, καὶ τῆς τῶν θείων μυ- 30
στηρίων κοινωνίας ἀπεῖρξεν καὶ τοῦ προίστασθαι μοναστηρίου παρὰ τὴν ἀκολουθίαν ἀπεκώλυσεν καὶ παρέδωκεν τῶι εἰς τοῦτο συντεταγμένωι πλήθει κατὰ τὸ ἐπισκοπεῖον καὶ ἐπὶ τῆς ἀγορᾶς ὡς αἱρετικὸν καὶ βλάσφημον καὶ Μανιχαῖον διαχειρίσασθαι, εἰ μὴ ἡ τοῦ θεοῦ πρόνοια διασώσασά με κατὰ τὴν παροῦσαν ἡμέραν τῇι ὑμετέραι ἐτήρησεν ἁγιότητι. ἀλλὰ καὶ ἐν διαφόροις εὐκτηρίοις οἴκοις ἔν ⟨τε⟩ ταῖς τῶν ἁγίων μνήμαις μετὰ 35
τὴν ἔκκλητον τήν τε ἐπ' ἐμοὶ ψῆφον ἀναγινώσκεσθαι παρεσκεύαζεν καὶ ἀνεθεμάτιζέν με, καὶ τοὺς ἐντυγχάνοντάς μοι καὶ προσδιαλεγομένους ἀλλοτρίους τῆς θείας κοινωνίας ποιῶν, μὴ περιμείνας τῆς ὑμετέρας ἁγιωσύνης τὴν κρίσιν, καὶ καθυπογράφειν τῇι γενομένηι κατ' ἐμοῦ ψήφωι κατηνάγκασεν μοναστήρια, οὐδέποτε, ὡς καὶ ἡ ὑμετέρα οἶδεν θεο-

MBPSΦ

1 ὁ om. P ἡμῶν om. B τῶ M 2 τῆι om. B 3 καὶ om. B καθηρουμένου S 5 ἐπειδὴ καὶ] ἐπειδήπερ B 7 πρῶν τῶν P τὴνδε τὴν ἐφεσίων MPS τὴν ἐφεσίων δὲ B 8 ἐπέτρεψεν B 10 με] μὲν PS 13 δεκαοκτὼ B 14 τε om. B 16 τά τε] καὶ τὰ B 17 ἐν νικαίαι B 18 ἡμῶν MPS ἐμμένειν M^{mg}BΦ om. M, PS spatio rel. 19 συγγραφεῖσα πρὸ πολλοῦ B 22 ὡμολόγησα B 23/24 κατὰ παράκλησιν ἐμοῦ μετὰ ταῦτα πραχθέντα B 27 πίστεως B 29 τῶν om. B τοσαύτης BΦ τοιαύτης MPS Tim. κατεπεφήνατό S 32 ἀπεκώλυεν MPS, corr. M τούτω MS 33 καὶ^1 om. P 34 ὑμῶν B 35 τε addidi ex Φ 36 παρεκέλευσε B 36/37 ἀνεθεμάτισεν ἐμὲ B 37 συντυγχάνοντάς B ἀλλοτρίους] ἔξω B θείας om. B 39 οὐδέποτε] οὐκ οὔσης B 39/96, 1 θεοφίλεια οἶδε B

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 9/9/15 7:57 AM

φίλεια, τοιαύτης συνηθείας οὐδὲ κατὰ αἱρετικῶν κρατησάσης. καὶ εἰς τὴν Ἀνατολὴν δὲ ἐξέπεμψεν τοὺς χάρτας καὶ πολλαχοῦ ἐπὶ τῶι καὶ παρὰ ἄλλων θεοσεβεστάτων ἐπισκόπων τε καὶ μοναζόντων καὶ ταῦτα μὴ κρινάντων καθυπογράφεσθαι, καίτοι μᾶλλον ὀφείλων πρὸ πάντων τοῖς ἀρχιερεῦσιν ἐπιστεῖλαι, οὓς καὶ ἐπεκαλεσάμην. τότε μὲν οὖν μόλις σωθεὶς διὰ λιβέλλων δῆλα πεποίηκα τὰ παρακολουθήσαντα πρὸς τὴν ὑμετέραν θεοσέβειαν καὶ τοῦ εὐσεβεστάτου καὶ πιστοτάτου βασιλέως ἐδεήθην ὑμᾶς τοὺς ὁσίους καὶ θεοφιλεῖς καὶ πᾶσαν ἀδικίαν καὶ συσκευὴν βδελυττομένους γενέσθαι δικαστὰς τῶν κεκριμένων· δέομαι δὲ νῦν τῆς ὑμετέρας ἁγιωσύνης λογίσασθαι τὴν κατασκευασθεῖσάν μοι συκοφαντίαν καὶ ἐπιβουλὴν καὶ τὴν ἐκ ταύτης τῆς αἰτίας γενομένην ταῖς ἁπανταχοῦ
M VI 644 ἁγιωτάταις ἐκκλησίαις ταραχὴν καὶ τὸ ἐκ τούτου πολλοῖς ἀναφυὲν σκάνδαλον καὶ διὰ τῆς προσούσης ὑμῖν φιλοχρίστου σοφίας τοὺς μὲν τούτων αἰτίους τοῖς ἐκκλησιαστικοῖς ὑποβαλεῖν θεσμοῖς, πᾶσαν δὲ βλασφημίας καὶ ἀσεβείας ῥίζαν ἐκκόψαι. ἐγὼ γὰρ τὴν τῆς ὑμετέρας μακαριότητος κρίσιν ἐξ ἀρχῆς ἐπεβοησάμην, καὶ πάλιν δὲ διαμαρτύρομαι
1 Tim. 6, 13 ἐνώπιον Ἰησοῦ Χριστοῦ τοῦ μαρτυρήσαντος ἐπὶ Ποντίου Πιλάτου τὴν καλὴν ὁμολογίαν ὅτι οὕτως φρονῶ καὶ ἐνθυμοῦμαι καὶ ἐννοῶ καθὼς παρέδοσαν ἡμῖν πίστιν οἱ ἅγιοι πατέρες οἱ ἐπὶ τῆς Νικαέων συνελθόντες, ἣν καὶ οἱ ἐν Ἐφέσωι ἐν τῆι δευτέραι συνόδωι ἅγιοι πατέρες ἐβεβαίωσαν, καὶ εἴ τις παρὰ ταύτην τὴν πίστιν δοξάζει, τοῦτον ἀναθεματίζω κατὰ τὸν ὅρον αὐτῶν.

Εὐτυχὴς ἀρχιμανδρίτης οὕτω πιστεύω ὡς προγέγραπται, καὶ ὑπέγραψα χειρὶ ἐμῆι καὶ ἐπέδωκα τοὺς λιβέλλους.

186 Φλαβιανὸς ἐπίσκοπος Κωνσταντινουπόλεως εἶπεν· Οὗτος κατήγορον ἔσχεν
L IIII 145 Εὐσέβιον· κελεύσατε αὐτὸν παρεῖναι.

187 Καὶ ἐν τῶι ἀναγινώσκεσθαι Εὐσέβιος ὁ εὐλαβέστατος ἐπίσκοπος Δορυλαίου εἶπεν· Ὁ κατηγορηθεὶς παρ' ἐμοῦ Εὐτυχὴς δοὺς λιβέλλους ἐν τῆι ἁγίαι συνόδωι ἐμνημόνευσεν ὅτι κατήγορος αὐτοῦ εἰμί. ποίωι δὲ τρόπωι τοῦ δικάσαντος Φλαβιανοῦ τοῦ τῆς ὁσίας μνήμης ἀξιώσαντος τὸν κατήγορον ἐμὲ εἰσελθεῖν καὶ τῆς ἀκολουθίας καὶ τῶν κανόνων τοῦτο βουλομένων, ἐκωλύθην εἰσελθεῖν, ἀξιῶ [τοῦτο] ζητηθῆναι.

188 Οἱ ἐνδοξότατοι ἄρχοντες καὶ ἡ ὑπερφυὴς σύγκλητος εἶπον· Αἰτήσαντος Φλαβιανοῦ τοῦ τῆς ὁσίας μνήμης ὥστε Εὐσέβιον τὸν κατήγορον Εὐτυχοῦς εἰσελθεῖν, διὰ τί κατὰ τοὺς κανόνας ὑμεῖς, οἷς ἡ ἐξουσία τοῦ δικάζειν ἐδέδοτο, τοῦτο γενέσθαι οὐ προσετάξατε;

189 Διόσκορος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Ἀξιῶ ἀναγνωσθῆναι τὴν κατάθεσιν Ἐλπιδίου. οὐκ εἶχον γὰρ κωλῦσαι, εἰ μὴ κομμονιτώριον ἤνεγκεν Ἐλπίδιος διαβεβαιούμενος ὅτι ὁ βασιλεὺς ἐκέλευσεν αὐτὸν μὴ εἰσελθεῖν.

190 Ἰουβενάλιος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἱεροσολύμων εἶπεν· Ὁ περίβλεπτος κόμης Ἐλπίδιος οὐκ ἐπέτρεψεν εἰσελθεῖν αὐτόν.

---

23 ἐν χαλκηδόνι $M^{mg}P^{mg}$

MBPSΦ, $Λ^{n}$ [21. 22]

1 κρατησάσης] κρατήσασ δὲ S 2 δὲ PS om. MB τοὺς om. B πανταχοῦ B παρ' ἀλλήλων καὶ παρ' ἄλλων S θεοφιλεστάτων BS 3 τε om. S ταύτη B καθυπογράψαι B 4 καὶ om. BΦ^{a} 6 ὁσιότητα B εὐσεβοῦσ B 7 θεοπρεπεῖς Φ 8 δὲ νῦν] τοίνυν B 9/10 αἰτίασ ταραχὴν M, ταῖσ — ἐκκλησίαισ γενομένην post ταραχὴν add. M^{mg} πανταχοῦ PS ἁγιωτάταισ PSΦ Tim. om. MB 10 τοῖσ πολλοῖς S σκάνδαλον διαλῦσαι PS 11 οὔσησ B 12 ὑποβάλλειν S καθυποβαλεῖν B βλασφημίαν BS 13 δὲ om. S 15 καθ' ἣν P καθὰ S πίστιν MPΦ Tim. πιστεύειν M^{corr} om. BS 16 τῆσ κατὰ νίκαιαν B τὴν S πρώτη B προτέραι Tim. om. Φ^{ac} 19 πιστεύων B καὶ om. B 20 ὑπέδωκα S 23 δορυλλαίου MBPS, corr. M 27 τούτου MS, corr. MS^{mg} τοῦτο M^{corr}B om. MPSΦ 28 εἶπεν MP 29 ὁσίας] εὐσεβοῦσ B τὸν εὐσέβιον P τὸν om. S 30 δέδοται τοῦ δικάζειν B ἐδίδοτο PS 32 κομμονιτόριον B 33 αὐτὸν ἐκέλευσε B

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 9/9/15 7:57 AM

191 Θαλάσσιος ὁ εὐλαβέστατος ἐπίσκοπος Καισαρείας Καππαδοκίας εἶπεν· Ἐγὼ οὐκ ἤμην αὐθέντης.

192 Οἱ ἐνδοξότατοι ἄρχοντες καὶ ἡ ὑπερφυὴς σύγκλητος εἶπον· Πίστεως κρινομένης αὐτη οὐκ ἔστιν ἀπολογία.

193 Διόσκορος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Ἐπειδὴ νῦν αἰτιᾶσθέ με ὡς παραβεβηκότα τοὺς κανόνας καὶ ἀκούσαντα Ἐλπιδίου, νῦν ποῖοι σώιζονται κανόνες, ὅτι εἰσῆλθεν Θεοδώρητος;

194 Οἱ ἐνδοξότατοι ἄρχοντες καὶ ἡ ὑπερφυὴς σύγκλητος εἶπον· Θεοδώρητος ὁ ἐπίσκοπος κατηγορήσων εἰσελήλυθεν, ὡς τῆς αὐτοῦ φωνῆς ἀκηκόατε. 34

195 Διόσκορος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Καὶ τί ἐν τάξει ἐπισκόπου καθέζεται;

196 Οἱ ἐνδοξότατοι ἄρχοντες καὶ ἡ ὑπερφυὴς σύγκλητος εἶπον· Καὶ ὁ ἐπίσκοπος Εὐσέβιος καὶ ὁ ἐπίσκοπος Θεοδώρητος ἐν τάξει κατηγόρων καθέζονται, ὡς καὶ ὑμεῖς ἐν τάξει κατηγορουμένων καθέζεσθε. ὅθεν τὰ λοιπὰ ἀναγινωσκέσθω. M VI 645

Κωνσταντῖνος ὁ καθωσιωμένος σηκρητάριος τοῦ θείου κονσιστωρίου ἀπὸ τοῦ αὐτοῦ σχεδαρίου ἀνέγνω

197 Ἐλπίδιος ὁ περίβλεπτος κόμης εἶπεν· Ὁ θειότατος βασιλεὺς πληρῶν πρῶτον αὐτὸς τὴν τάξιν τῶν νόμων, ἧς ἐστιν καὶ εὑρετὴς καὶ φύλαξ, παρεκελεύσατο τοὺς κρίναντας ἤδη ἐν τάξει κρινομένων ὑπάρχειν καὶ διδασκαλίας μήπω καιρὸν ἔχειν, μη⟨δὲ⟩ ταύτης τὴν παρρησίαν δόντων ὑμῶν. πρὸς δὲ τὰ νῦν εἰρημένα παρὰ τοῦ θεοφιλεστάτου ἀρχιεπισκόπου Φλαβιανοῦ ἐκεῖνο διδάσκω· ὁ μὲν κατήγορος τὴν ἑαυτοῦ κατηγορίαν ἐπλήρωσεν καὶ νενίκηκεν, ὡς οἴεται, καὶ μετήνεγκεν λοιπὸν τοῦ κατηγορήσαντος τὴν κρίσιν εἰς ἑαυτὸν ὁ δικαστής, ὡς καὶ παρὰ τοῖς ἔξω θεσμοῖς φυλάττεται. νῦν τοίνυν ὑμεῖς συνεληλύθατε, ὥστε τοῖς κρίνασιν κρῖναι, οὐ μὴν ἄνωθεν κατηγόρου δέξασθαι πρόσωπον καὶ θορύβου πάλιν ἀρχὴν ἑτέραν γενέσθαι. κελεύσατε τοίνυν, εἰ δοκεῖ, κατὰ τάξιν πάντα τὰ λοιπὰ τὰ ἐπὶ τῇι ὑποθέσει πεπραγμένα ἀναγνωσθῆναι κατὰ τὸ ὑμῖν δοκοῦν.

198 Διόσκορος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Ἀκολούθως ἐδίδαξεν ὁ περίβλεπτος κόμης Ἐλπίδιος. ὅθεν ἐπιδοθέντος τοῦ λιβέλλου καὶ ἀναγνωσθέντος ἀναγινωσκέσθω καὶ τὰ ἐν τῇι βασιλευούσηι πόλει περὶ ταύτης τῆς κινουμένης ὑποθέσεως πεπραγμένα. λεγέτωσαν δὲ καὶ οἱ παρόντες θεοσεβέστατοι ἐπίσκοποι εἰ τοῦτο αὐτοῖς δοκεῖ. L IIII 148

199 Ἰουβενάλιος ἐπίσκοπος Ἱεροσολύμων εἶπεν· Ἀκόλουθός ἐστιν ἡ ἀπόφασις τῆς σῆς ἁγιωσύνης, ὅθεν εὔλογον ἀναγινώσκεσθαι τὰ πεπραγμένα.

200 Στέφανος ἐπίσκοπος Ἐφέσου εἶπεν· Δικαίας οὔσης τῆς διαλαλιᾶς τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου πατρὸς ἡμῶν καὶ ἀρχιεπισκόπου Διοσκόρου τοῦτο γινέσθω.

201 Κῦρος ἐπίσκοπος Ἀφροδισιάδος εἶπεν· Δικαία καὶ ἀκόλουθος ἡ διαλαλιὰ τοῦ

7 Διόσκοροσ περὶ Θεοδωρίτου $M^{mg}P^{mg}$
17 ἐν Ἐφέσωι $M^{mg}B^{mg}$ ἐπὶ Διοσκόρου M^{mg} post εἶπε PS

MBPSΦ, $Λ^{n}$ [17—98, 8]

3 ὑπερφυεστάτη B 3. 8. 12 εἶπεν MP 6 τοὺς om. B Ἐλπίδιον PS σώζωνται S 7. 8. 13 θεοδώριτοσ BPS 8 ὑπερφυεστάτη B 8/9 ὁ εὐλαβέστατοσ ἐπίσκοποσ B ὁ ἐπίσκοποσ κύρου P 9 εἰσῆλθεν B οὐκ ἀκηκόατε S 15 τοῦ — κονσιστωρίου om. B θείου om. S 15/16 τῶν αὐτῶν B τοῦ MP 16 σχιδαρίου P om. B 17 κόμησ om. B πρῶτον BΦ$Λ^{n}$ πρῶτοσ MPS 18 ἧσ MPBSΦ$^{ac}Λ^{n}$ ὧν Φ^{r} 19 μηδὲ Φ$Λ^{n}$ μὴ MBPS 20 διδόντων B θεοφιλεστάτου om. Φ 23 τοίνυν] οὖν B 28 Διόσκορος — εἶπεν om. PS 29 κόμησ ex κόμεσ corr. B adnotando in mg. Ἰστέον ὅτι ὁ κόμησ παρὰ τοῖσ Ἰταλοῖσ κόμεσ λέγεται ἀναγινωσκέσθωσαν B 31 θεοφιλέστατοι B 35 θεοσεβεστάτου B 36 ἀφροδισίασ PS

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 9/9/15 7:57 AM

θεοφιλεστάτου καὶ ἁγιωτάτου ἀρχιεπισκόπου Διοσκόρου πρὸς τὸ ἀναγνωσθῆναι τὰ ἐπὶ τῆι ὑποθέσει πεπραγμένα ἐν τῆι βασιλευούσηι πόλει.

202 Θαλάσσιος ἐπίσκοπος Καισαρείας Καππαδοκίας εἶπεν· Ἀκόλουθον τοῖς διαλαληθεῖσιν παρὰ τῆς ὑμετέρας θεοφιλείας τὸ ἱκανὸν γενέσθαι. ὅθεν προκομιζέσθωσαν οἱ χάρται οἱ ὀφείλοντες ἀναγνωσθῆναι ἐπὶ τῆς ἁγίας ταύτης σύνοδου.

203 Εὐσέβιος ἐπίσκοπος Ἀγκύρας εἶπεν· Καὶ ἐμοὶ δοκεῖ τὰ παραπλήσια ὥστε κατὰ
M VI 648 τὴν ἀπόφασιν τῶν ὁσίων πατέρων γενέσθαι τὴν τῶν πεπραγμένων ἀνάγνωσιν.

204 Διογένης ἐπίσκοπος Κυζίκου εἶπεν· Κἀγὼ τὰ αὐτὰ συντίθεμαι ὥστε κατὰ τὴν ἀπόφασιν τῆς ἁγίας καὶ μεγάλης συνόδου ἀναγνωσθῆναι τὰ πεπραγμένα ἐν τῆι βασιλευούσηι.

205 Φλωρέντιος ἐπίσκοπος Λυδῶν εἶπεν· Σύμψηφός εἰμι τῆς γνώμης τῶν καλῶς ἐπιζητηθέντων ὑπομνημάτων.

206 Θεόδωρος ἐπίσκοπος Ταρσοῦ εἶπεν· Κατὰ τὸ παραστὰν τοῖς ἁγιωτάτοις ἀρχιεπισκόποις δίκαιόν ἐστιν ἀναγνωσθῆναι τὰ πεπραγμένα ἐν τῆι βασιλευούσηι.

207 Ἰωάννης ἐπίσκοπος Σεβαστείας εἶπεν· Κατὰ τὴν ψῆφον τῶν ἁγιωτάτων καὶ θεοφιλεστάτων ἐπισκόπων ἀναγκαία ἐστὶν ἡ τῶν πραχθέντων ἐν τῆι βασιλευούσηι πόλει ὑπομνημάτων ἀνάγνωσις.

208 Ῥωμανὸς ἐπίσκοπος Μύρων εἶπεν· Δίκαιον οἶμαι ἀναγνωσθῆναι τὰ ὑπομνήματα τὰ ἐν τῆι βασιλευούσηι πεπραγμένα, καθάπερ διελάλησαν καὶ οἱ ἁγιώτατοι πατέρες.

209 Νουνέχιος ἐπίσκοπος Λαοδικείας Τριμιταρίας εἶπεν· Κατὰ τὴν διαλαλιὰν τῶν θεοφιλεστάτων πατέρων ἀκόλουθον δοκεῖ καὶ ἐμοὶ τὸ γενέσθαι τὴν τῶν πεπραγμένων ἀνάγνωσιν.

210 Μαριανὸς ἐπίσκοπος Συνάδων εἶπεν· Καθὰ διελάλησαν οἱ ὁσιώτατοι πατέρες, ἀναγινωσκέσθω ἡ πρᾶξις τῶν ὑπομνημάτων ἡ γενομένη ἕνεκα Εὐτυχοῦς ἐν τῆι πανευδαίμονι πόλει.

211 Εὐστάθιος ἐπίσκοπος Βηρυτοῦ εἶπεν· Ἀναγκαία ἐστὶν ἡ ἀνάγνωσις τῶν ὑπομνημάτων πρὸς εἴδησιν τῶν μὴ παρόντων τῆι ὑποθέσει.

212 Κύντιλλος ἐπίσκοπος Ἡρακλείας ἐπέχων καὶ τὸν τόπον τοῦ θεοσεβεστάτου ἐπισκόπου τῆς Θεσσαλονικέων πόλεως Ἀναστασίου εἶπεν· Ἀκόλουθόν ἐστιν ἀναγνωσθῆναι τὰ πεπραγμένα ἐν τῆι μεγαλωνύμωι Κωνσταντινουπόλει τῆι ἁγίαι συνόδωι πρὸς ἐντελεστέραν εἴδησιν τῆς ὑποθέσεως.

213 Αττικὸς ἐπίσκοπος Νικοπόλεως Παλαιᾶς Ἠπείρου εἶπεν· Ἀκολούθου οὔσης τῆς διαλαλιᾶς τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου ἡμῶν Διοσκόρου τὸ ἱκανὸν γινέσθω καὶ τὰ ὑπομνήματα ὑπαναγινωσκέσθω πάσηι τῆι ἁγιωτάτηι συνόδωι πρὸς ἀκριβεστέραν εἴδησιν τῶν ζητουμένων.

214 Σώιζων ἐπίσκοπος Φιλίππων Μακεδονίας εἶπεν· Ἀναγκαία ἡ τῶν πεπραγμένων
L IIII 149 ἐν Κωνσταντινουπόλει περὶ τῆς ὑποθέσεως ταύτης ἀνάγνωσις· οὕτω γὰρ ἔσται μαθεῖν ἀκριβῶς τὰ ἐκεῖ κεκινημένα.

215 Οὐράνιος ἐπίσκοπος Ἰμερίας ἐπαρχίας Ὀσροηνῆς ἑρμηνεύοντος αὐτὸν Εὐλογίου

MBPSΦ, Λ^{n} [1—8]

2 ἐν S 3/4 τοῖσ διαλαληθεῖσιν ἀκόλουθον S 4 προσκομιζέσθωσαν MPS, corr. M 5 αἱ χάρται S ταύτης om. BΛ^{n} 6 ἀγκύρασ MPSΦ$^{ac}\Lambda^{a}$ ἀγκύρασ γαλατίασ BΦ^{r} 7 ἁγίων B 8 συντίθημι B 11 λύδδων M^{corr}B unus codex Φ^{c}, Φ^{r} 16 ἐπισκόπων] $\overline{\text{πρων}}$ B 18/19 Δίκαιον — πατέρες] κατὰ τὴν διαλαλιὰν [20] — ἀνάγνωσιν [22] PS 19 καὶ om. S 20/22 Κατὰ τὴν — ἀνάγνωσιν] δίκαιον [18] — $\overline{\text{πρεσ}}$ [19] PS 23 συννάδων MP ὅσιοι B 28 κύντιλοσ B κυντίλλιοσ MP, corr. M κεντήλλιοσ S θεοφιλεστάτου B 29 τῆς — πόλεως] τῆσ θεσσαλονίκησ B 30 μεγαλωνύμωι] μεγαλοπόλει B 33 ἡμῶν om. MPSΦ^{a} 34 ἁγιωτάτηι om. B 36 *primae Macedoniae* Φ 37 ἐστι B 39 ἐπαρχίασ ὁσροηνῆσ M^{corr}PΦ^{cr} ἐπαρχίασ ὁσδροηνῆσ MΦ^{a} ἐπαρχίασ ροδόπησ B om. S 39/99. 1 εἶπεν ἑρμηνεύοντοσ — ἐδεσηνοῦ B 39 αὐτῶ B

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 9/9/15 7:57 AM

πρεσβυτέρου Ἐδεσσηνοῦ εἶπεν· Ἀκολούθως ἀπεφήνατο ὁ ἁγιώτατος καὶ θεοσεβέστατος ἀρχιεπίσκοπος Διόσκορος ὥστε ἀναγνωσθῆναι πρότερον τὰ πεπραγμένα ἐν τῇ πανευδαίμονι Κωνσταντινουπόλει περὶ τῆς προκειμένης ὑποθέσεως.

216 Ἡ ἁγία σύνοδος εἶπεν· Πάντες θέλομεν ἀναγνωσθῆναι τὰ πεπραγμένα. ἀνα- M VI 649
γινωσκέσθω τὰ πεπραγμένα.

217 Διόσκορος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Λεγέτω καὶ ὁ θεοσεβέστατος ἐπίσκοπος Ἰούλιος ὁ ἐπέχων τὸν τόπον τοῦ ἁγιωτάτου ἐπισκόπου τῆς Ῥωμαίων ἐκκλησίας Λέοντος εἰ σύμψηφος γίνεται τῇ ἁγίαι ταύτῃ συνόδωι καὶ βούλεται καὶ αὐτὸς ἀναγνωσθῆναι τὰ πεπραγμένα ἐν Κωνσταντινουπόλει ἐπὶ τῇ ὑποθέσει ταύτῃ.

218 Ἰούλιος ἐπίσκοπος ἐπέχων τὸν τόπον τοῦ ἁγιωτάτου ἐπισκόπου τῆς Ῥωμαίων ἐκκλησίας Λέοντος ἑρμηνεύοντος αὐτὸν Φλωρεντίου ἐπισκόπου Λυδῶν εἶπεν· Τούτωι τῶι λόγωι βουλόμεθα τὴν πρᾶξιν ἀναγνωσθῆναι, εἰ πρῶτον ἀναγνωσθῆι τὰ παρὰ τοῦ πάπα ἐπισταλέντα.

219 Ἴλαρος διάκονος τῆς Ῥωμαίων ἐκκλησίας ἑρμηνεύοντος αὐτὸν Φλωρεντίου ἐπισκόπου Λυδῶν εἶπεν· Ἐπειδὴ καὶ ὁ ἁγιώτατος ἐπίσκοπος Ῥώμης ἀναγνωσθέντων αὐτῶι τούτων τῶν ὑπομνημάτων ὧν νῦν ζητεῖτε τὴν ἀνάγνωσιν, ἐπέστειλεν [ἃ ἐπέστειλεν]

220 Εὐτυχὴς ἀρχιμανδρίτης εἶπεν· Οἱ ἀποσταλέντες θεοσεβέστατοι ἄνδρες ὑπὸ τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου ἀρχιεπισκόπου Λέοντος τῆς Ῥωμαίων εἰς τὴν ἁγίαν ὑμῶν σύνοδον ὑποπτοί μοι γεγόνασιν. κατήχθησαν γὰρ πρὸς Φλαβιανὸν τὸν θεοφιλέστατον ἐπίσκοπον καὶ ἡρίστησαν παρ' αὐτῶι καὶ συνεκροτήθησαν καὶ πάσης θεραπείας παρ' αὐτοῦ ἠξιώθησαν. ἀξιῶ οὖν τὴν ὑμετέραν ἁγιότητα, εἴ τι παρὰ τὸ δίκαιον γίνοιτο παρ' αὐτῶν κατ' ἐμοῦ, τοῦτο πρόκριμά μοι μὴ φέρειν.

221 Διόσκορος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Ἀκόλουθόν ἐστιν καὶ εὔλογον πρῶτον ἀναγνωσθῆναι τὰ ἐπὶ τῇ ὑποθέσει πεπραγμένα, εἶθ' οὕτως τὰ γράμματα τοῦ θεοφιλεστάτου ἐπισκόπου Ῥώμης. ὅθεν κατὰ τὰ δόξαντα τῇ ἁγίαι ταύτῃ συνόδωι ἀναγινωσκέσθω τὰ πεπραγμένα.

222 Ἰωάννης πρεσβύτερος καὶ πρῶτος νοταρίων εἶπεν· Προσέταξεν ἡ ἁγία ὑμῶν καὶ μεγάλη σύνοδος ἀναγνωσθῆναι τὰ πεπραγμένα ἐν τῇ βασιλευούσηι Κωνσταντινουπόλει ἐπὶ τῇ ἐν χερσὶν ὑποθέσει. ἐπειδὴ τοίνυν προσήνεγκεν ταῦτα ὁ θεοσεβέστατος ἐπίσκοπος τῆς Κωνσταντινουπόλεως ἐκκλησίας Φλαβιανός, ἐπιδέδωκεν δὲ τὰ ἴσα καὶ ὁ θεοσεβέστατος ἀρχιμανδρίτης Εὐτυχής, ἀναγνώσομαι, ὡς προσετάξατε.

---

221. 222 adfert Timotheus Aelurus f. 56a

12 σημ̄ ὅτι ἐκ δευτέρου πάλιν ἐπεζητήθη ἀναγνωσθῆναι ἡ ἐπιστολὴ λέοντος καὶ οὐκ ἀνεγνώσθη Mmg Pmg Smg

---

MBPSΦ, Λn [4—100, 3]

1 καὶ θεοσεβέστατος om. B 2 ἐπίσκοποσ B πρότερον om. Φac 6 θεοφιλέστατοσ B 8 ταύτῃ om. B 9 ταύτῃ om. B 10 ἁγιωτάτου καὶ θεοφιλεστάτου B 11 αὐτῶ B 11. 15 λύδδων Mcorr B 12 βούλομαι B 14 *Hilarus* Φcr Λn Ἰλάριοσ MBPSΦa αὐτῶ B 15 εἶπεν om. M 16 ἐπίστειλεν ἃ ἐπίστειλεν [ἀπίστειλεν PS] MBPS *direxit* [*transmisit* Φac] *quo dicente* Φac Λn *transmisit epistulam eam legi iubete quo dicente* Φr; seruant Φac Λn Hilari sermonem ab Eutyche interruptum; qui cum non plenus esset, uario modo in Graecis et in Rustici exemplari suppletus est 17 ὁ ἀρχιμανδρίτησ S θεοφιλέστατοι B παρὰ B 18 λέοντοσ τῆσ ρωμαίων MSΛn λέοντοσ τῆσ ρωμαίων ἐκκλησίασ PΦ τῆσ ρωμαίων ἐκκλησίασ λέοντοσ B 21 οὖν om. BPS ἡμετέραν S 22 κατ' ἐμοῦ παρ' αὐτῶν B 25 ταύτῃ om. B Tim. 27 ὑμῶν om. B 28/29 τὰ ἐν τῇ — πόλει κωνσταντινουπόλει πεπραγμένα ἐπὶ τῇ — ὑποθέσει ἀναγνωσθῆναι B 29 προσήνεγκε BΦ Tim. προήνεγκεν MPSΛn θεοφιλέστατοσ B 30 δὲ om. S καὶ om. Λn 31 θεοσεβέστατος om. BS ἀναγνωσθήσονται B προσετάξατο PS

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 9/9/15 7:57 AM

Τὰ πραχθέντα ἐκ Κωνσταντινουπόλει ἐπὶ Φλαβιανοῦ, ἀναγνωσθέντα δὲ ἐν Ἐφέσωι ἐπὶ Διοσκόρου ἀναγινώσκεται ἐν Χαλκηδόνι

223 L IIII 152 M VI 652 d. 8. m. Nou. a. 448 Ὑπατείας Φλαυίων Ζήνωνος καὶ Ποστουμιανοῦ τῶν λαμπροτάτων τῆι πρὸ ἓξ Εἰδῶν Νοεμβρίων, ἐν τῆι φιλοχρίστωι καὶ βασιλευούσηι Κωνσταντινουπόλει Ῥώμηι, συναχθείσης τῆς ἁγίας καὶ μεγάλης συνόδου τῆς ἐνδημούσης ἐν τῆι προειρημένηι μεγαλοπόλει ἐν τῶι σηκρήτωι τοῦ ἐπισκοπείου, προκαθεζομένου τοῦ ἁγιωτάτου καὶ ὁσιωτάτου ἀρχιεπισκόπου Φλαβιανοῦ, καὶ ἀναγινωσκομένης ἀναφορᾶς σταλείσης παρὰ Φλωρεντίου τοῦ θεοσεβεστάτου ἐπισκόπου τῆς Σάρδεων μητροπόλεως τῆς ἐπαρχίας Λυδῶν καὶ τῶν ὑπ' αὐτὸν τελούντων θεοσεβεστάτων ἐπισκόπων Ἰωάννου καὶ Κοσσινίου, παρόντων καὶ τῶν τὰς ἀναφορὰς κομισάντων κληρικῶν, τύπου τε δοθέντος φανεροῦ ἐπὶ τοῖς ἀναγνωσθεῖσιν, ἀναστὰς Εὐσέβιος ὁ θεοφιλέστατος ἐπίσκοπος Δορυλαίου, εἷς ὢν τῶν συνεδρευόντων, λιβέλλους ἐπιδέδωκεν τῆι ἁγίαι συνόδωι ἐνορκῶν ἀναγνωσθῆναι αὐτοὺς καὶ ἐμφέρεσθαι τῆι πράξει τῶν ὑπομνημάτων.

224 Ἐνισταμένου δὲ αὐτοῦ ὁ ἁγιώτατος ἀρχιεπίσκοπος Φλαβιανὸς εἶπεν· Ὑποδεχθεὶς ὁ λίβελλος ἀναγινωσκέσθω πρὸς τὸ γνῶναι ἡμᾶς τὴν ἐγκειμένην αἰτίαν.

Καὶ ὑποδεξάμενος Ἀστέριος πρεσβύτερος καὶ νοτάριος ἀνέγνω

Ἀντίγραφον λιβέλλου Εὐσεβίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Δορυλαίου

225 Τῶι ἁγιωτάτωι καὶ θεοφιλεστάτωι ἀρχιεπισκόπωι Φλαβιανῶι καὶ τῆι ἐνδημούσηι ἁγίαι καὶ μεγάλῃ συνόδωι τῶν θεοφιλεστάτων ἐπισκόπων παρὰ Εὐσεβίου ἐπισκόπου Δορυλαίου. Ἠὐχόμην μὲν μὴ οὕτω παραπληξίαι ἀλῶναι καὶ μέθηι λογισμοῦ καὶ ἐκστάσει φρενῶν Εὐτυχῆ τὸν πρεσβύτερον καὶ ἀρχιμανδρίτην, ὥστε ἐπιλαθέσθαι μὲν τοῦ φόβου τοῦ θεοῦ, καταφρονῆσαι δὲ τοῦ φοβεροῦ βήματος τοῦ πάντων ἡμῶν σωτῆρος
Act. 17, 31 Χριστοῦ καὶ τῆς δικαίας αὐτοῦ κρίσεως καὶ ἀνταποδόσεως, ὃς ἥξει κρῖναι τὴν οἰκουμένην
Apoc. 22, 12 ἐν δικαιοσύνηι καὶ ἀποδοῦναι ἑκάστωι κατὰ τὰ ἔργα αὐτοῦ, ὥστε τολμῆσαι κατ' αὐτοῦ τοῦ πάντων ἡμῶν σωτῆρος Χριστοῦ βλάσφημον κινῆσαι γλῶτταν καὶ τοὺς πατέρας τοὺς ἐν ἁγίοις ἀριθμουμένους αἱρετικοὺς ἀποκαλεῖν καὶ ἡμᾶς τοὺς τὴν ἐκείνων ἐζηλωκότας πίστιν. ἐπειδὴ δὲ οὐ παύεται, ἀπύλωτον ἔχων στόμα καὶ ἀχαλίνωτον γλῶτταν, ἀρνούμενος [τε] τὰ εὐσεβῆ τῆς ὀρθοδοξίας δόγματα, διασύρων δὲ καὶ τοὺς ἁγίους πατέρας κἀμὲ τὸν μηδέποτε αἱρετικὸν ὑπονοηθέντα, αἱρετικοὺς δὲ πάντοτε πολεμήσαντα καὶ τὴν ὀρθόδοξον

1 πρᾶξις α̅ M[mg]
1—4 cf. infra 615
225. 230 = Epistularum Coll. H 2. extant in Coll. Nouariensi 1

MB, P [usque ad 16 ἀνέγνω], p [inde a 17], S, HX [inde a 17], Φ, Λ[n] [17—101, 5]
1/2 πρᾶξισ πρώτη τῶν ἐν τῆ κατὰ κωνσταντινούπολιν συνόδω ἐπὶ φλαβιανοῦ πεπραγμένων κατὰ εὐτυχοῦσ τοῦ δυσσεβοῦσ B 3 φλαυίων BΦ[ar] φλαβίου MPSΦ[c] πουστουμιανοῦ PS τῆι om. MPS ιδῶν M 4 καὶ om. P πόλει S ῥώμη MBPΦΛ[n] νέα ῥώμη S 6 σικρήτω M σεκρέτω BPS ἐπισκόπου MPS, corr. M 7 φλαβιανοῦ ἀρχεπισκόπου B ἀποσταλείσησ B 8 θεοφιλεστάτου B Rusticus σάρδεων BΦ σαρδιανῶν MPS 8/9 λύδδων BΦ[r] 9 καὶ MBPS κατὰ Φ αὐτὸν B αὐτῶ MPS κοσίνου MPS κοσινίου M[corr] 11 ὁ om. P δορυλλαίου MBPS, corr. M 14 ἐπίσκοποσ B 16 ἀρχινοτάριοσ B post ἀνέγνω collocant p. 102, 1—29 MPpS; eundem ordinem inuenit Rusticus *in Graeco* 17 ἀντίγραφον HX ἀντίγραφον τοῦ Mp[Smg] Ἴσον B Εὐσεβίου — Δορυλαίου om. Mp[Smg] τοῦ εὐλαβεστάτου om. HX δορυλλαίου B 18 φιλοχρίστω X φλαβιανῶ ἀρχιεπισκόπωι pS 20 δορυλλαίου MBpS, corr. M om. HX ηὔχομεν μὴ HX, corr. H μὴ om. pS παραπληξίασ HX λογισμῶν B 21 ἐκστάσει] σκαιώσει B εὐτυχῆν MpS, corr. M 22 τὸν φόβον X πάντων σρσ̄ ἡμῶν HX 23 ιῡ χῡ H 24 τὸ ἔργον BH τολμήσασ HX αὐτοῦ[2] om. BS 27 ἐπεὶ B 28 τε MPSHX om. BΦΛ[n] ῥήματα S καὶ om. HX 29 οὐδέποτε X 29/101, 1 αἱρετικοὺς — ἐκδικήσαντα om. HX

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 9/9/15 7:57 AM

πίστιν κατὰ δύναμιν ἐκδικήσαντα ἐμμένοντά τε τῇι πίστει τῶν ἁγίων πατέρων τῶν τριακοσίων δέκα καὶ ὀκτὼ τῶν ἐν Νικαίαι συναγηγερμένων καὶ πᾶσι τοῖς πραχθεῖσιν ἐν τῇι Ἐφεσίων μητροπόλει παρὰ τῆς ἁγίας καὶ μεγάλης συνόδου καὶ τοῖς φρονηθεῖσιν καὶ ἐκτεθεῖσιν παρὰ τοῦ μακαρίου Κυρίλλου τοῦ τῆς Ἀλεξανδρέων μεγαλοπόλεως γεγονότος ἐπισκόπου

226 Καὶ ἐπιφωνήσασα ἡ ἁγία σύνοδος εἶπεν· Ἀεὶ μνεία Κυρίλλου. Διόσκορος καὶ Κύριλλος μίαν πίστιν ἔχουσιν. οὕτω φρονεῖ πᾶσα ἡ σύνοδος. Κυρίλλου αἰωνία ἡ μνήμη. εἴ τις ἀνασκευάζει, ἀνάθεμα. εἴ τις ἐπεξεργάζεται, ἀνάθεμα. ἐπικατάρατος ὁ προστιθείς· ἐπικατάρατος ὁ ἀφαιρῶν· ἐπικατάρατος ὁ καινίζων. τὰς φωνὰς τῶι βασιλεῖ. M VI 653

227 Ἰούλιος ἐπίσκοπος ἐπέχων τὸν τόπον τοῦ ἁγιωτάτου ἐπισκόπου τῆς Ῥωμαίων ἐκκλησίας Λέοντος ἑρμηνεύοντος αὐτὸν Φλωρεντίου ἐπισκόπου Λυδῶν εἶπεν· Ἡ ἀποστολικὴ καθέδρα οὕτω φρονεῖ. L IIII 153

228 Ἡ ἁγία σύνοδος εἶπεν· Καὶ ἡ τῆς οἰκουμένης σύνοδος οὕτως φρονεῖ.

229 Καὶ μετὰ τὰς φωνὰς τὰ λοιπὰ τῆς πράξεως ἀνεγνώσθη οὕτως ἐφεξῆς

230 καὶ Ἀθανασίου καὶ τοῦ μεγάλου Γρηγορίου καὶ Γρηγορίου καὶ Γρηγορίου καὶ Ἀττικοῦ καὶ Πρόκλου τῶν ἁγίων ἐπισκόπων, δέομαι καὶ παρακαλῶ τὴν ὑμετέραν ὁσιότητα μὴ παριδεῖν τήνδε μου τὴν ἱκετηρίαν, ἀλλὰ κελεῦσαι Εὐτυχῆ τὸν πρεσβύτερον καὶ ἀρχιμανδρίτην ἀπαντῆσαι εἰς τὸ ἅγιον ὑμῶν συνέδριον καὶ ἀπολογήσασθαι τοῖς παρ' ἐμοῦ αὐτῶι ἐπαγομένοις. ἕτοιμος γάρ εἰμι διελέγχειν αὐτὸν ἐπίπλαστον ἔχοντα τῆς ὀρθοδοξίας τὸ ὄνομα, ἀλλότριον δὲ πάντηι τῆς ὀρθοδόξου πίστεως. καὶ ἐνεύχομαι ὑμῖν τὴν ἁγίαν καὶ ὁμοούσιον τριάδα τὴν σώιζουσαν τοὺς φιλοχρίστους ἡμῶν βασιλέας καὶ τὴν σωτηρίαν καὶ διαμονὴν τῶν εὐσεβεστάτων ἡμῶν βασιλέων Θεοδοσίου καὶ Οὐαλεντινιανοῦ τῶν αἰωνίων αὐγούστων τὸν προειρημένον Εὐτυχῆ κελεῦσαι ἀπαντῆσαι εἰς τὴν ἁγίαν ὑμῶν σύνοδον καὶ ἀπολογήσασθαι τοῖς ἐπαγομένοις αὐτῶι παρ' ἐμοῦ, ὅπως τούτου διελεγχθέντος παρ' ἐμοῦ οἵ τε βλαβέντες παρ' αὐτοῦ διορθωθεῖεν καὶ ἡ ὀρθόδοξος πίστις νικῶσα καὶ νῦν ὀφθεῖη ἡ πάντα διαλαβοῦσα τῆς οἰκουμένης τὰ πέρατα. καὶ τούτου τυχὼν χάριτας ὁμολογήσω τῆι ὑμετέραι ἁγίαι συνόδωι διὰ παντός.

Εὐσέβιος ἐπίσκοπος τῆς κατὰ Δορύλαιον ἁγίας τοῦ θεοῦ ἐκκλησίας ἐπιδοὺς τούσδε μου τοὺς λιβέλλους ὑπέγραψα χειρὶ ἐμῆι.

226—230 [usque ad 17 ἐπισκόπων] extant in Coll. Nouariensi 10, 58—60. 62

6 ἐπὶ διοσκόρου M^{mg} τῆσ ἐν ἐφέσω συνόδου B^{mg}

16 τὰ ἐπὶ φλαβιανοῦ M^{mg} τῆσ ἐν κωνσταντινουπόλει συνόδου B^{mg}

MBpS, HX [1—5. 16—30], Φ, Λ^{n} [6—17 ἐπισκόπων (= Coll. Nouar. 10, 58—62). 16—30 (= Coll. Nou. 1)]

1 ἐμμένοντα δὲ HX καὶ ἐμμένοντα B 2 δεκαοκτὼ BHX 3 μεγάλης] οἰκουμενικῆσ HX 4/5 γενομένου ἐπισκόπου B ἐπισκόπου p om. S 6 ἡ ἐν ἐφέσω BΛ^{n} 8 ἡ om. M 11/12 τοποτηρῶν τῶ ἁγιωτάτω ἐπισκόπω — λέοντιB 12 λύδδων BΦ^{r} 14 τῆσ οἰκουμενικῆσ p 15 τῆς πράξεως om. B οὕτωσ ἐφεξῆσ om. B 16 ἀθανασίου τοῦ μεγάλου καὶ γρηγορίου καὶ γρηγορίου καὶ γρηγορίου MpΦ^{r} ἀθανασίου καὶ βασιλείου γρηγορίου γρηγορίου καὶ γρηγορίου S ἀθανασίου τοῦ μεγάλου καὶ γρηγορίου καὶ γρηγορίου καὶ βασιλείου B ἀθανασίου τοῦ μεγάλου καὶ γρηγορίου HX *magnus athanasius et gregorius et gregorius et basilius* Φ^{ac} *Graeci codices non Basilium* Rusticus *athanasii maioris gregorii et gregorii* Λ^{n} [Coll. Nou. 10, 62] *athanasii et maioris gregorii et gregorii et gregorii* [Coll. Nou. 1] καὶ^{5} om. S 17 τῶν — ἐπισκόπων] καὶ τῶν ἄλλων ὀρθοδόξων B 18 εὐτυχῆν MpS, corr. M εὐτυχεῖν H ἐντυχεῖν X 20 αὐτοῦ H 20/21 ἐπίπλαστον — πίστεως om. HX 20 ἔχειν S 22 βασιλεῖσ BSHX 24 εὐτυχῆν MpS, corr. M κελεύσατε B 25 ἀπαγομένοισ S ἐπιλεγομένοισ X ὅπωσ ἂν HX 27 ὀφθεῖη ἡ] ὀφθῆ B 28 ἁγία συνόδω BΛ^{n} ἁγιωσύνη MpSHXΦ 29 δορύλλαιον MBp, corr. M

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 9/9/15 7:57 AM

231 Καὶ μετὰ τὸ ἀναγνωσθῆναι ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Ἐκπλήττει μὲν
ἡμᾶς τὰ ἀναγνωσθέντα τοιαύτην ἐπάγοντα μέμψιν τῶι εὐλαβεστάτωι πρεσβυτέρωι καὶ
M VI 656 ἀρχιμανδρίτηι Εὐτυχεῖ, ὅμως καταξιώσηι ἡ εὐλάβειά σου συντυχίαν ποιήσασθαι πρὸς
αὐτὸν καὶ διαλεχθῆναι αὐτῶι περὶ τῆς ὀρθῆς πίστεως, καὶ εἰ εὑρεθείη κατὰ ἀλήθειαν οὐκ
ὀρθὰ φρονῶν, τὸ τηνικαῦτα κληθήσεται παρὰ τῆς ἁγίας συνόδου καὶ συστήσεται ἑαυτῶι.

232 Εὐσέβιος ἐπίσκοπος εἶπεν· Ἐγὼ φίλος μὲν αὐτοῦ ἦμην τὸ πρότερον, οὐχ ἅπαξ δὲ
οὐδὲ δεύτερον, ἀλλὰ καὶ πλειστάκις συνέτυχον αὐτῶι διὰ τὴν αἰτίαν ταύτην, ἀφ' οὗ
ἐβλάβη, καὶ διελέχθην αὐτῶι καὶ εὑρὼν αὐτὸν οὐκ ὀρθὰ φρονοῦντα παρήινεσα καὶ ἐδίδαξα,
καὶ ἐνίστατο λέγων ἐκεῖνα ἅπερ ἀλλότρια ἦν τῆς ὀρθῆς ἡμῶν πίστεως. καὶ τοῦτο
δύναμαι δεῖξαι διὰ πολλῶν μαρτύρων παρόντων καὶ ἀκηκοότων. ἐνορκίζω οὖν ὑμᾶς
καὶ πάλιν τὸν κύριον ἡμῶν Ἰησοῦν τὸν Χριστὸν ὥστε μεταστείλασθαι αὐτὸν ἐπὶ τῶι
ἀπολογήσασθαι καὶ μετὰ τὸ ἐλεγχθῆναι αὐτὸν παρ' ἐμοῦ παύσασθαι τῆς διεστραμμένης
αὐτοῦ διδασκαλίας, ἐπειδὴ πολλοί εἰσιν οἱ παρ' αὐτοῦ βλαβέντες.

233 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Ἀνάσχηται ἡμῶν ἡ σὴ εὐλάβεια καὶ αὖθις
σκυλῆι ἕως τοῦ μοναστηρίου καὶ ὁμιλήσηι αὐτῶι τὰ πρέποντα καὶ πρὸς εἰρήνην βλέ-
ποντα, ὥστε μή τινα πάλιν ταραχὴν καὶ θόρυβον ἐγγενέσθαι ταῖς ἁγίαις τοῦ θεοῦ ἐκ-
κλησίαις.

234 Εὐσέβιος ἐπίσκοπος εἶπεν· Ἀδύνατόν ἐστιν ἐμὲ λοιπὸν ἀπελθόντα πολλάκις καὶ
L IIII 156 μὴ πείσαντα πάλιν πρὸς αὐτὸν ἀπελθεῖν καὶ βλασφήμων ἀκούειν ῥημάτων, ἀλλὰ κατα-
ξιώσηι ἡ ὑμῶν ἁγιωσύνη μεταστείλασθαι αὐτὸν ἐπὶ τῶι ἀπαντῆσαι. οὐδὲ γὰρ συγ-
χωρῶ ἀνεξέταστον τὴν τοιαύτην ὑπόθεσιν καταλιπεῖν.

235 Ἡ ἁγία σύνοδος εἶπεν· Ἔδει μέν σου τὴν εὐλάβειαν πεισθῆναι ταῖς παραινέσεσιν
τοῦ ἁγιωτάτου καὶ ὁσιωτάτου ἀρχιεπισκόπου ἡμῶν, ἐπειδὴ δὲ ἐπιμένοντά σε ὁρῶμεν,
γενήσεται ὅπερ ἐζήτησας. τοιγαροῦν οἱ μὲν παρὰ σοῦ ἐπιδοθέντες λίβελλοι ἐνταττέσθω-
σαν τοῖς ὑπομνήμασιν πρὸς ἀκριβῆ τῶν πραττομένων ἐξέτασιν, Ἰωάννης δὲ ὁ εὐλαβέστατος
πρεσβύτερος καὶ ἔκδικος ἅμα τῶι εὐλαβεστάτωι διακόνωι Ἀνδρέαι παραγενόμενοι πρὸς
τὸν εὐλαβέστατον πρεσβύτερον καὶ ἀρχιμανδρίτην Εὐτυχῆ τόν τε λίβελλον τὸν ἐπι-
δοθέντα κατ' αὐτοῦ ἀναγνώσονται αὐτῶι καὶ ὑπομνήσουσιν ἀπαντῆσαι πρὸς τὴν ἁγίαν
ταύτην σύνοδον καὶ ἑαυτῶι συναγωνίσασθαι οὐκ ἐπὶ τῶι τυχόντι ἐγκαλουμένωι.

236 Καὶ ἐν τῶι ἀναγινώσκεσθαι οἱ ἐνδοξότατοι ἄρχοντες καὶ ἡ ὑπερφυὴς σύγκλητος
εἶπον· Ἡνίκα Εὐσέβιος ὁ εὐλαβέστατος ἐπίσκοπος ἐν Κωνσταντινουπόλει Εὐτυχοῦς κατη-
γόρει, ὁρᾶτε ὅτιπερ αὐτὸς ἠξίωσεν παρόντα Εὐτυχῆ εὐθυνθῆναι. πῶς τοίνυν τὸ αὐτὸ
ὑπόδειγμα καὶ ἐν Ἐφέσωι οὐκ ἐφυλάχθη οὔτε εἰσεδέχθη Εὐσέβιος ὁ εὐλαβέστατος ἐπί-
σκοπος;

---

30 ἐν χαλκηδόνι M^{mg} p^{mg} S^{mg} τῆσ ἐν χαλκηδόνι συνόδου B^{mg}

MB, P [1 καὶ μετὰ — 3 πρὸσ], p [inde a 4 αὐτὸν καὶ διαλεχθῆναι], SΦ

1 καὶ μετὰ τὴν ἀνάγνωσιν B om. $Φ^{r}$ ἀρχιεπίσκοποσ φλαβιανὸσ B 3 καταξιώσει MBPS 5 ὀρθὰ BΦ^{cr} ὀρθῶσ MpSΦ^{a} 6 ἐπίσκοποσ δορυλλαίου B μὲν φίλοσ B τὸ om. S 8 ἐβλάβην M^{corr}S διειλέχθην M^{corr}B εὗρον Mp ὀρθῶσ pS 9 ἐνίστατο M^{corr}Φ ἐνίσταται MBpS ἀλλότρια τῆσ ἡμῶν πίστεώσ ἐστι B *quae aliena sunt a recta nostra fide* Φ 10 οὖν BΦ δὲ MpS 11 τὸν^{2} om. BS τὸ MpS 14 ἐπίσκοποσ φλαβιανὸσ B 15 σκυλεῖ MpS ὁμιλήσει MpS ὁμιλήσεισ B 16 τινα πάλιν om. BΦ^{ac} τινα om. $Φ^{r}$ ἐκγενέσθαι p θῦ Bp χῦ MSΦ 18 ἐπίσκοποσ δορυλλαίου B ἐστί με B 19 ἀκοῦσαι B 19/20 καταξιώσει MBpS 20 τὸ pS 25 δὲ om. S 27 εὐτυχῆν Mp, corr. M 28 ὑπομνήσωσιν pS 29 ταύτην om. B 31 εἶπεν Mp 32 συνορᾶτε B αὐτὸν κατηξίωσε S εὐτυχῆν MpS, corr. M 33 εἰσεδέχθη B εἰσενέχθη M εἰσηνέχθη pS

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 9/9/15 7:57 AM

237 Καὶ σιωπώντων ἁπάντων οἱ ἐνδοξότατοι ἄρχοντες καὶ ἡ ὑπερφυὴς σύγκλητος εἶπον· Διέξιθι τὰ λοιπά.

Βερονικιανὸς ὁ καθωσιωμένος σηκρητάριος τοῦ θείου κονσιστωρίου ἀπὸ τοῦ αὐτοῦ σχεδαρίου ἀνέγνω M VI 657 4

238 Ὑπατείας Φλαυίων Ζήνωνος καὶ Ποστουμιανοῦ τῶν λαμπροτάτων τῇι πρὸ μιᾶς Εἰδῶν Νοεμβρίων, ἐν τῇι φιλοχρίστωι καὶ βασιλευούσηι Κωνσταντινουπόλει Ῥώμηι, συναχθείσης τῆς ἁγίας καὶ μεγάλης συνόδου τῆς ἐνδημούσης τῇι προειρημένηι μεγαλοπόλει, προκαθεζομένου τοῦ ἁγιωτάτου καὶ ὁσιωτάτου ἀρχιεπισκόπου Φλαβιανοῦ, ἐν τῶι σηκρήτωι τοῦ ἐπισκοπείου, Εὐσέβιος ἐπίσκοπος Δορυλαίου εἶπεν· Προσελθὼν τῇι ὑμετέραι ἁγιωσύνηι λιβέλλους ἐπιδέδωκα πρώην αἰτιώμενος Εὐτυχῆ τὸν πρεσβύτερον καὶ ἀρχιμανδρίτην ταυτησὶ τῆς πόλεως ὡς τὰ ὀρθόδοξα δόγματα τῆς ἐκκλησίας διαφθείροντα, τοῦτο μὲν ἐν διαλέξεσιν, τοῦτο δὲ καὶ ἐν κατηχήσεσιν τῶν ἐκεῖ παρατυγχανόντων, δι' ὧν δυνατόν ἐστιν, ἐπὰν ἐκεῖνος παραγένηται, τὰς ἀποδείξεις με ἐπὶ τῶν ἀγώνων παρασχεῖν, ἐκ πολλῶν ἐλέγχων φανερουμένων τῶν κατ' αὐτόν. ἐπεὶ οὖν ἑτοίμως ἔχω τοῦτον ἐλέγχειν ὄντα τοιοῦτον, ἠξίωσα δὲ τὴν ὑμετέραν ὁσιότητα ὥστε αὐτὸν κανονικῶς ὑπομνησθέντα καταλαβεῖν τὴν ἁγίαν ὑμῶν σύνοδον, καὶ τοῦτο ἐπετρέψατε γενέσθαι διά τινων εὐλαβεστάτων κληρικῶν, ἀναδιδάσκω πρὸς ἐντελῆ διδασκαλίαν τῆς ὑμετέρας ἁγιωσύνης ὅτιπερ ὁ τῆς ὁσίας καὶ μακαρίας μνήμης γενόμενος ἐπίσκοπος Κύριλλος τῆς κατὰ τὴν μεγαλόπολιν Ἀλεξάνδρειαν ἁγιωτάτης ἐκκλησίας Νεστορίου τὰ διεστραμμένα L IIII 157 δόγματα εἰσάγοντος καὶ κηρύττοντος ἐπ' ἐκκλησίας, θεοφιλὴς ὢν καὶ ζηλωτὴς ὑπάρχων τῆς πίστεως, γνοὺς τὰ περὶ αὐτοῦ, γράμμα παραινετικὸν ἀπέστειλεν πρὸς αὐτὸν ἔχον τὴν ἔκθεσιν τῶν ἁγίων πατέρων τῶν ἐν τῇι Νικαέων συναχθέντων καὶ ὅπως δεῖ ἐκείνην τὴν πνευματικὴν ἔκθεσιν καὶ νοεῖν καὶ φρονεῖν. ταύτην δεξάμενος Νεστόριος τὴν ἐπιστολὴν ἀντέγραψεν πρὸς αὐτὴν τῶι τῆς μακαρίας μνήμης Κυρίλλωι τὰ διεστραμμένα αὐτοῦ καὶ βέβηλα δόγματα δῆλα ποιῶν. ἐπὶ τούτοις κατὰ θέσπισμα τῶν φιλοχρίστων ἡμῶν βασιλέων σύνοδος συνεκροτήθη εἰς τὴν Ἐφεσίων μητρόπολιν καὶ ἐν πρώτηι τάξει ἠξίωσεν ὁ τῆς μακαρίας μνήμης Κύριλλος ἀναγινώσκεσθαι τὸ ἐπιστολιμαῖον γράμμα τὸ ἐπισταλὲν Νεστορίωι τῇι ἁγίαι καὶ μεγάληι συνόδωι, δοκιμάζεσθαι δὲ αὐτὸ παρ' αὐτῆς πότερον συμβαῖνόν ἐστιν τῇι ἐκθέσει τῶν ἁγίων πατέρων ἢ ἑτέρως ἔχει. διαλαλησάσης οὖν τῆς ἁγίας ἐκείνης καὶ μεγάλης καὶ οἰκουμενικῆς συνόδου ἀνεγνώσθη ἡ ἐπιστολὴ καὶ πάντες οἱ συνεδρεύοντες ἐν τῇι μεγάληι ἐκείνηι καὶ οἰκουμενικῆι συνόδωι ἀπεφήναντο αὐτὴν σύμφωνον εἶναι τῇι ἐκθέσει τῶν ἁγίων πατέρων καὶ ταῖς θείαις γραφαῖς καὶ οὐδὲν ἀπάιδειν αὐτῶν, συνθέσθαι δὲ αὐτοὺς τοῖς ἐκτεθεῖσιν ἐν τῇι αὐτῇι ἐπιστολῇι. ταύτην καὶ νῦν παρακαλῶ τὴν ὁσιότητα ὑμῶν κελεῦσαι ἀναγνωσθῆναι ἐπὶ τῶι γενέσθαι d. 12. m. Nou. a. 448

3 πρᾶξις $\overline{\beta}$ τῆς ἐν κωνσταντινουπόλει M^{mg} πρᾶξις δευτέρα τῆς ἐν κωνσταντινουπόλει συνόδου B^{mg}
4 ἐπὶ φλαβιανοῦ MS^{mg} post ἀνέγνω p

MBpSΦ

1 πάντων B 2 εἶπεν Mp 3 τοῦ — κονσιστωρίου om. B 4 σχιδαρίου pS 5 φλαυίων BΛ^{a} φλαβίου MpS πουστουμιανοῦ p 6 ιδῶν M Κωνσταντινουπόλει]νέα S 7 ἐν τῇ B 8 καθεζομένου B 9 σεκρέτω BpS δορυλλαίου MBpS, corr. M 10 εὐτυχῆν Mp, corr. M 11 ταύτησ BpS ὀρθὰ B 12 μὲν BΦ μὲν καὶ MpS 13 ἐὰν B 17 ἀναδιδάσκων MpS, corr. M πρὸσ B πρὸσ τὴν MpS 18 γενόμενος om. B ἀρχιεπίσκοποσ B 18/19 τῆς — ἐκκλησίας om. BS 20 ὑπάρχων om. B 21 γράμματα MBpS παραινετικὰ B ἔχοντα B 22 τῆι om. S δεῖ M^{corr}B δι' MpS 23 νεστόριοσ δεξάμενοσ p 23/24 τὴν ἐπιστολὴν νεστόριοσ B 25 καὶ — ποιῶν BΦ^{r} καὶ — δόγματα Φ^{ac} κατάδηλα ποιῶν δόγματα MpS τούτων pS 27 πρώτη τῆ MpS ἀναγνωσθῆναι B 28 δὲ] τε B 29 αὐτοῖσ B πρότερον εἰ B ἄλλωσ B 30 ἐκείνης om. B καὶ^{2} om. B 31 καὶ οἰκουμενικῆι om. B 33 συντίθεσθαί τε B 34 τὴν — ὑμῶν BΦ om. MpS κελεύσατε B τῶ B τὸ MpS

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 9/9/15 7:57 AM

κατάδηλον πᾶσιν ὅτιπερ κατὰ τὴν ἐν αὐτῇι τῇι ἐπιστολῇι ἐγκειμένην ἔκθεσιν οὕτω φρονοῦμεν καὶ οὕτω πεπιστεύκαμεν. ἔστι δὲ καὶ δευτέρα ἐπιστολὴ τοῦ τῆς ὁσίας μνήμης Κυρίλλου γραφεῖσα πρὸς τὴν ἁγίαν τὴν ἐν τῇι Ἀνατολῇι σύνοδον, ἡνίκα καὶ σύμβασις ἐγένετο μεταξὺ αὐτῶν, ὅπως ἔχουσιν περὶ τῆς ἐνανθρωπήσεως τοῦ σωτῆρος ἡμῶν Χριστοῦ καὶ ὅπως δεῖ τὰς πανταχοῦ ἁγίας τοῦ θεοῦ ἐκκλησίας καὶ φρονεῖν καὶ κηρύττειν. καὶ ταύτας ἀξιῶ ἐπὶ τῆς πίστεως τῶν ὑπομνημάτων ἀναγνωσθείσας ἐντάττεσθαι, ὥστε εὔδηλα εἶναι πᾶσιν τὰ τῆς ἐκκλησίας δόγματα.

239 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος Φλαβιανὸς εἶπεν· Εἰ καὶ γνώριμα ταῦτα πᾶσι καθέστηκεν τοῖς πιστοῖς καὶ τοῖς ἐντρεφομένοις καὶ ἐμμελετῶσι ταῖς βίβλοις τῶν ἁγίων πατέρων διὰ τὴν ἐξ αὐτῶν καθ' ἑκάστην ἀνάγνωσιν τικτομένην ὠφέλειαν καὶ βεβαίωσιν τῆς ἐνιδρυμένης ἡμῖν πίστεως, οὐδὲν κωλύει καὶ νῦν ἀναγινώσκεσθαι κατὰ τὰς παρὰ σοῦ γενομένας ἐξαιτήσεις, ἐνταττομένων ἁπάντων τῶν πραττομένων τῇι πίστει τῶν ὑπομνημάτων.

d. 26. m. Ian. — 24. m. Febr. 430

Ἀντίγραφον ἐπιστολῆς γραφείσης παρὰ τοῦ θεοφιλεστάτου ἐπισκόπου Ἀλεξανδρείας Κυρίλλου πρὸς Νεστόριον, μηνὶ Μεχὶρ Ἰνδικτιῶνος ιγ̄

240 Καταφλυαροῦσι μέν, ὡς μανθάνω, τινὲς τῆς ἐμῆς ὑπολήψεως ἐπὶ τῆς σῆς θεοσεβείας, καὶ τοῦτο συχνῶς, τὰς τῶν ἐν τέλει συνόδους καιροφυλακοῦντες μάλιστα καὶ τάχα που καὶ τέρπειν οἰόμενοι τὴν σὴν ἀκοὴν καὶ ἀβουλήτους πέμπουσιν φωνάς, ἠδικημένοι μὲν οὐδέν, ἐλεγχθέντες δέ, καὶ τοῦτο χρηστῶς, ὃ μὲν ὅτι τυφλοὺς ἠδίκει καὶ πένητας, ὃ δὲ ὡς μητρὶ ξίφος ἐπανατείνας, ὃ δὲ θεραπαίνηι συγκεκλοφὼς χρυσίον ἀλλότριον καὶ τοιαύτην
L IIII 160 ἐσχηκὼς ἀεὶ τὴν ὑπόληψιν ἣν οὐκ ἂν εὔξαιτό τις συμβῆναί τισιν καὶ τῶν λίαν ἐχθρῶν. πλὴν οὐ πολὺς τῶν τοιούτων ὁ λόγος ἐμοί, ἵνα μήτε ὑπὲρ τὸν δεσπότην καὶ διδάσκαλον μήτε μὴν ὑπὲρ τοὺς πατέρας τὸ τῆς ἐνούσης ἐμοὶ βραχύτητος ἐκτείνοιμι μέτρον. οὐ γὰρ ἐνδέχεται τὰς τῶν φαύλων διαδρᾶναι σκαιότητας, ὡς ἂν ἕλοιτό τις διαβιοῦν. ἀλλ'
Rom. 3, 14 M VI 661 ἐκεῖνοι μὲν ἀρᾶς καὶ πικρίας μεστὸν ἔχοντες τὸ στόμα τῶι πάντων ἀπολογήσονται κριτῆι, τετράψομαι δὲ πάλιν ἐγὼ πρὸς τὸ ὅτι μάλιστα πρέπον ἐμαυτῶι καὶ ὑπομνήσω καὶ νῦν ὡς ἀδελφὸν ἐν Χριστῶι τῆς διδασκαλίας τὸν λόγον καὶ τὸ ἐπὶ τῆι πίστει φρόνημα μετὰ πάσης ἀσφαλείας ποιεῖσθαι πρὸς τοὺς λαοὺς ἐννοεῖν τε ὅτι τὸ σκανδαλίσαι καὶ μόνον
Mt. 18, 6 ἕνα τῶν μικρῶν τῶν πιστεύοντων εἰς Χριστὸν ἀφόρητον ἔχει τὴν ἀγανάκτησιν· εἰ δὲ

240 = t. I 1 1 p. 25—28; ibi ceteras uersiones Latinas enumeraui. uariam illius exemplaris lectionem hic non repeto. epistula iterum lecta est in actione tertia; plenam eam hic exhibet M, initium tantum illic, B uice uersa, hoc loco post inscriptionem et initium [καταφλυαροῦσι — εὐλαβείασ] pergendo καὶ τὰ λοιπὰ τῆσ ἐπιστολῆσ ἣν εὑρίσκων ἀνάγνωθι ἐν τῇ τρίτῃ πράξει μετὰ φύλλα ἑπτὰ τῆσ ἀρχῆσ κειμένην ἐνταῦθα δὲ μετὰ τὴν ἀνάγνωσιν τῆσ ἐπιστολῆσ ἔρχου πάλιν καὶ εὑρήσεισ τὴν ἀκολουθίαν οὕτωσ· κύριλλοσ ἐπίσκοποσ κτλ. [p. 106, 30]. ad actionem tertiam pertinent, sicut inscriptio docet, quam illic exhibebo, P_1 et U

MBpS, P_1U [inde a 15], Φ

1 τῇι om. MpS, corr. M οὕτω BΦ οὕτω καὶ MpS 2 ἑτέρα B 3 ἐπὶ γραφεῖσα S om. B τῇι om. B συνόδω M καὶ om. B 3/4 σύμβασισ ἐγένετο BΦ συμβάσεισ ἐγίνοντο [ἐγένοντο M^{corr}] MpS 4 ιῡ χῡ $B\Phi^{ac}$ 5 δεῖ B ἀεὶ MpS πανταχοῦ — θεοῦ Φ πανταχοῦ MpS ἁγίασ τοῦ θῡ B κηρύσσειν B 6 ἀξιῶ BM^{corr} ἀξι M ἄξει p ἄξειν S τῆσ πιστε duae litt. erasae ωσ M τοὺσ πιστοὺσ ὡσ p τοὺσ πιτοὺσ αὐτῶν ὡσ S καταγνωσθεῖσα συντάττεσθαι MpS, corr. M 8 ἐπίσκοποσ B 11 ἡμῖν BΦ ἡμῶν MpS 11/12 γινομένασ p 13/14 γραφείσησ — ιγ̄] ἀποσταλείσησ παρὰ κυρίλλου πρὸσ νεστόριον S ἀλεξανδρείασ ἐπισκόπου B 14 νεστόριον ἐπίσκοπον B μαχειρ p τρισκαιδεκάτησ B *quarta decima* Λ_n [10, 65] 15 μέν om. pS τινὲσ ὡσ μανθάνω [μανθάνων p] pS εὐλαβείασ B (loco priore) 16 τούτω pS 17 θέρπειν P_1 18 δ[ι] ἡ P_1 ὡσ om. MpS 19 θεραπαίνησ P_1 20 ηὔξατό MpS αἰσχρῶν P_1 21 ὁ om. U 23 ἕωσ pS διὰ βίου pS 24 ἔχουσι μεστὸν S 24/25 κριτῆ θω̄ U 25 πρὸσ τὸ om. S ὅτε P_1 27 ἐννοεῖν $BP_1U\Phi$ μὴ ἀγνοεῖν MpS ὅτι καὶ MpS 28 τῶν²] τούτων τῶν B τὸν χν̄ U

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 9/9/15 7:57 AM

δὴ πληθὺς εἴη τοσαύτη τῶν λελυπημένων, πῶς οὐχ ἁπάσης εὐτεχνίας ἐν χρείαι καθεστήκαμεν πρός γε τὸ δεῖν ἐμφρόνως περιελεῖν τὰ σκάνδαλα καὶ τὸν ὑγιῆ τῆς πίστεως κατευρῦναι λόγον τοῖς ζητοῦσιν τὸ ἀληθές; ἔσται δὲ τοῦτο, καὶ μάλα ὀρθῶς, εἰ τοῖς τῶν ἁγίων πατέρων περιτυγχάνοντες λόγοις περὶ πολλοῦ τε αὐτοὺς ποιεῖσθαι σπουδάζοιμεν καὶ δοκιμάζοντες ἑαυτοὺς εἰ ἐσμὲν ἐν τῇι πίστει, κατὰ τὸ γεγραμμένον, ταῖς ἐκείνων ὀρθαῖς καὶ 2 Cor. 13, 5
ἀνεπιλήπτοις δόξαις τὰς ἐν ἡμῖν ἐννοίας εὖ μάλα συμπλάττοιμεν. 6

Ἔφη τοίνυν ἡ ἁγία καὶ μεγάλη σύνοδος αὐτὸν τὸν ἐκ θεοῦ πατρὸς κατὰ φύσιν γεννηθέντα υἱὸν μονογενῆ, τὸν ἐκ θεοῦ ἀληθινοῦ θεὸν ἀληθινόν, τὸ φῶς τὸ ἐκ τοῦ φωτός, τὸν δι' οὗ τὰ πάντα πεποίηκεν ὁ πατήρ, κατελθεῖν σαρκωθῆναι ἐνανθρωπῆσαι παθεῖν ἀναστῆναι τῇι τρίτηι ἡμέραι καὶ ἀνελθεῖν εἰς τοὺς οὐρανούς. τούτοις καὶ ἡμᾶς ἕπεσθαι 10
δεῖ καὶ τοῖς λόγοις καὶ τοῖς δόγμασιν, ἐννοοῦντας τί τὸ σαρκωθῆναι καὶ ἐνανθρωπῆσαι δηλοῖ τὸν ἐκ θεοῦ λόγον. οὐ γὰρ φαμὲν ὅτι ἡ τοῦ λόγου φύσις μεταποιηθεῖσα γέγονεν σάρξ, ἀλλ' οὐδὲ ὅτι εἰς ὅλον ἄνθρωπον μετεβλήθη τὸν ἐκ ψυχῆς καὶ σώματος, ἐκεῖνο δὲ μᾶλλον ὅτι σάρκα ἐψυχωμένην ψυχῆι λογικῆι ἑνώσας ὁ λόγος ἑαυτῶι καθ' ὑπόστασιν ἀφράστως τε καὶ ἀπερινοήτως γέγονεν ἄνθρωπος καὶ κεχρημάτικεν υἱὸς ἀνθρώπου, οὐ 15
κατὰ θέλησιν μόνην ἢ εὐδοκίαν, ἀλλ' οὐδὲ ὡς ἐν προσλήψει προσώπου μόνου, καὶ ὅτι διάφοροι μὲν αἱ πρὸς ἑνότητα τὴν ἀληθινὴν συνενεχθεῖσαι φύσεις, εἷς δὲ ἐξ ἀμφοῖν Χριστὸς καὶ υἱός, οὐχ ὡς τῆς τῶν φύσεων διαφορᾶς ἀνηιρημένης διὰ τὴν ἕνωσιν, ἀποτελεσασῶν δὲ μᾶλλον ἡμῖν τὸν ἕνα κύριον καὶ Χριστὸν καὶ υἱὸν θεότητός τε καὶ ἀνθρωπότητος διὰ τῆς ἀφράστου καὶ ἀπορρήτου πρὸς ἑνότητα συνδρομῆς οὕτω τε λέγεται, καίτοι πρὸ 20
αἰώνων ἔχων τὴν ὕπαρξιν καὶ γεννηθεὶς ἐκ πατρός, γεννηθῆναι καὶ κατὰ σάρκα ἐκ γυναικός, οὐχ ὡς τῆς θείας αὐτοῦ φύσεως ἀρχὴν τοῦ εἶναι λαβούσης ἐν τῇι ἁγίαι παρθένωι οὔτε μὴν δεηθείσης ἀναγκαίως δι' ἑαυτὴν δευτέρας γεννήσεως μετὰ τὴν ἐκ πατρός (ἔστιν γὰρ τοῦτο εἰκαῖόν τε ὁμοῦ καὶ ἀμαθὲς τὸν ὑπάρχοντα πρὸ παντὸς αἰῶνος καὶ συναίδιον τῶι πατρὶ δεῖσθαι λέγειν ἀρχῆς τῆς εἰς τὸ εἶναι δευτέρας), ἐπειδὴ δὲ δι' ἡμᾶς καὶ διὰ τὴν L IIII 161
ἡμετέραν σωτηρίαν ἑνώσας ἑαυτῶι καθ' ὑπόστασιν τὸ ἀνθρώπινον προῆλθεν ἐκ γυναικός, 26
ταύτηι τοι λέγεται γεννηθῆναι σαρκικῶς. οὐ γὰρ πρῶτον ἄνθρωπος ἐγεννήθη κοινὸς ἐκ τῆς ἁγίας παρθένου, εἶθ' οὕτως καταπεφοίτηκεν ἐπ' αὐτὸν ὁ λόγος, ἀλλ' ἐξ αὐτῆς τῆς μήτρας ἑνωθεὶς ὑπομεῖναι λέγεται γέννησιν σαρκικήν, ὡς τῆς ἰδίας σαρκὸς τὴν γέννησιν οἰκειούμενος. οὕτω φαμὲν αὐτὸν καὶ παθεῖν καὶ ἀναστῆναι, οὐχ ὡς τοῦ θεοῦ λόγου M VI 664
παθόντος εἰς ἰδίαν φύσιν ἢ πληγὰς ἢ διατρήσεις ἥλων ἢ γοῦν τὰ ἕτερα τῶν τραυμάτων 31
(ἀπαθὲς γὰρ τὸ θεῖον, ὅτι καὶ ἀσώματον), ἐπειδὴ δὲ τὸ γεγονὸς αὐτοῦ ἴδιον σῶμα πέπονθεν ταῦτα, πάλιν αὐτὸς λέγεται παθεῖν ὑπὲρ ἡμῶν. ἦν γὰρ ὁ ἀπαθὴς ἐν τῶι πάσχοντι σώματι. κατὰ τὸν ἴσον δὲ τρόπον καὶ ἐπὶ τοῦ τεθνάναι νοοῦμεν. ἀθάνατος μὲν γὰρ κατὰ φύσιν καὶ ἄφθαρτος καὶ ζωὴ καὶ ζωοποιός ἐστιν ὁ τοῦ θεοῦ λόγος· ἐπειδὴ δὲ πάλιν τὸ 35

MBpSP$_1$UΦ

1 δὴ om. BP$_1$U 2 πρός γε τὸ BP$_1$U προσίετο MS προσείετο p πρός τε τὸ M^{corr} ὑγιᾶ BP$_1$U 2/3 κατευθῦναι BU 4 πολλούς S ἑαυτούς MpS σπουδάζομεν P$_1$ 5 ἥμεν MpS, corr. M 6 ἀνεπιπλάστοις MpS, corr. M ἀνεπιπλήκτοις P$_1$ ταῖσ — ἐννοίαισ MpS, corr. M εὖ] οὐ MpS, corr. M συμπλάττομεν MpSU 7 καὶ μεγάλη om. S θεοῦ καὶ πατρός Φ^r(I) 7/8 κατὰ φύσιν γεννηθέντα MpSUΦ^r (I) γεννηθέντα κατὰ φύσιν BP$_1$Φ^{ac} (I) Φ (II) 10 τοὺς om. BP$_1$U 12 οὐ — φαμὲν om. pS 13 ὅτι om. U 14 ἐμψυχωμένην SU 15 ἐχρημάτισεν U οὐ om. P$_1$ οὐδὲ U 16 μόνον MpSΦ 18 ὁ υἱὸσ P$_1$ ἀποτελέσασα pS 19 υἱὸν καὶ $\overline{\chi\nu}$ P$_1$ 20 ἀρρήτου U τὲ BP$_1$UΦ^{ac}(I) Φ (II) τοίνυν MpS om. Φ^r (I) 20/21 προαιώνιον MpS 21 ἔχον S τοῦ $\overline{\pi\rho\sigma}$ B 23 ἀναγκαίασ P$_1$ 24 τοῦτο om. BP$_1$U ἀμαθέστατον B καὶ om. P$_1$ 26 ἑαυτῶι ὁ λόγοσ BP$_1$U τὸ BP$_1$UΦ σῶμα MS σῶμα καὶ p 28 τῆς^3 om. BP$_1$ 29 οἰκείασ P$_1$ 30 λόγου om. B. 31 ἡ πληγὰς om. MpS ἢ^2] καὶ U διάτρησισ MpS, corr. M τῶν ἥλων pS γοῦν om. B θαυμάτων P$_1$ 33 ταῦτα BP$_1$U ταύτη M ταύτη τοι pS ὁ αὐτὸσ MpS 34 μὲν om. P$_1$ 35 ἄφραστοσ MpS ἐπεὶ MpS

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 9/9/15 7:57 AM

Hebr. 2, 9 ἴδιον αὐτοῦ σῶμα χάριτι θεοῦ, καθά φησιν ὁ Παῦλος, ὑπὲρ παντὸς ἐγεύσατο θανάτου, λέγεται παθεῖν αὐτὸς τὸν ὑπὲρ ἡμῶν θάνατον, οὐχ ὡς εἰς πεῖραν ἐλθὼν τοῦ θανάτου τό γε ἦκον εἰς τὴν αὐτοῦ φύσιν (ἀποπληξία γὰρ τοῦτο λέγειν ἢ φρονεῖν), ἀλλ' ὅτι, καθάπερ ἔφην ἀρτίως, ἡ σὰρξ αὐτοῦ ἐγεύσατο θανάτου. οὕτω καὶ ἐγηγερμένης αὐτοῦ τῆς σαρκὸς πάλιν ἡ ἀνάστασις αὐτοῦ λέγεται, οὐχ ὡς πεσόντος εἰς φθοράν, μὴ γένοιτο, ἀλλ' ὅτι τὸ αὐτοῦ πάλιν ἐγήγερται σῶμα. οὕτω Χριστὸν ἕνα καὶ κύριον ὁμολογήσομεν, οὐχ ὡς ἄνθρωπον συμπροσκυνοῦντες τῶι λόγωι, ἵνα μὴ τομῆς φαντασία παρεισκρίνηται διὰ τοῦ λέγειν τὸ σύν, ἀλλ' ὡς ἕνα καὶ τὸν αὐτὸν προσκυνοῦντες, ὅτι μὴ ἀλλότριον τοῦ λόγου τὸ σῶμα αὐτοῦ, μεθ' οὗ καὶ αὐτὸς συνεδρεύει τῶι πατρί, οὐχ ὡς δύο πάλιν συνεδρευόντων υἱῶν, ἀλλ' ὡς ἑνὸς καθ' ἕνωσιν μετὰ τῆς σαρκός. ἐὰν δὲ τὴν καθ' ὑπόστασιν ἕνωσιν ἢ ὡς ἀνέφικτον ἢ ὡς ἀκαλλῆ παραιτώμεθα, ἐμπίπτομεν εἰς τὸ λέγειν δύο υἱούς· ἀνάγκη γὰρ πᾶσα διορίσαι καὶ εἰπεῖν τὸν μὲν ἄνθρωπον ἰδικῶς τῆι τοῦ υἱοῦ κλήσει τετιμημένον, ἰδικῶς δὲ πάλιν τὸν ἐκ θεοῦ λόγον υἱότητος ὄνομά τε καὶ χρῆμα ἔχοντα φυσικῶς. οὐ διαιρετέον τοιγαροῦν εἰς υἱοὺς δύο τὸν ἕνα κύριον Ἰησοῦν Χριστόν. ὀνήσει δὲ κατ' οὐδένα τρόπον τὸν ὀρθὸν τῆς πίστεως λόγον εἰς τὸ οὕτως ἔχειν, κἂν εἰ προσώπων ἕνωσιν ἐπιφημίζωσί τινες. οὐ γὰρ εἴρηκεν ἡ γραφὴ ὅτι ὁ λόγος ἀνθρώπου
Ioh. 1, 14 πρόσωπον ἥνωσεν ἑαυτῶι, ἀλλ' ὅτι γέγονεν σάρξ. τὸ δὲ σάρκα γενέσθαι τὸν λόγον
Hebr. 2, 14 οὐδὲν ἕτερόν ἐστιν εἰ μὴ ὅτι παραπλησίως ἡμῖν μετέσχεν αἵματος καὶ σαρκὸς ἴδιόν τε σῶμα τὸ ἡμῶν ἐποιήσατο καὶ προῆλθεν ἄνθρωπος ἐκ γυναικός, οὐκ ἀποβεβληκὼς τὸ εἶναι θεὸς καὶ τὸ ἐκ θεοῦ γεννηθῆναι πατρός, ἀλλὰ καὶ ἐν προσλήψει σαρκὸς μεμενηκὼς ὅπερ ἦν. τοῦτο πρεσβεύει πανταχοῦ τῆς ἀκριβοῦς πίστεως ὁ λόγος· οὕτως εὑρήσομεν τοὺς ἁγίους πεφρονηκότας πατέρας· οὕτω τεθαρρήκασιν θεοτόκον εἰπεῖν τὴν ἁγίαν παρθένον, οὐχ ὡς τῆς τοῦ λόγου φύσεως ἤτοι τῆς θεότητος αὐτοῦ ἀρχὴν τοῦ εἶναι λαβούσης ἐκ τῆς ἁγίας παρθένου, ἀλλ' ὡς γεννηθέντος ἐξ αὐτῆς τοῦ ἁγίου σώματος ψυχωθέντος λογικῶς,
L IIII 164 ὧι καὶ καθ' ὑπόστασιν ἑνωθεὶς ὁ λόγος γεννηθῆναι λέγεται κατὰ σάρκα. ταῦτα καὶ νῦν ἐξ ἀγάπης τῆς ἐν Χριστῶι γράφω, παρακαλῶν ὡς ἀδελφὸν καὶ διαμαρτυρόμενος ἐνώπιον τοῦ Χριστοῦ καὶ τῶν ἐκλεκτῶν ἀγγέλων ταῦτα μεθ' ἡμῶν καὶ φρονεῖν καὶ διδάσκειν, ἵνα σώιζηται τῶν ἐκκλησιῶν ἡ εἰρήνη καὶ τῆς ὁμονοίας καὶ ἀγάπης ὁ σύνδεσμος ἀρραγὴς διαμένηι τοῖς ἱερεῦσιν τοῦ θεοῦ.

241 Κύριλλος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Ἤκουσεν ἡ ἁγία καὶ μεγάλη σύνοδος
M VI 665 αὕτη ὧν ἐπέστειλα τῶι εὐλαβεστάτωι Νεστορίωι συναγορεύων τῆι ὀρθῆι πίστει. διάκειμαι δὲ ὅτι κατ' οὐδένα τρόπον ἐκβεβηκὼς ἁλίσκομαι τὸν ὀρθὸν τῆς πίστεως λόγον ἢ γοῦν παραβεβηκὼς τὸ ἐκτεθὲν παρὰ τῆς ἁγίας καὶ μεγάλης συνόδου τῆς κατὰ καιροὺς ἐν τῆι Νικάεων συνειλεγμένης σύμβολον, καὶ παρακαλῶ τὴν ὑμετέραν ὁσιότητα εἰπεῖν πό-

---

241—244 = t. I 1, 2 p. 13, 19—14, 12

30 τῆσ ἐν ἐφέσω α̅ [πρώτησ Bmg] συνόδου MmgBmg post εἶπεν inscr. τὰ ἐν ἐφέσω πραχθέντα ἐπὶ κυρίλλου ἀναγινώσκεται ἐν κωνσταντινουπόλει ἐπὶ φλαβιανοῦ MPS

MB, p [— 22 πεφρονηκότας], P [inde a 22 πατέρας], S, P$_1$U [—29], Φ

2 αὐτὸς — θάνατον] αὐτὸν ὑπὲρ ἡμῶν pS ἐλθόντα pS 4 ἡ σὰρξ ἡ MpS 6/7 ὁμολογήσομεν MSP$_1$U 7 τὸν λόγον MpS τομῆσ φαντασία BP$_1$U τοῦτο εἰσ φάντασμα MpS 8 τὸ U τοῦτο p 9 αὐτὸσ MpSBP$_1$ unus codex Φ^c (I) τὸ σῶμα αὐτὸσ U αὐτῶι Φ^r om. Φ^a et unus codex Φ^c (I) Φ^{ac}(II) 11 παραιτούμεθα MP$_1$, corr. M 11/12 δύο λέγειν P$_1$U 14 δύο υἱοὺσ P$_1$ 15 εἰ] εἰσ P$_1$U 16 γραφὴ φασὶν U 18 τε BP$_1$UΦ^r (II) δὲ MpSΦ (I) om. Φ^{ac} (II) 20 γεγεννῆσθαι P$_1$ 21 εὑρήσωμεν M 24 γεννηθέντα P$_1$ 26 εἰσ χ̅ν̅ PS γράφων παρακαλῶ BP$_1$U διαμαρτύρομαι BP$_1$ 29 τοῦ om. U 30 ἐπήκουσεν B 31 ἀπέστειλα S 34 παρακαλῶν PS

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 9/9/15 7:57 AM

τερον ὀρθῶς καὶ ἀνεπιλήπτως καὶ συμφώνως τῇι ἁγίαι ἐκείνηι συνόδωι τὰ τοιαῦτα γεγράφηκα ἢ μή.

242 Ἰουβενάλιος ἐπίσκοπος Ἱεροσολύμων εἶπεν· Ἀναγνωσθείσης τῆς ἐκτεθείσης ἁγίας πίστεως τῆς ἐν Νικαίαι καὶ τῆς ἐπιστολῆς τοῦ ἁγιωτάτου καὶ ὁσιωτάτου ἐπισκόπου Κυρίλλου, καὶ τὰ παρὰ τῆς ἁγίας συνόδου ἐκτεθέντα σύμφωνα εὑρηνται καὶ τούτοις τοῖς εὐσεβέσιν δόγμασιν συντίθεμαι καὶ συναινῶ.

243 Φίρμος ἐπίσκοπος Καισαρείας Καππαδοκίας εἶπεν· Τὰ συντόμως καὶ ἐν κεφαλαίωι εἰρημένα παρὰ τῆς ἁγιωτάτης συνόδου τῆς ἐν Νικαίαι ἐξηγησαμένη ἡ σὴ θεοσέβεια λεπτῶς καὶ περὶ πόδα σαφεστέραν ἡμῖν καὶ ἐναργεστέραν τὴν ἀποκάλυψιν τῆς ἐκτεθείσης πίστεως ἐποιήσατο, ὥστε μηδὲν εἶναι ἐν τοῖς λεγομένοις ἀμφίβολον πάντων ἀλλήλοις συμφωνούντων καὶ τῆς πίστεως βεβαιουμένης. τούτων οὖν ἀκριβῶς ἐχόντων καὶ ἀπαρατρέπτως καὶ οὐδένα νεωτερισμὸν ἐπιφερομένων κἀγὼ συντίθεμαι, τὴν αὐτὴν δόξαν παρὰ τῶν ἁγίων ἐπισκόπων τῶν ἐμῶν πατέρων δεξάμενος.

244 Μέμνων ἐπίσκοπος Ἐφεσίων μητροπόλεως εἶπεν· Τῇι πίστει τῇι ἐκτεθείσηι παρὰ τῶν ἁγίων πατέρων τῶν τριακοσίων δεκαοκτὼ τῶν ἐν Νικαίαι συνελθόντων σύμφωνα καὶ ἡ ἐπιστολὴ ἡ ἀναγνωσθεῖσα τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου πατρὸς καὶ ἐπισκόπου Κυρίλλου περιέχει· οἷς καὶ συντιθέμεθα καὶ συναινοῦμεν μηδὲν ἐλλιπὲς εὑρίσκοντες μηδὲ διαφωνοῦν.

245 Διελάλησεν δὲ τὰ αὐτὰ καὶ πᾶσα ἡ ἁγία καὶ μεγάλη σύνοδος.

Ἐπιστολὴ γραφεῖσα τῶι θεοφιλεστάτωι ἐπισκόπωι Ἀντιοχείας Ἰωάννηι παρὰ τοῦ ὁσιωτάτου ἐπισκόπου Ἀλεξανδρείας Κυρίλλου περὶ τῆς εἰρήνης

246 Εὐφραινέσθωσαν οἱ οὐρανοὶ καὶ ἀγαλλιάσθω ἡ γῆ· λέλυται γὰρ τὸ μεσότοιχον τοῦ φραγμοῦ καὶ πέπαυται τὸ λυποῦν καὶ διχονοίας ἁπάσης ἀνήιρηται τρόπος, τοῦ πάντων ἡμῶν σωτῆρος Χριστοῦ ταῖς ἑαυτοῦ ἐκκλησίαις τὴν εἰρήνην βραβεύοντος, κεκληκότων δὲ πρὸς τοῦτο ἡμᾶς καὶ τῶν εὐσεβεστάτων καὶ θεοφιλεστάτων βασιλέων, οἳ προγονικῆς εὐσεβείας ἄριστοι ζηλωταὶ γεγονότες ἀσφαλῆ μὲν καὶ ἀκατάσειστον ἐν ἰδίαις ψυχαῖς τὴν ὀρθὴν φυλάττουσιν πίστιν, ἐξαίρετον δὲ ποιοῦνται φροντίδα τὴν ὑπὲρ τῶν ἁγίων ἐκκλησιῶν, ἵνα διαβόητον ἔχωσιν εἰς αἰῶνα τὴν δόξαν καὶ εὐκλεεστάτην ἀποφήνωσιν τὴν ἑαυτῶν βασιλείαν, οἷς καὶ αὐτὸς ὁ τῶν δυνάμεων κύριος πλουσίαι χειρὶ διανέμει τὰ ἀγαθὰ καὶ δίδωσιν μὲν κατακρατεῖν τῶν ἀνθεστηκότων, Ps. 95. 11 Eph. 2, 14 M VI 668 L IIII 165

246 = t. I 1, 4 p. 15, 23—20, 13, ubi ceteras uersiones enumeraui. uariam illius exemplaris lectionem hic non repeto. epistula iterum lecta est in actione tertia; plenam eam hic exhibet M, initium tantum illic, B uice uersa, hoc loco post inscriptionem et initium [usque ad 23 τὸ λυποῦν] pergendo καὶ αὕτη μὲν ἡ ἀρχὴ τῆσ ἐπιστολῆσ τὰ δὲ λοιπὰ ἀνάγνωθι ἐν τῇ τρίτη εὑρίσκων κείμενα πράξει μετὰ τετράδιον ἐν τῆσ ἀρχῆσ τῆσ πράξεωσ μετὰ δὲ τὸ ἀναγνωσθῆναι αὐτὴν πρόσχεσ αὖθισ τῇ ἐνταῦθα ἀκολουθίᾳ· καὶ ἐν τῶ ἀναγνωσθῆναι [p. 111, 9]. ad actionem tertiam pertinent P₁U

MBP. S, P₁U [inde a 22], Φ

1 ἐκείνηι om. S 1/2 γεγράφαμεν B 2 ἢ μὴ MΦ ὑμῖν BPS 3 ἐκτεθείσης om. B 5 καὶ¹] ταῦτα καὶ B ηὕρηται MPS 9 περὶ πόδα MPS παρὰ πόδασ M^corr B ἐνεργεστέραν Φ ἀποκάλυψιν MPSΦ κατάληψιν B [= Gesta Eph.] 10 ἐποιήσατο B [= Gesta Eph.] ἐποίησεν M ἐποιήσαμεν PS 12 μηδένα B 14 τῆσ ἐφεσίων B 15 ἁγιωτάτων B τῶν³ — δεκαοκτὼ om. MPS 16 ἡ² om. PS θεοσεβεστάτου B 16/17 κυρίλλου τοῦ ἐπισκόπου B [= Gesta Eph.] 19 διελάλησεν — σύνοδος] θεόδοτοσ ἐπίσκοποσ ἀγκύρασ φλαυιανὸσ ἐπίσκοποσ φιλίππων καὶ οἱ λοιποὶ πάντεσ οἱ τῆσ αὐτῆσ ἁγίασ συνόδου συνήνεσαν καὶ κατέθεντο B 20 θεοσεβεστάτῳ B 21 κυρίλλου ἀρχιεπισκόπου ἀλεξανδρείασ B περὶ — εἰρήνης om. B τῆς om. PS 22 praem. κυρίῳ μου ἀγαπητῷ ἀδελφῷ καὶ συλλειτουργῷ ἰωάννῃ κύριλλοσ ἐν κῷ χαίρειν B utroque loco, P₁UΦ² (I) Φ (II) 25 κεκληκότεσ P₁ καὶ θεοφιλεστάτων om. S 27 τὴν ὀρθὴν ἐν ἰδίαισ ψυχαῖς MPS ὀρθὴν] αὐτῶν P₁ 28 ἁγίων om. S ἵνα καὶ BP.U 29 αὐτῶν U χ̄σ̄ κ̄σ̄ MPS

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 9/9/15 7:57 AM

1 Reg. 2, 30 χαρίζεται δὲ τὸ νικᾶν. οὐ γὰρ ἂν διαψεύσαιτο λέγων ζῶ ἐγώ, λέγει κύριος, ὅτι τοὺς δοξάζοντάς με δοξάσω. ἀφικομένου τοίνυν εἰς τὴν Ἀλεξάνδρειαν τοῦ κυρίου μου τοῦ θεοφιλεστάτου ⟨καὶ⟩ συλλειτουργοῦ ἀδελφοῦ Παύλου, θυμηδίας ἐμπεπλήσμεθα, καὶ σφόδρα εἰκότως ὡς ἀνδρὸς τοιούτου μεσιτεύοντος καὶ τοῖς ὑπὲρ δύναμιν πόνοις ἑλομένου προσομιλεῖν, ἵνα τὸν τοῦ διαβόλου νικήσηι φθόνον καὶ συνάψηι τὰ διηιρημένα καὶ τὰ μεταξὺ διερριμμένα σκάνδαλα περιελὼν ὁμονοίαι καὶ εἰρήνηι στεφανώσηι τάς τε παρ' ἡμῖν καὶ παρ' ὑμῖν ἐκκλησίας. τίνα μὲν γὰρ διήιρηνται τρόπον, περιττὸν εἰπεῖν· χρῆναι δὲ μᾶλλον ὑπολαμβάνω τὰ τῶι τῆς εἰρήνης πρέποντα καιρῶι καὶ φρονεῖν καὶ λαλεῖν. ἥσθημεν τοίνυν ἐπὶ τῆι συντυχίαι τοῦ μνημονευθέντος θεοσεβεστάτου ἀνδρός, ὃς τάχα που καὶ ἀγῶνας ἔξειν οὐ μικροὺς ὑπενόησεν ἀναπείθων ἡμᾶς ὅτι χρὴ συνάψαι πρὸς εἰρήνην τὰς ἐκκλησίας καὶ τὸν τῶν ἑτεροδόξων ἀφανίσαι γέλωτα ἀπαμβλῦναί τε πρὸς τούτωι τῆς τοῦ διαβόλου δυστροπίας τὸ κέντρον, ἑτοίμως δὲ οὕτως ἔχοντας εἰς τοῦτο κατέλαβεν, ὡς μηδένα πόνον ὑποστῆναι παντελῶς. μεμνήμεθα γὰρ τοῦ σωτῆρος
Ioh. 14, 27 λέγοντος εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν, εἰρήνην τὴν ἐμὴν ἀφίημι ὑμῖν,
Ioh. 26, 12 δεδιδάγμεθα δὲ καὶ λέγειν ἐν προσευχαῖς κύριε ὁ θεὸς ἡμῶν, εἰρήνην δὸς ἡμῖν, πάντα γὰρ ἀπέδωκας ἡμῖν, ὥστε εἴ τις ἐν μεθέξει γένοιτο τῆς παρὰ θεοῦ χορηγουμένης εἰρήνης, ἀνενδεὴς ἔσται παντὸς ἀγαθοῦ. ὅτι δὲ περιττὴ παντελῶς καὶ οὐκ εὐάφορμος τῶν ἐκκλησιῶν ἡ διχοστασία γέγονεν, νυνὶ μάλιστα πεπληροφορήμεθα, τοῦ κυρίου μου τοῦ θεοφιλεστάτου Παύλου τοῦ ἐπισκόπου χάρτην προκομίσαντος ἀδιάβλητον ἔχοντα τῆς πίστεως τὴν ὁμολογίαν καὶ ταύτην συντετάχθαι διαβεβαιουμένου παρά τε τῆς σῆς ὁσιότητος καὶ τῶν αὐτόθι θεοφιλεστάτων ἐπισκόπων. ἔχει δὲ οὕτως ἡ συγγραφὴ καὶ αὐταῖς λέξεσιν ἐντέθειται τῆιδε ἡμῶν τῆι ἐπιστολῆι

Περὶ δὲ τῆς θεοτόκου παρθένου ὅπως καὶ φρονοῦμεν καὶ λέγομεν, τοῦ τε τρόπου τῆς ἐνανθρωπήσεως τοῦ μονογενοῦς υἱοῦ τοῦ θεοῦ, ἀναγκαίως οὐκ ἐν προσθήκης μέρει, ἀλλ' ἐν πληροφορίας εἴδει, ὡς ἄνωθεν ἔκ τε τῶν θείων γραφῶν ἔκ τε τῆς παραδόσεως τῶν ἁγίων πατέρων παρειληφότες ἐσχήκαμεν, διὰ βραχέων ἐροῦμεν, οὐδὲν τὸ σύνολον προστιθέντες τῆι τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίαι ἐκτεθείσηι πίστει. ὡς γὰρ ἔφθημεν εἰρηκότες, πρὸς πᾶσαν ἐξαρκεῖ καὶ εὐσεβείας γνῶσιν καὶ πάσης αἱρετικῆς κακοδοξίας ἀποκήρυξιν. ἐροῦμεν δὲ οὐ κατατολμῶντες τῶν ἀνεφίκτων, ἀλλὰ τῆι ὁμολογίαι τῆς οἰκείας ἀσθενείας ἀποκλείοντες τοῖς ἐπιφύεσθαι βουλομένοις ἐν οἷς τὰ ὑπὲρ ἄνθρωπον
L IIII 168 M VI 669 διασκεπτόμεθα. ὁμολογοῦμεν τοιγαροῦν τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν, τὸν υἱὸν τοῦ θεοῦ τὸν μονογενῆ, θεὸν τέλειον καὶ ἄνθρωπον τέλειον ἐκ ψυχῆς λογικῆς καὶ σώματος, πρὸ αἰώνων μὲν ἐκ τοῦ πατρὸς γεννηθέντα κατὰ τὴν θεότητα, ἐπ' ἐσχάτου δὲ τῶν ἡμερῶν τὸν αὐτὸν δι' ἡμᾶς καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν ἐκ Μαρίας τῆς παρθένου

31—109, 5 leguntur infra 476

31 ὁμολογία τῶν τῆσ ἀνατολῆσ ἐπισκόπων M^{mg}

MBPSP$_1$UΦ

1 ἂν om. U διαψεύσαιτο scripsi cf. Gesta Eph. διαψεύσηται MPS διεψεύσατο BP$_1$U λέγων ὅτι MPS 2 δοξάσαντάσ MPS 3 τοῦ θεοσεβεστάτου P$_1$ om. S καὶ συλλειτουργοῦ ἀδελφοῦ Φ^r (I) συλλειτουργοῦ ἀδελφοῦ MP συλλειτουργοῦ καὶ ἀδελφοῦ Φ^{ac}, Φ^r (II) ἀδελφοῦ καὶ συλλειτουργοῦ BSP$_1$U 5 τὰ^2 om. U 7 ἡμῶν MPS καὶ τὰσ BP$_1$ ἐκκλησίασ καὶ παρ' ὑμῖν U τίνι — τρόπω S μὲν om. PS διήρηντο BP$_1$U 8 μᾶλλον om. MPS ὑπολαμβάνειν P$_1$ τῆς om. P$_1$ 9 ἐπὶ om. MPS θεοσεβεστάτου om. S 10 ὡσ MPSBP$_1$, corr. M οὐ μικροὺς] μακροὺσ BU 11 τῶν om. PS ἀπαμβλῦναί τε] ἀπαμβλύνεται MS, corr. M 12 τοῦτο MS ἐπὶ MPS 13 μήδὲ BP$_1$U 15 δεδικαιώμεθα MPS διδασκόμεθα M^{corr} καὶ om. S κσ̄ B 16 θεοῦ] χῡ̄ P$_1$U 18 εὔφορμοσ P$_1$ ἡ τῶν ἐκκλησιῶν MPS 19 μου om. U τοῦ εὐσεβεστάτου MP om. S προσκομίσαντοσ PS προκομίσαντα P$_1$ 22 τῆ ἡμῶν U 26 προειληφότεσ P$_1$ 27 τῶν^2] τῆ BP$_1$U 29 καὶ τῆσ U 33 ἐσχάτου MPS ἐσχάτων M^{corr}BP$_1$U 34 διὰ om. P$_1$ ἀειπαρθένου S

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 9/9/15 7:57 AM

κατὰ τὴν ἀνθρωπότητα, ὁμοούσιον τῶι πατρὶ τὸν αὐτὸν κατὰ τὴν θεότητα καὶ ὁμοούσιον ἡμῖν κατὰ τὴν ἀνθρωπότητα. δύο γὰρ φύσεων ἕνωσις γέγονεν· δι' ὃ ἕνα Χριστόν, ἕνα υἱόν, ἕνα κύριον ὁμολογοῦμεν. κατὰ ταύτην τὴν τῆς ἀσυγχύτου ἑνώσεως ἔννοιαν ὁμολογοῦμεν τὴν ἁγίαν παρθένον θεοτόκον διὰ τὸ τὸν θεὸν λόγον σαρκωθῆναι καὶ ἐνανθρωπῆσαι καὶ ἐξ αὐτῆς τῆς συλλήψεως ἑνῶσαι ἑαυτῶι τὸν ἐξ αὐτῆς ληφθέντα ναόν. τὰς δὲ εὐαγγελικὰς καὶ ἀποστολικὰς περὶ τοῦ κυρίου φωνὰς ἴσμεν τοὺς θεολόγους ἄνδρας τὰς μὲν κοινοποιοῦντας ὡς ἐφ' ἑνὸς προσώπου, τὰς δὲ διαιροῦντας ὡς ἐπὶ δύο φύσεων καὶ τὰς μὲν θεοπρεπεῖς κατὰ τὴν θεότητα τοῦ Χριστοῦ, τὰς δὲ ταπεινὰς κατὰ τὴν ἀνθρωπότητα αὐτοῦ παραδιδόντας.

Ταύταις ὑμῶν ἐντυχόντες ταῖς ἱεραῖς φωναῖς οὕτω τε καὶ ἑαυτοὺς φρονοῦντας εὑρίσκοντες (εἷς γὰρ κύριος, μία πίστις, ἓν βάπτισμα) ἐδοξάσαμεν τὸν τῶν ὅλων Eph. 4, 5 σωτῆρα θεόν, ἀλλήλοις συγχαίροντες ὅτι ταῖς θεοπνεύστοις γραφαῖς καὶ τῆι παραδόσει τῶν ἁγίων ἡμῶν πατέρων συμβαίνουσαν ἔχουσιν πίστιν αἵ τε παρ' ἡμῖν καὶ παρ' ὑμῖν ἐκκλησίαι. ἐπειδὴ δὲ ἐπυθόμην τῶν φιλοψογεῖν εἰωθότων τινὰς σφηκῶν ἀγρίων δίκην περιβομβεῖν καὶ μοχθηροὺς ἐρεύγεσθαι κατ' ἐμοῦ λόγους ὡς ἐξ οὐρανοῦ κατακομισθὲν καὶ οὐκ ἐκ τῆς ἁγίας παρθένου λέγοντος τὸ ἅγιον σῶμα Χριστοῦ, δεῖν ὠιήθην ὀλίγα περὶ τούτου πρὸς αὐτοὺς εἰπεῖν. ὦ ἀνόητοι καὶ μόνον εἰδότες τὸ συκοφαντεῖν, πῶς εἰς τοῦτο παρηνέχθητε γνώμης καὶ τοσαύτην νενοσήκατε τὴν μωρίαν; ἔδει γὰρ ἔδει σαφῶς ἐννοεῖν ὅτι σχεδὸν ἅπας ἡμῖν ὁ ὑπὲρ τῆς πίστεως ἀγὼν συγκεκρότηται διαβεβαιουμένοις ὅτι θεοτόκος ἐστὶν ἡ ἁγία παρθένος. ἀλλ' εἴπερ ἐξ οὐρανοῦ καὶ οὐκ ἐξ αὐτῆς τὸ ἅγιον σῶμα γεγεννῆσθαι φαμὲν τοῦ πάντων ἡμῶν σωτῆρος Χριστοῦ, πῶς ἂν ἔτι νοοῖτο θεοτόκος; τίνα γὰρ ὅλως τέτοκεν, εἰ μή ἐστιν ἀληθὲς ὅτι γεγέννηκεν κατὰ σάρκα τὸν Ἐμμανουήλ; γελάσθωσαν τοίνυν οἱ ταῦτα περὶ ἐμοῦ πεφλυαρηκότες. οὐ γὰρ ψεύδεται λέγων ὁ μακάριος προφήτης Ἡσαίας Ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ Ies. 7, 14 ἕξει καὶ τέξεται υἱὸν καὶ καλέσουσιν τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ, ὅ ἐστιν μεθερμηνευόμενον μεθ' ἡμῶν ὁ θεός. ἀληθεύει δὲ πάντως καὶ ὁ ἅγιος Γαβριὴλ πρὸς τὴν μακαρίαν παρθένον εἰπών· μὴ φοβοῦ, Μαριάμ· εὗρες γὰρ χάριν παρὰ Lc. 1, 30. 31 τῶι θεῶι, καὶ ἰδοὺ συλλήψηι ἐν γαστρὶ καὶ τέξηι υἱὸν καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν· αὐτὸς γὰρ σώσει τὸν λαὸν αὐτοῦ ἀπὸ τῶν ἁμαρτιῶν αὐτῶν. ὅταν δὲ λέγωμεν ἐξ οὐρανοῦ καὶ ἄνωθεν τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν, οὐχ ὡς ἄνωθεν καὶ ἐξ οὐρανοῦ κατενεχθείσης τῆς ἁγίας αὐτοῦ σαρκὸς τὰ τοιαῦτα φαμέν, ἑπόμενοι δὲ μᾶλλον τῶι θεσπεσίωι Παύλωι διακεκραγότι σαφῶς ὁ πρῶτος ἄν- 1 Cor. 15, 47 θρωπος ἐκ γῆς χοικός, ὁ δεύτερος ἄνθρωπος ὁ κύριος ἐξ οὐρανοῦ. με- L IIII 169 μνήμεθα δὲ καὶ αὐτοῦ τοῦ σωτῆρος λέγοντος οὐδεὶς ἀναβέβηκεν εἰς τὸν οὐρανὸν M VI 672 εἰ μὴ ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς, ὁ υἱὸς τοῦ ἀνθρώπου, καίτοι γεγέννηται Ioh. 3, 13 κατὰ σάρκα, καθάπερ ἔφην ἀρτίως, ἐκ τῆς ἁγίας παρθένου. ἐπειδὴ δὲ ὁ ἄνωθεν καὶ 36

MBPSP$_1$UΦ

1 τῶι] τε MP τε τῶ S τὸν αὐτὸν τῶ $\overline{\text{πρι}}$ U τὸν αὐτὸν om. PSΦ 2 ἡμῖν τὸν αὐτὸν P$_1$Φ^r (II) γὰρ om. MPS, corr. M ἐνώσεισ γεγόνασι U 3 κατ' αὐτὴν P$_1$ 5 συλληφθέντα U 6 παρὰ P$_1$ ἴσμεν] ἴστησι PS 10 τε om. U 13 ἡμῶν om. S 13/14 καὶ — ὑμῖν om. MPS, corr. M^{mg} 14 ἐπεὶ U φιλοψεγεῖν B 15 κατ' ἐμοῦ ἐρεύγεσθαι B 16 λέγοντασ PSP$_1$ 17 πρὸσ αὐτοὺσ περὶ τούτου P$_1$ 18 παρήχθητε U τὴν μωρίαν M^{corr}BU τιμωρίαν MP$_1$ μωρίαν PSP$_1^{corr}$ 19 περὶ MPS 20 ἐπείπερ BU 21 σῶμα αὐτοῦ B φαμὲν γεγεννῆσθαι P$_1$ γεγενῆσθαι φαμὲν BUPΦ cf. notam Rustici *ita* $\overline{GR}$ *natum, hoc est* ΓΕΓΕΝΝΗΣΘΑΙ *et non* ΓΕΓΕΝΗΣΘΑΙ $\overline{\text{ιυ}}$ $\overline{\text{χυ}}$ U 24 φάσκων ἡσαίασ ὁ προφήτησ S 26 ἅγιοσ om. S 27 μακαρίαν om. SU μαρία P 29 γὰρ om. M 30 αὐτοῦ BS 31 οὐχ om. PS τεχθείσησ S 32 θεσπεσίωι om. S 34 αὐτοῦ om. S οὐδεὶσ BP$_1$UΦ^{ac} Φ^r (II) καὶ οὐδεὶσ MPSΦ^r (I), cf. adnotationem Rustici $\overline{GR}$ *istud et in multis non est* 36 ἁγίας om. S ὁ om. MPS

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 9/9/15 7:57 AM

Phil. 2, 7 ἐξ οὐρανοῦ καταφοιτήσας θεὸς λόγος κεκένωκεν ἑαυτὸν μορφὴν δούλου λαβὼν καὶ κεχρημάτικεν υἱὸς ἀνθρώπου μετὰ τοῦ μεῖναι ὃ ἦν, τουτέστιν θεός (ἄτρεπτος γὰρ καὶ ἀναλλοίωτος κατὰ φύσιν ἐστίν), ὡς εἷς ἤδη νοούμενος μετὰ τῆς ἰδίας σαρκὸς ἐξ οὐρανοῦ λέγεται κατελθεῖν, ὠνόμασται δὲ καὶ ἄνθρωπος ἐξ οὐρανοῦ, τέλειος ὢν ἐν θεότητι καὶ τέλειος ὁ αὐτὸς ἐν ἀνθρωπότητι καὶ ὡς ἐν ἑνὶ προσώπωι νοούμενος. εἷς γὰρ κύριος Ἰησοῦς Χριστός, κἂν ἡ τῶν φύσεων μὴ ἀγνοῆται διαφορά, ἐξ ὧν τὴν ἀπόρρητον ἕνωσιν πεπρᾶχθαι φαμέν. τοὺς δὲ λέγοντας ὅτι κρᾶσις ἢ σύγχυσις ἢ φυρμὸς ἐγένετο τοῦ θεοῦ λόγου πρὸς τὴν σάρκα, καταξιωσάτω ἡ σὴ ὁσιότης ἐπιστομίζειν. εἰκὸς γὰρ τινὰς καὶ ταῦτα περὶ ἐμοῦ θρυλεῖν ὡς ἢ πεφρονηκότος ἢ εἰρηκότος, ἐγὼ δὲ τοσοῦτον ἀφέστηκα τοῦ φρο-
Iac. 1, 17 νῆσαί τι τοιοῦτον, ὥστε καὶ μαίνεσθαι νομίζω τοὺς οἰηθέντας ὅλως ὅτι τροπῆς ἀποσκίασμα περὶ τὴν τοῦ θεοῦ λόγου φύσιν συμβῆναι δύναται. μένει γὰρ ὅ ἐστιν, ἀεὶ καὶ οὐκ ἠλλοίωται, ἀλλ' οὐδ' ἂν ἀλλοιωθείη πώποτε καὶ μεταβολῆς ἔσται δεκτική. ἁπαθῆ δὲ πρὸς τούτωι τὸν τοῦ θεοῦ λόγον ὑπάρχειν ὁμολογοῦμεν ἅπαντες, κἂν εἰ πανσόφως αὐτὸς οἰκονομῶν τὸ μυστήριον ἑαυτῶι προσνέμων ὁρῶιτο τὰ τῆι ἰδίαι σαρκὶ συμβεβηκότα
1 Petr. 4, 1 πάθη. ταύτηι τοι καὶ ὁ πάνσοφος Πέτρος Χριστοῦ φησιν παθόντος ὑπὲρ ἡμῶν σαρκί, καὶ οὐχὶ τῆι φύσει τῆς ἀῤῥήτου θεότητος. ἵνα γὰρ αὐτὸς τῶν ὅλων σωτὴρ εἶναι πιστεύηται, κατ' οἰκείωσιν οἰκονομικὴν εἰς ἑαυτόν, ὡς ἔφην, τὰ τῆς ἰδίας σαρκὸς ἀναφέρει πάθη ὁποῖόν ἐστιν τὸ διὰ τῆς τοῦ προφήτου φωνῆς προαναφωνούμενον ὡς
Ies. 50, 6 ἐξ αὐτοῦ τὸν νῶτόν μου δέδωκα εἰς μάστιγας, τὰς δὲ σιαγόνας μου εἰς ῥαπίσματα, τὸ δὲ πρόσωπόν μου οὐκ ἀπέστρεψα ἀπὸ αἰσχύνης ἐμπτυσμάτων. ὅτι δὲ ταῖς τῶν ἁγίων πατέρων δόξαις ἑπόμεθα πανταχοῦ, μάλιστα δὲ ταῖς τοῦ μακαρίου καὶ πανευφήμου πατρὸς ἡμῶν Ἀθανασίου, τὸ κατά τι γοῦν ὅλως ἔξω φέρεσθαι παραιτούμενοι, πεπείσθω μὲν ἡ σὴ ὁσιότης, ἐνδοιαζέτω δὲ τῶν ἄλλων μηδείς. παρέθηκα δ' ἂν καὶ χρήσεις αὐτῶν πολλάς, τοὺς ἐμαυτοῦ λόγους ἐξ αὐτῶν πιστούμενος, εἰ μὴ τὸ μῆκος ἐδεδίειν τοῦ γράμματος, μὴ ἄρα πως γένηται διὰ τοῦτο προσκορές. κατ' οὐδένα δὲ τρόπον σαλεύεσθαι παρά τινων ἀνεχόμεθα τὴν ὁρισθεῖσαν πίστιν ἤτοι τὸ τῆς πίστεως σύμβολον παρὰ τῶν ἁγίων ἡμῶν πατέρων τῶν ἐν Νικαίαι συνελθόντων κατὰ καιροὺς οὔτε μὴν ἐπιτρέπομεν ἑαυτοῖς ἢ ἑτέροις ἢ λέξιν ἀμεῖψαι τῶν ἐγκειμένων ἐκεῖσε ἢ
Prou. 22, 28 μίαν γοῦν παραβῆναι συλλαβήν, μεμνημένοι τοῦ λέγοντος μὴ μέταιρε ὅρια αἰώνια, ἃ ἔθεντο οἱ πατέρες σου. οὐ γὰρ ἦσαν αὐτοὶ οἱ λαλοῦντες, ἀλλὰ τὸ πνεῦμα τοῦ θεοῦ καὶ πατρός, ὃ ἐκπορεύεται μὲν ἐξ αὐτοῦ, ἔστιν δὲ οὐκ ἀλλότριον τοῦ υἱοῦ κατὰ τὸν τῆς οὐσίας λόγον. καὶ πρός γε τοῦτο ἡμᾶς οἱ τῶν ἁγίων μυσταγωγῶν πιστοῦν-
Act. 16, 7 ται λόγοι. ἐν μὲν γὰρ ταῖς Πράξεσιν τῶν ἀποστόλων γέγραπται ἐλθόντες δὲ κατὰ τὴν Μυσίαν ἐπείραζον εἰς τὴν Βιθυνίαν πορευθῆναι, καὶ οὐκ εἴασεν
L IIII 172 αὐτοὺς τὸ πνεῦμα Ἰησοῦ. ἐπιστέλλει δὲ καὶ ὁ θεσπέσιος Παῦλος οἱ δὲ ἐν σαρ-
M VI 673 κὶ ὄντες θεῶι ἀρέσαι οὐ δύνανται· ὑμεῖς δὲ οὐκ ἐστὲ ἐν σαρκί, ἀλλ' ἐν
Rom. 8, 8. 9 πνεύματι, εἴπερ πνεῦμα θεοῦ οἰκεῖ ἐν ὑμῖν. εἰ δέ τις πνεῦμα Χριστοῦ οὐκ ἔχει, οὗτος οὐκ ἔστιν αὐτοῦ. ὅταν δὲ τινὲς τῶν τὰ ὀρθὰ διαστρέφειν εἰωθότων τὰς ἐμὰς παρατρέπωσιν φωνὰς εἰς τὸ αὐτοῖς δοκοῦν, μὴ θαυμαζέτω τοῦτο ἡ σὴ ὁσιότης,

---

MBPSP$_1$UΦ

1 ὁ θ̄ς̄ S 2 ἀνθρώπου om. B 3 καὶ κατὰ MPS κατὰ τὴν U ὡς om. BP$_1$ ἤδη] δη M, corr. M δὲ PSΦ 5 ἐν ἀνθρωπότητι ὁ [καὶ U] αὐτὸσ BU 6 μὴ ἀγνοεῖται M μία νοῆται [νοεῖται S]PS 9 θρυλλεῖν MBPSP$_1$, corr. M πεφλυαρηκότος Φ^r (I) 11 τοῦ θ̄ῡ̄ MPSΦ θείαν τοῦ BP$_1$U οὐ δύναται P$_1$ 12 ἀλλοιωθῆναι MPS 13 ὁμολογοῦμεν ὑπάρχειν P$_1$ ἅπαντα P$_1$ 14 τῆι om. MPS 15 πάνσοφος] ἀπόστολοσ S χ̄ῡ̄ οὖν BP$_1$UΦ^r (II) 16 ἀπορρήτου U αὐτοῦ S ὁ τῶν BP$_1$U 20 ἀπεστράφη S 20/21 ἐπαιγμάτων S 22 πανευφήμου καὶ μακαρίου U 26 παρὰ in πρὸς corr. M τινοσ B ἀνεχόμεθα om. MPS, corr. M 27 νικαίᾳ καὶ τῶν P$_1$ 28 ἐκείνοισ P$_1$ 29 μετάβαινε SΦ 30 ἀλλ' αὐτὸ τὸ MPS 32 τούτω P$_1$ 35 Ἰησοῦ] τοῦ θ̄ῡ̄ P$_1$ μακάριοσ BP$_1$U 38 στρέφειν U εἰδότων B εἰωθότων δόγματα P 39 τοῦτο om. U

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 9/9/15 7:57 AM

εἰδυῖα ὅτι καὶ οἱ ἀπὸ πάσης αἱρέσεως ἐκ τῆς θεοπνεύστου γραφῆς τὰς τῆς ἑαυτῶν πλάνης συλλέγουσιν ἀφορμάς, τὰ διὰ τοῦ ἁγίου πνεύματος ὀρθῶς εἰρημένα ταῖς ἑαυτῶν κακονοίαις παραφθείροντες καὶ ταῖς ἰδίαις ἑαυτῶν κεφαλαῖς τὴν ἄσβεστον ἐπαντλοῦντες φλόγα. ἐπειδὴ δὲ μεμαθήκαμεν ὅτι καὶ τὴν πρὸς τὸν μακάριον Ἐπίκτητον ἐπιστολὴν τοῦ πανευφήμου πατρὸς ἡμῶν Ἀθανασίου ὀρθοδόξως ἔχουσαν παραφθείραντές τινες ἐκδεδώκασιν, ὡς ἐντεῦθεν ἀδικεῖσθαι πολλούς, διὰ τοῦτο χρήσιμόν τι καὶ ἀναγκαῖον ἐπινοοῦντες τοῖς ἀδελφοῖς ἐξ ἀντιγράφων ἀρχαίων τῶν παρ' ἡμῖν καὶ ἁπλανῶς ἐχόντων ἀπεστείλαμεν τὰ ἴσα τῇ σῇ ὁσιότητι.

247 Καὶ ἐν τῷ ἀναγινώσκεσθαι οἱ εὐλαβέστατοι ἐπίσκοποι οἱ Ἰλλυρικιανοὶ ἐβόησαν· Οὕτως πιστεύομεν ὡς Κύριλλος. Κυρίλλου αἰωνία ἡ μνήμη.

248 Θεοδώρητος ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· Ἀνάθεμα τῷ λέγοντι δύο υἱούς· ἕνα γὰρ υἱὸν προσκυνοῦμεν, τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὸν μονογενῆ.

249 Πάντες οἱ εὐλαβέστατοι ἐπίσκοποι ἐβόησαν· Ἡμεῖς ὡς Κύριλλος πιστεύομεν. οὕτως ἐπιστεύσαμεν, οὕτως πιστεύομεν. ἀνάθεμα τῷ μὴ οὕτως πιστεύοντι.

250 Οἱ Ἀνατολικοὶ καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκοποι ἐβόησαν· Φλαβιανὸς οὕτως ἐπίστευεν· Φλαβιανὸς ταῦτα ἐξεδίκει· διὰ ταῦτα Φλαβιανὸς καθηιρέθη. Εὐσέβιος Νεστόριον καθεῖλεν. τὴν πίστιν Διόσκορος παρέτρωσεν.

251 Οἱ Αἰγύπτιοι καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκοποι ἐξεβόησαν· Ὁ θεὸς Νεστόριον καθεῖλεν.

252 Οἱ Ἀνατολικοὶ καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκοποι ἐβόησαν· Λέων οὕτως φρονεῖ. Λέων οὕτως πιστεύει. Ἀνατόλιος οὕτως φρονεῖ.

253 Οἱ Αἰγύπτιοι καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκοποι ἐβόησαν· Πάντες οὕτως ⟨πιστεύομεν. πάντες οὕτως⟩ φρονοῦμεν. ὁ σατανᾶς τόπον μὴ σχῇι. ὁ σατανᾶς χώραν μὴ σχῇι.

254 Οἱ Ἀνατολικοὶ καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκοποι ἐξεβόησαν· Καὶ ὁ βασιλεὺς καὶ ἡ σύγκλητος καὶ πάντες οὕτως φρονοῦσιν.

255 Οἱ ἐνδοξότατοι ἄρχοντες καὶ ἡ ὑπερφυὴς σύγκλητος καὶ πᾶσα ἡ ἁγία σύνοδος τῶν εὐλαβεστάτων ἐπισκόπων ἐβόησαν· Ὁ βασιλεὺς οὕτως φρονεῖ· ἡ αὐγούστα οὕτως φρονεῖ· πάντες οὕτως φρονοῦμεν.

256 Οἱ Αἰγύπτιοι καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκοποι ἐβόησαν· Οὕτω φρονεῖ ὅλος ὁ κόσμος. τὰ τῶν πατέρων καλῶς ἔχει.

257 Οἱ Ἀνατολικοὶ καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκοποι ἐβόησαν· Τὸν φονέα Φλαβιανοῦ ἔξω βάλε. τὸν πατραλοίαν ἔξω βάλε. M VI 676

258 Οἱ Αἰγύπτιοι καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκοποι ἐξεβόησαν· Πάντες οὕτω πιστεύομεν. πολλὰ τὰ ἔτη τῆς συγκλήτου· πολλὰ τὰ ἔτη τῶν βασιλέων· πολλὰ τὰ ἔτη

9 ἐν χαλκηδόνι M^{mg} τῆσ ἐν χαλκηδόνι συνόδου B^{mg}

MBPS, P_1 [usque ad 6 χρήσιμον], U [usque ad 8], Φ

2 διὰ in ras. M ἅμα PS 3 αὐτῶν S om. BP$_1$U ἀπαντλοῦντεσ P_1 4 ἐπεὶ BP$_1$U 4/5 πανευφήμου om. S 7 καὶ om. BΦ^{ac}, Φ^r (II) ἁπλῶσ MU, corr. M in fine add. ἐρρωμένον σε καὶ ὑπερευχόμενον ἡμῶν ὁ κσ διαφυλάξει τιμιώτατε ἀδελφέ BUΦ^r (II), cf. notam Rustici: *GR non habent, unus habet adiectum*

9 ἀναγνωσθῆναι B οἱ τοῦ Ἰλλυρικοῦ ἐπίσκοποι S οἱ om. B Ἰλλυριοὶ B ἀνεβόησαν S 10 ὁ κύριλλοσ S ἡ om. M 11 θεοδώριτοσ BP^{corr} S 13 ἐξεβόησαν B 15 ἐξεβόησαν B 16 ἐπίστευσε B 20 ἐξεβόησαν B 21 φρονεῖ^2] πιστεύει S 22 ἐξεβόησαν B 23 πιστεύομεν — φρονοῦμεν Φ φρονοῦμεν MPS πιστεύομεν B 23/24 ὁ σατανᾶς χώραν — σχῇι om. B 26 καὶ πάντες om. S φρονοῦμεν B 27 ἁγία om. B 33 βάλλε M^{corr} βάλετε B βάλλε M^{corr} βάλετε B 34 ἐβόησαν S

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 9/9/15 7:57 AM

εἰδυῖα ὅτι καὶ οἱ ἀπὸ πάσης αἱρέσεως ἐκ τῆς θεοπνεύστου γραφῆς τὰς τῆς ἑαυτῶν πλάνης συλλέγουσιν ἀφορμάς, τὰ διὰ τοῦ ἁγίου πνεύματος ὀρθῶς εἰρημένα ταῖς ἑαυτῶν κακονοίαις παραφθείροντες καὶ ταῖς ἰδίαις ἑαυτῶν κεφαλαῖς τὴν ἄσβεστον ἐπαντλοῦντες φλόγα. ἐπειδὴ δὲ μεμαθήκαμεν ὅτι καὶ τὴν πρὸς τὸν μακάριον Ἐπίκτητον ἐπιστολὴν τοῦ πανευφήμου πατρὸς ἡμῶν Ἀθανασίου ὀρθοδόξως ἔχουσαν παραφθείραντές τινες ἐκδεδώκασιν, ὡς ἐντεῦθεν ἀδικεῖσθαι πολλούς, διὰ τοῦτο χρήσιμόν τι καὶ ἀναγκαῖον ἐπινοοῦντες τοῖς ἀδελφοῖς ἐξ ἀντιγράφων ἀρχαίων τῶν παρ' ἡμῖν καὶ ἁπλανῶς ἐχόντων ἀπεστείλαμεν τὰ ἴσα τῇ σῇ ὁσιότητι.

247 Καὶ ἐν τῷ ἀναγινώσκεσθαι οἱ εὐλαβέστατοι ἐπίσκοποι οἱ Ἰλλυρικιανοὶ ἐβόησαν· Οὕτως πιστεύομεν ὡς Κύριλλος. Κυρίλλου αἰωνία ἡ μνήμη.

248 Θεοδώρητος ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· Ἀνάθεμα τῷ λέγοντι δύο υἱούς· ἕνα γὰρ υἱὸν προσκυνοῦμεν, τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὸν μονογενῆ.

249 Πάντες οἱ εὐλαβέστατοι ἐπίσκοποι ἐβόησαν· Ἡμεῖς ὡς Κύριλλος πιστεύομεν. οὕτως ἐπιστεύσαμεν, οὕτως πιστεύομεν. ἀνάθεμα τῷ μὴ οὕτως πιστεύοντι.

250 Οἱ Ἀνατολικοὶ καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκοποι ἐβόησαν· Φλαβιανὸς οὕτως ἐπίστευεν· Φλαβιανὸς ταῦτα ἐξεδίκει· διὰ ταῦτα Φλαβιανὸς καθηιρέθη. Εὐσέβιος Νεστόριον καθεῖλεν. τὴν πίστιν Διόσκορος παρέτρωσεν.

251 Οἱ Αἰγύπτιοι καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκοποι ἐξεβόησαν· Ὁ θεὸς Νεστόριον καθεῖλεν.

252 Οἱ Ἀνατολικοὶ καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκοποι ἐβόησαν· Λέων οὕτως φρονεῖ. Λέων οὕτως πιστεύει. Ἀνατόλιος οὕτως φρονεῖ.

253 Οἱ Αἰγύπτιοι καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκοποι ἐβόησαν· Πάντες οὕτως ⟨πιστεύομεν. πάντες οὕτως⟩ φρονοῦμεν. ὁ σατανᾶς τόπον μὴ σχῇι. ὁ σατανᾶς χώραν μὴ σχῇι.

254 Οἱ Ἀνατολικοὶ καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκοποι ἐξεβόησαν· Καὶ ὁ βασιλεὺς καὶ ἡ σύγκλητος καὶ πάντες οὕτως φρονοῦσιν.

255 Οἱ ἐνδοξότατοι ἄρχοντες καὶ ἡ ὑπερφυὴς σύγκλητος καὶ πᾶσα ἡ ἁγία σύνοδος τῶν εὐλαβεστάτων ἐπισκόπων ἐβόησαν· Ὁ βασιλεὺς οὕτως φρονεῖ· ἡ αὐγούστα οὕτως φρονεῖ· πάντες οὕτως φρονοῦμεν.

256 Οἱ Αἰγύπτιοι καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκοποι ἐβόησαν· Οὕτω φρονεῖ ὅλος ὁ κόσμος. τὰ τῶν πατέρων καλῶς ἔχει.

257 Οἱ Ἀνατολικοὶ καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκοποι ἐβόησαν· Τὸν φονέα Φλαβιανοῦ ἔξω βάλε. τὸν πατραλοίαν ἔξω βάλε. M VI 676

258 Οἱ Αἰγύπτιοι καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκοποι ἐξεβόησαν· Πάντες οὕτω πιστεύομεν. πολλὰ τὰ ἔτη τῆς συγκλήτου· πολλὰ τὰ ἔτη τῶν βασιλέων· πολλὰ τὰ ἔτη

9 ἐν χαλκηδόνι M^{mg} τῆσ ἐν χαλκηδόνι συνόδου B^{mg}

MBPS, P_1 [usque ad 6 χρήσιμον], U [usque ad 8], Φ

2 διὰ in ras. M ἅμα PS 3 αὐτῶν S om. BP$_1$U ἀπαντλοῦντεσ P_1 4 ἐπεὶ BP$_1$U 4/5 πανευφήμου om. S 7 καὶ om. BΦ^{ac}, Φ^r (II) ἁπλῶσ MU, corr. M in fine add. ἐρρωμένον σε καὶ ὑπερευχόμενον ἡμῶν ὁ κ̄ς̄ διαφυλάξει τιμιώτατε ἀδελφέ BUΦ^r (II), cf. notam Rustici: *GR non habent, unus habet adiectum*

9 ἀναγνωσθῆναι B οἱ τοῦ Ἰλλυρικοῦ ἐπίσκοποι S οἱ om. B Ἰλλυριοὶ B ἀνεβόησαν S 10 ὁ κύριλλοσ S ἡ om. M 11 θεοδώριτοσ BP^{corr} S 13 ἐξεβόησαν B 15 ἐξεβόησαν B 16 ἐπίστευσε B 20 ἐξεβόησαν B 21 φρονεῖ^2] πιστεύει S 22 ἐξεβόησαν B 23 πιστεύομεν — φρονοῦμεν Φ φρονοῦμεν MPS πιστεύομεν B 23/24 ὁ σατανᾶς χώραν — σχῇι om. B 26 καὶ πάντες om. S φρονοῦμεν B 27 ἁγία om. B 33 βάλλε M^{corr} βάλετε B βάλλε M^{corr} βάλετε B 34 ἐβόησαν S

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 2/18/16 11:45 PM

τῶν ὀρθοδόξων. πάντες οὕτως πιστεύομεν. δι' ὑμῶν εἰρήνη γένηται. πάντες ὀρθῶς δοξάζομεν.

259 Οἱ ἐνδοξότατοι ἄρχοντες καὶ ἡ ὑπερφυὴς σύγκλητος εἶπον· Καὶ ποίωι λόγωι
L IIII 173 Εὐτυχῆ μὲν τὸν ἐναντία τούτοις λέγοντα ἐδέξασθε εἰς κοινωνίαν, Φλαβιανὸν δὲ τὸν τῆς ἁγίας μνήμης καὶ Εὐσέβιον τὸν εὐλαβέστατον ἐπίσκοπον τούτοις κεχρημένους καθείλετε;

260 Διόσκορος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Τὰ ὑπομνήματα αὐτὰ διδάξει τὴν ἀλήθειαν.

Βερονικιανὸς ὁ καθωσιωμένος σηκρητάριος τοῦ θείου κονσιστωρίου ἀπὸ τοῦ αὐτοῦ σχεδαρίου ἀνέγνω

261 Εὐστάθιος ἐπίσκοπος Βηρυτοῦ εἶπεν· Μετὰ τὸ ἀναγνωσθῆναι τὰς [προγεγραμμένας] ἐπιστολὰς ἀναγκαῖόν ἐστιν δῆλον ποιῆσαι τῆι ὑμετέραι ἁγιότητι ὅτι δὴ παρέσχεν ὁ θεὸς τῶι μακαριωτάτωι καὶ ὁσιωτάτωι τὴν μνήμην πατρὶ ἡμῶν καὶ ἀρχιεπισκόπωι τῆς Ἀλεξανδρέων Κυρίλλωι τὸ ἀμφιβληθῆναι τινὰ τῶν παρ' αὐτοῦ συνγγραφέντων ἐν τῆι αὐτοῦ ζωῆι παρὰ τῶν οὐκ ὀρθῶς τὰ καλῶς εἰρημένα νενοηκότων, ὥστε αὐτὸν διὰ τῆς πανσόφου καὶ διδασκαλικῆς αὐτοῦ γλώττης σαφῆ ποιῆσαι [τὰ] τοῖς βουλομένοις διαστρέφειν τὰ καλῶς συνταγέντα συγγράμματα καὶ ἀκολουθεῖν αὐτοῦ τῶι εὐσεβεῖ ἅπαντας ἔπεισεν φρονήματι. ἀλλ' ἑτέρων τινῶν ἀπὸ τούτων τῶν ἐπὶ τοῦ παρόντος ἀναγνωσθεισῶν ἐπιστολῶν ἀμφιβάλλεσθαι παρασκευαζόντων τοῦ μακαριωτάτου καὶ ὁσιωτάτου ἀνδρὸς τὸ φρόνημα, αὖθις ἀνάγκην ἔσχεν, μᾶλλον δὲ προθυμίαν (ἅπαντα γὰρ αὐτοῦ τὸν χρόνον εἰς τοῦτον κατανάλωσεν τῆς εὐσεβείας τὸν πόνον) ἑαυτὸν ἐρμηνεῦσαι καὶ τὸν ἴδιον σκοπὸν δεῖξαι καὶ σαφῶς ἅπασιν παραστῆσαι δι' ὧν ἐπέστειλεν πρὸς τοὺς τῆς μακαρίας καὶ ὁσίας μνήμης ἐπισκόπους γεγονότας, Ἀκάκιον τὸν Μελιτηνῆς καὶ Οὐαλεριανὸν τὸν τοῦ Ἰκονίου καὶ Σούκεσσον τὸν Διοκαισαρείας τῆς Ἰσαύρων ἐπαρχίας, ὅπως προσήκει νοεῖν καὶ τὰς ἀρτίως ἀναγνωσθείσας ἐπιστολὰς καὶ τῆς τοῦ σωτῆρος ἡμῶν ἐπιδημίας τὸ σέβας. πρόσκειται γὰρ καὶ τοῦτο τοῖς ἄλλοις ἐν ταῖς πρὸς τοὺς μακαρίους ἐκείνους ἐπιστολαῖς· οὐ δεῖ τοιγαροῦν νοεῖν δύο φύσεις, ἀλλὰ μίαν φύσιν τοῦ λόγου σεσαρκωμένην, καὶ ταύτην αὐτοῦ τὴν φωνὴν τῆι τοῦ μακαριωτάτου Ἀθανασίου ἐβεβαίωσεν μαρτυρίαι.

262 Οἱ Ἀνατολικοὶ καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκοποι ἐβόησαν· Ταῦτα Εὐτυχὴς λέγει. ταῦτα Διόσκορος λέγει.

263 Διόσκορος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Οὔτε σύγχυσιν λέγομεν οὔτε τομὴν οὔτε τροπήν. ἀνάθεμα τῶι λέγοντι ἢ σύγχυσιν ἢ τροπὴν ἢ ἀνάκρασιν.

---

261 extat in Coll. Nouar. 10, 65

26—28 testimonium Athanasii personati extat in or. ad dominas 10 [t. 1 1, 5 p. 65, 27]

9 ἐπὶ διοσκόρου $M^{mg}B^{mg}$ 26 σημ̄ ποῦ λέγει εὐστάθιος μὴ νοεῖν κύριλλον δύο φύσεις M^{mg} 29 ἐν χαλκηδόνι M^{mg} B^{mg}

MB, P [usque ad 15 ποιῆσαι], p [inde a 15 τὰ τοῖς βουλομένοις]. SΦ, $Λ^{n}$ [10—28]

1 γένηται $BΦ^{r}$ γίνεται P γενήσεται S γεγένηται M 3 εἶπεν MP 4 εὐτυχῆν MP, corr. M τὰ ἐναντία τούτων B 5 ὁσίας B 8/9 om. B σχιδαρίου MP, corr. M 10/11 εἶπεν μετὰ — ἐπιστολὰς MPSΦ$Λ^{n}$ μετὰ — ἐπιστολὰς εἶπεν $M^{corr}B$ προγεγραμμένας B$Λ^{n}$ προτεταγμένας MPS om. Φ 11 ὁσιότητι PS 12 τῆ μνήμη B 13 τὸ B om. MPS 15 γλώσσης B τὰ τοῖς MBpS 16 τὰ om. B γράμματα B 17 τῶν om. MpS, corr. M 19 ἔσχει M, corr. M ἔχει pS 20 βίον B εἰς τόπον [in τοῦτον corr. M] κατανάλωσεν MpS κατηνάλωσεν εἰς τοῦτον B 21 κόπον MpS δεῖξαι] στῆσαι B πᾶσι B ἀπέστειλε S 22 μακαρίας καὶ ὁσίας] ἁγίας B καὶ ὁσίας om. $Φ^{ac}$ γεγονότας ἐπισκόπους B μελιτινῆς MpS 23 οὐαλεριανὸν B οὐαλέριον MpS οὐαλλέριον M^{corr} τὸν τοῦ om. B σούκενσον $M^{corr}B$ 24 καὶ^{1} om. B 25 καὶ B$ΦΛ^{n}$ om. MpS 31 Ἀλεξανδρείας om. MpS 32 ἢ^{1} B$Φ$ om. MpS τροπὴν] τομὴν B

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 2/18/16 11:45 PM

264 Οἱ ἐνδοξότατοι ἄρχοντες καὶ ἡ ὑπερφυὴς σύγκλητος εἶπον· Λεγέτω ἡ ἁγία σύ- M VI 677
νοδος εἰ ταῖς κανονικαῖς ἐπιστολαῖς τοῦ τῆς ὁσίας μνήμης Κυρίλλου ταῖς καὶ ἐν τῇι συνόδωι δημοσιευθείσαις καὶ νῦν ἀναγνωσθείσαις συμφωνεῖ ἡ διαλαλιὰ Εὐσταθίου τοῦ εὐλαβεστάτου ἐπισκόπου.

265 Καὶ πρὶν ἀποκριθῆναι τὴν ἁγίαν σύνοδον Εὐστάθιος ὁ εὐλαβέστατος ἐπίσκοπος Βηρυτοῦ παρελθὼν εἰς τὸ μέσον καὶ ῥίψας βιβλίον εἶπεν· Εἰ κακῶς εἶπον, ἴδε τὸ βιβλίον Κυρίλλου· ἀναθεματισθῆι καὶ ἀναθεματισθῶ.

266 Οἱ Αἰγύπτιοι καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκοποι ἐβόησαν· Εὐστάθιος ὁ ἐπίσκοπος καλῶς εἶπεν. ὁ ὀρθόδοξος καλῶς εἶπεν. τῶι εὐδοκίμωι τῶι εὐλαβεῖ. Κυρίλλου αἰωνία μνήμη.

267 Εὐστάθιος ὁ εὐλαβέστατος ἐπίσκοπος Βηρυτοῦ εἶπεν· Ἡ ἐπιστολὴ τοῦ τῆς ὁσίας μνήμης Κυρίλλου οὕτως ἔχει. καὶ ἀπεστήθισε τὴν ἐπιστολὴν τὴν μεταξὺ τῶν λοιπῶν ἔχουσαν οὕτως· οὐ δεῖ τοιγαροῦν νοεῖν δύο φύσεις, ἀλλὰ μίαν φύσιν τοῦ λόγου L IIII 176
σεσαρκωμένην. καὶ μετὰ τὸ ἀπαγγεῖλαι τὴν προλεχθεῖσαν ἐπιστολὴν ὁ αὐτὸς Εὐστάθιος ὁ εὐλαβέστατος ἐπίσκοπος Βηρυτοῦ εἶπεν· Καὶ ὁ λέγων μίαν φύσιν ἐπὶ ἀναιρέσει τῆς σαρκὸς τοῦ Χριστοῦ τῆς ὁμοουσίας ἡμῖν ἀνάθεμα ἔστω καὶ ὁ λέγων δύο φύσεις ἐπὶ διαιρέσει τοῦ υἱοῦ τοῦ θεοῦ ἀνάθεμα ἔστω. καὶ ὑπὲρ τοῦ μακαρίου δὲ Φλαβιανοῦ εἰπεῖν θέλω. αὐτὰ ξηρὰ ἔλαβεν ὁ μακάριος Φλαβιανὸς καὶ ἐπέδωκεν τῶι εὐσεβεστάτωι βασιλεῖ. καὶ κελεύσατε ἀναγνωσθῆναι τὸ ἰδιόχειρον αὐτοῦ, ἵνα πᾶσα ἡ σύνοδος εἴπηι ὅτι δικαίως ἐδέχθη.

268 Οἱ ἐνδοξότατοι ἄρχοντες καὶ ἡ ὑπερφυὴς σύγκλητος εἶπον· Διὰ τί τοίνυν Φλαβιανὸν τὸν τῆς εὐλαβοῦς μνήμης καθεῖλες;

269 Εὐστάθιος ὁ εὐλαβέστατος ἐπίσκοπος Βηρυτοῦ εἶπεν· Ἐσφάλην.

Βερονικιανὸς ὁ καθωσιωμένος σηκρητάριος τοῦ θείου κονσιστωρίου ἀπὸ τοῦ αὐτοῦ σχεδαρίου ἀνέγνω

270 Καὶ μετὰ τὸ ἀναγνωσθῆναι Εὐσέβιος ὁ εὐλαβέστατος ἐπίσκοπος Δορυλαίου εἶπεν· Ταῦτα ἐμαυτὸν φρονοῦντα πεπεισμένως ἔχων καὶ ἀπὸ τούτων τοῖς παραχαράττειν βουλομένοις τὸ τῆς ὀρθοδοξίας δόγμα εἰς ἀντιπάλου τάξιν ἀντικαθεστὼς κατέλαβον ὑμῶν τὴν ἁγίαν σύνοδον καὶ ἀξιῶ καὶ τὴν ὑμετέραν ἀγιωσύνην σύμψηφον γενέσθαι τοῖς ἀναγνωσθεῖσιν, ὥστε πάντας εἰδέναι ὡς ὁ ταύτας τὰς ἐκθέσεις παραλύων ἐχθρός ἐστιν τῆς ὀρθοδόξου ἐκκλησίας καὶ τοῦ ἱερατικοῦ συλλόγου ἀλλότριος.

271 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος Φλαβιανὸς εἶπεν· Ἀναγκαῖον καὶ εὐσεβὲς συνθέσθαι ἡμᾶς τοῖς ὀρθῶς δεδογμένοις. τίς γὰρ ἁγίου πνεύματος λόγοις ἀντιτεῖναι δυνήσεται; αἱ γὰρ ἀναγνωσθεῖσαι ἐπιστολαὶ τοῦ τῆς μακαρίας μνήμης καὶ ἐν ἁγίοις πατρὸς ἡμῶν

---

13 ποῦ λέγει εὐστάθιος κύριλλον μὴ νοεῖν δύο φύσεις M^{mg}

26 ἐπὶ φλαβιανοῦ M^{mg} τῆς ἐν κωνσταντινουπόλει συνόδου B^{mg}

MBpSΦ

1 εἶπεν Mp 2 τῆι om. S 3 καὶ — ἀναγνωσθείσαις om. pS 5 πρὶν ἢ ἀποκρίνηται ἡ ἁγία σύνοδος MpS 6 Βηρυτοῦ om. BΦ^{a} ἐν τῶ μέσω BΦ^{a} βιβλίον κυρίλλου B εἰδὲ pS 7 ἀναθεματίσθη M ἀνεθεματίσθη pS ἀναθεματιζέσθω M^{corr}B 8 εἶπον B 9 δ^{ι} om. S καλῶς^{ι} om. S 10 κυρίλλου M κυρίλλω BpS ἡ μνήμη BpS 12 ἀπεστήθισε BΦ ἀπήγγειλε MpS 13 οὕτως om. MpS, corr. M 14/15 ὁ — Βηρυτοῦ BΦ om. MpS 15 καὶ om. BS 16 ὁμοουσίου S ἔστω om. B 17 τοῦ θεοῦ om. B ἔστω om. B 18 ξηρὰ MpSΦ^{r} ξηρὰ ἃ BΦ^{ac} εὐσεβεῖ B εὐλαβεστάτω p 19 ἀναγνωσθῆναι BΦ ἀναγνῶναι MpS 21 εἶπεν Mp νῦν p 24 τοῦ — κονσιστωρίου om. B 25 σχιδαρίου p 26 ὁ εὐλαβέστατος om. MpS δορυλλαίου B om. MpS 27 πεπεισμένοσ B ἔχων Φ ἔχω MBpS 29 καὶ^{1} om. S ὑμῶν S 31 ἱεροῦ καταλόγου B 32 ἐπίσκοποσ S Φλαβιανὸς om. MpS, corr. M^{mg} 33 λόγοσ M, corr. M ἀντιστῆναι pS 34 ὁσίασ S καὶ ἐν ἁγίοισ μνήμησ B

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 2/18/16 11:45 PM

M VI 680 Κυρίλλου τοῦ γενομένου ἐπισκόπου τῆς κατὰ Ἀλεξάνδρειαν ἁγιωτάτης ἐκκλησίας ἀκριβῆ τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίαι κατὰ καιροὺς συνελθόντων τὴν διάνοιαν ἡρμήνευσαν διδάξασαι ἡμᾶς, ἅπερ καὶ ἡμεῖς ἐφρονήσαμεν ἀεὶ καὶ φρονοῦμεν, ὡς ὅτιπερ ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ὁ υἱὸς τοῦ θεοῦ ὁ μονογενής, θεὸς τέλειος καὶ ἄνθρωπος τέλειος ἐκ ψυχῆς λογικῆς καὶ σώματος, πρὸ αἰώνων μὲν ἐκ τοῦ πατρὸς ἀνάρχως γεννηθεὶς κατὰ τὴν θεότητα, ἐπὶ τέλει δὲ καὶ ἐν ὑστέροις καιροῖς ὁ αὐτὸς δι' ἡμᾶς καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν ἐκ Μαρίας τῆς παρθένου γεννηθεὶς κατὰ τὴν ἀνθρωπότητα, ὁμοούσιος τῶι πατρὶ κατὰ τὴν θεότητα καὶ ὁμοούσιος τῆι μητρὶ κατὰ τὴν ἀνθρωπότητα. καὶ γὰρ ἐκ δύο φύσεων ὁμολογοῦμεν τὸν Χριστὸν εἶναι μετὰ τὴν ἐνανθρώπησιν, ἐν μιᾶι ὑποστάσει καὶ ἑνὶ προσώπωι ἕνα Χριστόν, ἕνα υἱόν, ἕνα κύριον ὁμολογοῦντες. τοὺς δὲ παρὰ ταῦτα φρονεῖν αἱρουμένους ἀποκηρύττομεν τῆς ἁγίας συνόδου τῶν ἱερέων καὶ τοῦ πληρώματος τῆς ἐκκλησίας. καὶ ἕκαστος δὲ τῶν παρόντων θεοφιλεστάτων ἐπισκόπων τὴν ἑαυτοῦ γνώμην καὶ τὴν πίστιν αὐτοῦ κατατιθέσθω ἐπὶ τῆς πράξεως τῶν ὑπομνημάτων.

272 Καὶ ἐν τῶι ἀναγινώσκεσθαι οἱ ἐνδοξότατοι ἄρχοντες καὶ ἡ ὑπερφυὴς σύγκλητος εἶπον· Τί λέγουσιν οἱ εὐλαβέστατοι ἐπίσκοποι τῆς παρούσης ἁγίας συνόδου; οὕτως ἐκθέμενος τὴν πίστιν ὁ τῆς ὁσίας μνήμης Φλαβιανὸς ἔσωσεν τὴν ὀρθόδοξον καὶ καθολικὴν θρησκείαν ἢ τι περὶ αὐτὴν ἐσφάλη;

273 Ἤστινος φωνῆς Ἑλληνιστὶ ἑρμηνευθείσης διὰ Κωνσταντίνου τοῦ καθωσιωμένου σηκρηταρίου τοῦ θείου κονσιστωρίου

Πασκασῖνος ὁ εὐλαβέστατος ἐπίσκοπος ἐπέχων τὸν ἀποστολικὸν θρόνον ἔφη·
L IIII 177 Ἁγνῶς καὶ ὁλοκλήρως τὴν πίστιν ἐξέθετο ὁ τῆς μακαρίας μνήμης Φλαβιανός, ἥτις πίστις καὶ ἔκθεσις συμφωνεῖ τῆι ἐπιστολῆι τοῦ μακαριωτάτου καὶ ἀποστολικοῦ ἀνδρὸς ἐπισκόπου Ῥώμης.

274 Ἀνατόλιος ὁ εὐλαβέστατος ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως εἶπεν· Ὁ μακάριος Φλαβιανὸς καλῶς καὶ ὀρθοδόξως τὴν τῶν ἁγίων πατέρων ἡμῶν πίστιν ἐξέθετο.

Ἤστινος φωνῆς Ἑλληνιστὶ ἑρμηνευθείσης διὰ Κωνσταντίνου τοῦ καθωσιωμένου σηκρηταρίου τοῦ θείου κονσιστωρίου

275 Λουκίνσιος ὁ εὐλαβέστατος ἐπίσκοπος ἐπέχων τὸν τόπον τῆς ἀποστολικῆς καθέδρας ἔφη· Ἐπειδὴ τοῦ τῆς μακαρίας μνήμης Φλαβιανοῦ ἡ πίστις συμφωνεῖ μετὰ τοῦ ἀπο-

7 ταύτης ἕνεκα τῆς διαλαλιᾶς ὁ μὲν Φλαβιανὸς καθηιρέθη παρὰ Διοσκόρου ὡς δογματίσας παρὰ τὰ ὡρισμένα ἐν τῆι πρώτηι κατ' Ἔφεσον συνόδωι, Ἰουβενάλιος δὲ καὶ Θαλάσσιος καὶ Εὐστάθιος ἐπερωτηθέντες ἐν Χαλκηδόνι καλῶς ἔχειν ἐπήινεσαν. Διόσκορος δὲ ὡς μὴ συνθέμενος ταύτηι παρὰ τῶν τοποτηρητῶν τοῦ Ῥώμης ἐπισκόπου ἄξιος ἐκρίθη καθαιρέσεως, παρὰ δὲ [δὲ om. S^{mg}] τῶν ἀρχόντων οὐ μόνον [μόνος S^{mg}] αὐτὸς ὁ [ὁ om. M^{mg}] Διόσκορος, ἀλλὰ καὶ οἱ περὶ Ἰουβενάλιον καὶ Εὐστάθιον καὶ Θαλάσσιον [add. καὶ τοῖς σὺν αὐτοῖς S^{mg}] M^{mg}S^{mg}

15 inscr. ἐν χαλκηδόνι M τῆς ἐν χαλκηδόνι συνόδου B^{mg}

MBpSΦ

2 συνελθόντων κατὰ καιροὺς pS 3 διδάξας S 5/6 γεννηθεὶς ἀνάρχως B 8 καὶ ᵗ BΦ om. MpS 9 τὸν χ̄ν̄ ὁμολογοῦμεν B 10 ὁμολογοῦμεν M 11 παρὰ BΦ μὴ MpS ἱερῶν B 15 καὶ om. B καὶ ἐν τῶι ἀναγινώσκεσθαι om. pS 16 εἶπεν Mp ἁγίας BΦ ἁγιωτάτης Mp 18 αὐτῆς S 19/20 ἤστινος — κονσιστωρίου pS om. MB; praecesserat Latina interlocutio 21 πασχασῖνος pS 23 ἀνδρὸς καὶ S 24 ῥώμης λέοντος B, tum pergunt ἤστινος φωνῆς ἑλληνιστὶ ἑρμηνευθείσης διὰ κωνσταντίνου τοῦ καθωσιωμένου σηκρηταρίου τοῦ θείου κονσιστορίου BΦ 28/29 ἤστινος — κονσιστωρίου pS om. MB post p. 115, 2 habet Φ; cf. quae 19/20 adnotaui 31 εἶπεν B μετὰ om. S

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 2/18/16 11:45 PM

στολικοῦ θρόνου καὶ τῶν πατρικῶν παραδόσεων, δίκαιον τὴν ἁγιωτάτην συνόδον τὴν καταδίκην τὴν εἰς αὐτὸν ἀπὸ τῶν αἱρετικῶν ἐπενεχθεῖσαν εἰς αὐτοὺς ἀντιστρέψαι.

276 Μάξιμος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀντιοχείας Συρίας εἶπεν· Ὀρθοδόξως ὁ τῆς ὁσίας μνήμης ἀρχιεπίσκοπος Φλαβιανὸς καὶ συμφώνως τῶι θεοφιλεστάτωι καὶ ὁσιωτάτωι ἀρχιεπισκόπωι Λέοντι τὴν πίστιν ἐξέθετο καὶ πάντες αὐτὴν προθύμως δεχόμεθα.

277 Θαλάσσιος ὁ εὐλαβέστατος ἐπίσκοπος Καισαρείας Καππαδοκίας εἶπεν· Ὁ τῆς μακαρίας μνήμης Φλαβιανὸς συνωιδὰ διελάλησεν τῶι τῆς μακαρίας μνήμης Κυρίλλωι.

278 Εὐσέβιος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀγκύρας Γαλατίας εἶπεν· Συντιθέμεθα καὶ ἀποδεχόμεθα τὴν τοῦ ὁσιωτάτου Φλαβιανοῦ ἐπὶ τῆι θρησκείαι διαλαλιάν. M VI 681

279 Εὐστάθιος ὁ εὐλαβέστατος ἐπίσκοπος Βηρυτοῦ εἶπεν· Ἠκολούθησεν ὁ θεοφιλέστατος τὴν μνήμην ἀρχιεπίσκοπος τῆς βασιλευούσης γεγονὼς Φλαβιανὸς τοῖς διδάγμασι τοῦ μακαριωτάτου καὶ ἁγιωτάτου πατρὸς ἡμῶν καὶ ἐπισκόπου τῆς Ἀλεξανδρέων γενομένου Κυρίλλου.

280 Οἱ Ἀνατολικοὶ καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκοποι ἐβόησαν· Ὁ μάρτυς Φλαβιανὸς τὴν πίστιν καλῶς ἐξέθετο. ὁ ἀρχιεπίσκοπος Φλαβιανὸς τὴν πίστιν καλῶς ἐξέθετο.

281 Διόσκορος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Ἀναγνωσθήτω τὰ λοιπὰ αὐτοῦ ῥήματα, καὶ οὕτως ἀποκρίνομαι· ἐν γὰρ τοῖς ἑξῆς εὑρίσκεται διαμαχόμενος ἑαυτῶι καὶ λέγων μετὰ τὴν ἕνωσιν δύο φύσεις.

282 Ἰουβενάλιος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἱεροσολύμων εἶπεν· Σύμφωνα τοῖς εἰρημένοις τῶι μακαρίωι τὴν μνήμην Κυρίλλωι καὶ ὁ ἁγιώτατος ἐπίσκοπος Φλαβιανὸς εἶπεν, παρακαλοῦμεν δὲ ἀναγνωσθῆναι τὰ ἑξῆς, ἵνα σαφεστέρα ἡ διάνοια γένηται.

283 Οἱ ἀπὸ Παλαιστίνης εὐλαβέστατοι ἐπίσκοποι εἶπον· Τὰ αὐτὰ λέγομεν τῶι ὁσιωτάτωι ἀρχιεπισκόπωι Ἰουβεναλίωι.

284 Καὶ ἀναστὰς ὁ εὐλαβέστατος ἐπίσκοπος Ἰουβενάλιος ἅμα αὐτοῖς μετῆλθεν εἰς τὸ ἄλλο μέρος.

285 Καὶ ἀνεβόησαν οἱ Ἀνατολικοὶ καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκοποι· Ὁ θεὸς καλῶς ἤνεγκέν σε, ὀρθόδοξε· καλῶς ἦλθες.

286 Πέτρος ὁ εὐλαβέστατος ἐπίσκοπος Κορίνθου εἶπεν· Ἐγὼ μὲν τὸ τηνικαῦτα οὐ παρήμην τῆι συνόδωι τῆι κατὰ Ἔφεσον (οὐδέπω γὰρ ἤμην [χάριτι Χριστοῦ] χειροτονηθεὶς ἐπίσκοπος), ἐκ δὲ τῶν ἀναγινωσκομένων εὑρὼν τὰ εἰρημένα παρὰ τοῦ τῆς μακαρίας μνήμης Φλαβιανοῦ ζῆλον ἔχοντα πρὸς τὰ ἐκτεθέντα παρὰ τοῦ τῆς ἁγίας μνήμης Κυρίλλου ὀκνῶ ἐπιλαβέσθαι, τὰ δὲ ὑπόλοιπα ἀναγινωσκόμενα τελεώτερόν με διδάξει.

287 Καὶ ἀναστὰς καὶ αὐτὸς μετῆλθεν εἰς τὸ ἄλλο μέρος.

288 Καὶ ἀνεβόησαν οἱ Ἀνατολικοὶ καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκοποι· Ὁ Πέτρος τὰ Πέτρου φρονεῖ. ὀρθόδοξε, καλῶς ἦλθες. L III 180

289 Εἰρηναῖος ὁ εὐλαβέστατος ἐπίσκοπος Ναυπάκτου Ἑλλάδος εἶπεν· Κἀγὼ οὐ παρήμην

18 καίτοιγε ἐν τοῖς ἑξῆς ἐναντία οὐ φαίνεται ἑαυτῶι εἰρηκὼς Φλαβιανὸς ἢ μνημονεύσας δύ φύσεων μετὰ τὴν ἕνωσιν, καὶ δείκνυσιν ἡ ἑφεξῆς ταῦτα ἀνάγνωσις $M^{mg}S^{mg}$

MBpSΦ

1/2 τὴν εἰσ αὐτὸν καταδίκην ἀπὸ S 3 Συρίας om. S 4 ὁσίας om. p 9 διαλαλιᾶ S 11 τῆ μνήμη B δόγμασι S 12 ὁσιωτάτου B 14 ἐξεβόησαν Bp 18 ἑξῆσ αὐτοῦ pS 21 μακαριωτάτω B τὴν μνήμην om. BS 23/24 θεοφιλεστάτω B 24 ἐπισκόπω B 29 τὸ om. B 30 χάριτι χῡ BΦ om. MpS et codex Acoemitanus Rustici χειροτονηθεὶς om. B 31 ὁσίασ B 32 ἐκφωνηθέντα B ὁσίασ B 33 ἐπιλαβέσθαι αὐτῶν B λοιπὰ B με om. B 36 τὰ τοῦ p ὁ ὀρθόδοξοσ S ἦλθεν S 37 Ναυπάκτου Ἑλλάδος Φ ναυπάκτου B ἑλλάδοσ pS ἑλάδοσ M 37/152, 1 κἀγὼ — μὲν Mp κἀγὼ μὲν οὐ παρήμην S κἀγὼ οὐ παρήμην B

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 2/18/16 11:45 PM

μὲν ἐν τῇι ἁγίαι συνόδωι τῇι κατὰ Ἔφεσον ὑπόγυον γενομένηι, ἀπὸ δὲ τῶν ἀρτίως ὑπαναγνωσθέντων ἡμῖν τοῦ τῆς ὁσίας μνήμης Φλαβιανοῦ διηγημάτων ὀκνῶ ἐπιλαβέσθαι αὐτοῦ, τὰ δὲ ὑπόλοιπα ἀξιοῦμεν ἀναγνωσθῆναι.

290 Οἱ ὑπόλοιποι εὐλαβέστατοι ἐπίσκοποι Ἑλλάδος εἶπον· Τὰ αὐτὰ περὶ τῶν ἀναγνωσθέντων καὶ ἡμεῖς διδάσκομεν. καὶ πάντες εἰς τὸ ἄλλο μετῆλθον μέρος.

291 Κύντιλλος καὶ Σώιζων καὶ οἱ λοιποὶ εὐλαβέστατοι ἐπίσκοποι Μακεδονίας καὶ Κρήτης εἶπον· Ἐν τῇι ἀναγνωσθείσηι διαλαλιᾶι τοῦ τῆς ὁσίας μνήμης Φλαβιανοῦ οὐδὲν ἀνακόλουθον εὑρίσκομεν, ἀξιοῦμεν δὲ τὰ ὑπόλοιπα ἀναγνωσθῆναι.

292 Νικόλαος ὁ εὐλαβέστατος ἐπίσκοπος Στοβῶν Μακεδονίας εἶπεν· Ἐπὶ μὲν τῆς προγεγραμμένης συνόδου οὐ παρήμην, ἀπὸ δὲ τῶν ἀναγνωσθέντων εὑρίσκω οὐδὲν ἐναντίον τῶν τυπωθέντων παρὰ τῶν μακαριωτάτων πατέρων καὶ τοῦ μακαριωτάτου Κυρίλλου εἰρηκότα τὸν τῆς μακαρίας μνήμης Φλαβιανόν.

293 Ἀθανάσιος ὁ εὐλαβέστατος ἐπίσκοπος Βουσίρεως Τριπόλεως τῆς κατὰ Αἴγυπτον
M VI 684 εἶπεν· Ἠκολούθησεν ταῖς ἐπιστολαῖς Κυρίλλου τοῦ ὁσιωτάτου καὶ ὁ ἁγιώτατος ἐπίσκοπος Φλαβιανός· καὶ γὰρ καλῶς ἐξέθετο τὴν πίστιν.

294 Αὐσόνιος ὁ εὐλαβέστατος ἐπίσκοπος Σεβεννύτου εἶπεν· Σύμφωνα τοῖς ἐκτεθεῖσιν παρὰ τοῦ τῆς ὁσίας μνήμης Κυρίλλου διελάλησεν καὶ ἐφρόνησεν ὁ ἁγιώτατος καὶ εὐλαβέστατος ἐπίσκοπος Φλαβιανός, καθὼς καὶ αἱ ἀναγνωσθεῖσαι ἐπιστολαὶ τοῦ ὁσιωτάτου Κυρίλλου περιέχουσιν.

295 Νεστόριος ὁ εὐλαβέστατος ἐπίσκοπος Φλαγωνέως εἶπεν· Ἀκολούθως τοῖς ἀναγνωσθεῖσιν τῇι πίστει τῶν ὑπομνημάτων καὶ τῇι ἐκθέσει ἣι ἐξέθετο ὁ τῆς μακαρίας μνήμης Κύριλλος, καὶ ὁ τῆς μακαρίας μνήμης Φλαβιανὸς ἐξέθετο.

296 Μακάριος ὁ εὐλαβέστατος ἐπίσκοπος Καβάσων εἶπεν· Κἀγὼ τὰ αὐτὰ λέγω· καλῶς γὰρ ἐξέθετο ὁ ὁσιώτατος ἐπίσκοπος Φλαβιανὸς τῇι πίστει τοῦ ἁγίου Κυρίλλου ἐξακολουθήσας.

297 Κωνσταντῖνος ὁ εὐλαβέστατος ἐπίσκοπος Δημητριάδος Θεσσαλίας εἶπεν· Ὁ μὲν μητροπολίτης μου νόσωι κατεχόμενος ἔτι ἐστὶν κατὰ τὴν Ἑλενούπολιν, ἐγὼ δὲ κατὰ τὸ φρόνημα τῶν τριακοσίων δέκα καὶ ὀκτὼ φρονῶ καὶ συναινῶ τοῖς ἀναγνωσθεῖσιν ἀρτίως τοῦ μακαρίου Κυρίλλου καὶ εἰ φρονῶ ἑτέρως ἢ ποτε ἑτέρως ἐφρόνησα, ἀνάθεμά μοι. καὶ συναινῶ αὐτοῖς, ὡς συνήνεσεν τοῖς τοῦ μακαρίου Κυρίλλου καὶ Φλαβιανὸς ὁ τῆς μακαρίας μνήμης.

298 Εὐτύχιος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀδριανουπόλεως παλαιᾶς Ἠπείρου, [καὶ] Κλάδεος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀγχιασμοῦ, Μάρκος ὁ εὐλαβέστατος ἐπίσκοπος Εὐροίας, Πελεγρῖνος ὁ εὐλαβέστατος ἐπίσκοπος Φοινίκης καὶ Σωτήριχος ὁ εὐλαβέστατος ἐπίσκοπος Κερκύρας εἶπον· Ὁ μὲν ἁγιώτατος πατὴρ ἡμῶν Ἀττικὸς ὁ τῆς μητροπόλεως

MBpSΦ

1 ἁγίαι om. BS ὑπόγυον om. S 1/2 ἀναγνωσθέντων B 3 ἀναγνωσθῆναι BΦ ἀναγνωσθῆναι ἡμῖν MpS 4 τῆσ ἑλλάδοσ B 5 πάντες] αὐτοὶ B μέροσ μετῆλθον B 8 εὑρήκαμεν B 9 τωβέων pS 10/11 οὐδὲν — παρὰ] ἐναντίον οὐδὲν φρονήσαντα παρὰ τὰ ὑπὸ B 11 μακαρίων B μακαρίου SΦ^{ac} et duo codices Φ^{r} 12 εἰρημένα B 13 τῆσ B om. MpS 14/15 τὰ τοῦ ἁγιωτάτου ἐπισκόπου φλαβιανοῦ B 16 αὐξόνιοσ B 17 ἐλάλησε S 17/18 ἁγιώτατοσ — ἐπίσκοποσ] θεοφιλέστατοσ B 18 καὶ om. B 19 ἐπέχουσιν S 20 φλαγωνέωσ MpSΦ^{r} φραγόνεωσ BΦ^{ac} 21 ἐκθέσει MΦ^{r} ἐκτεθείσῃ p ἐκτεθείσῃ πίστει S πίστει B 22 ἐξέθετο φλαβιανόσ p 23 μακάριοσ MpSΦ^{r} μάρκελλοσ BΦ^{ac} 24 ἁγιώτατοσ B ἁγιωτάτου B 27 Ἑλενούπολιν] ὁδὸν B δὲ om. S κατὰ om. pS 28 δεκαοκτὼ B 29 τοῦ μακαρίου] παρὰ S εἰ — ἐφρόνησα Φ εἰ φρονῶ ἑτέρωσ ἢ ἐφρόνησα MpS cf. Φ^{c}, εἴ ποτε ἑτέρωσ ἐφρόνησα B 30 ὡσ MpSΦ οἱσ M^{corr}B συνήνεσεν M^{corr}B σύνεισι pS καὶ om. S 32 εὐτύχιοσ MpSΦ εὐστόχιοσ M^{corr}B ἀνδριανουπόλεωσ S καὶ MB om. pSΦ 33 *Claudius* Φ ἀγχιεσμοῦ MpS 34 καὶ πελαγρῖνοσ B *Peregrinus* Φ 35 Κερκύρασ] φοινίκησ p λυβίησ S ὁ — μητροπόλεως om. MpS

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 2/18/16 11:45 PM

ἐπίσκοπος Νικοπόλεως πρὸ ὀλίγου ἀνεχώρησεν ἀρρωστήσας ἰσχυρῶς· ἡμεῖς δὲ τοσοῦτον κατατιθέμεθα ὅτι ταῖς ἀναγνωσθείσαις ἐπιστολαῖς ταῖς τοῦ μακαριωτάτου καὶ ἐν ἁγίοις πατρὸς ἡμῶν Κυρίλλου σύμφωνα καὶ ὁ μακάριος Φλαβιανὸς διελάλησεν, καὶ ἀξιοῦμεν τὰ ἐξῆς πάντων τῶν πεπραγμένων ἀναγνωσθῆναι. καὶ πάντες εἰς τὸ ἄλλο μέρος μετῆλθον.

299 Διόσκορος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Φανερῶς διὰ τοῦτο L IIII 181
καθήιρηται Φλαβιανός, ὅτι μετὰ τὴν ἕνωσιν δύο φύσεις εἶπεν. ἐγὼ δὲ χρήσεις ἔχω 6
τῶν ἁγίων πατέρων Ἀθανασίου Γρηγορίου Κυρίλλου ἐν πολλοῖς τόποις ὅτι οὐ δεῖ λέγειν μετὰ τὴν ἕνωσιν δύο φύσεις, ἀλλὰ μίαν σεσαρκωμένην τοῦ λόγου φύσιν. ἐγὼ μετὰ τῶν πατέρων ἐκβάλλομαι· ἐγὼ συνίσταμαι τοῖς τῶν πατέρων δόγμασιν. οὐ παραβαίνω ἕν τινι. καὶ τούτων τὰς χρήσεις οὐχ ἁπλῶς οὐδὲ ὡς ἔτυχεν, ἀλλ' ἐν βι- 10
βλίοις ἔχω. καθὼς δὲ πάντες ἤιτησαν, κἀγὼ ἠξίωσα τὰ ὑπόλοιπα ἀναγνωσθῆναι.

300 Οἱ ἐνδοξότατοι ἄρχοντες καὶ ἡ ὑπερφυὴς σύγκλητος εἶπον· Τὰ ἐξῆς ἀναγινωσκέσθω.

Βερονικιανὸς ὁ καθωσιωμένος σηκρητάριος τοῦ θείου κονσιστωρίου ἀπὸ τοῦ αὐτοῦ σχεδαρίου ἀνέγνω

301 Ὁ θεοφιλέστατος ἐπίσκοπος Βασίλειος τῆς μητροπόλεως Σελευκείας εἶπεν· Τίς M VI 685
δύναται ταῖς τοῦ μακαρίου πατρὸς ἡμῶν Κυρίλλου μέμψασθαι φωναῖς; ὃς τὴν ἀσέβειαν 16
Νεστορίου μέλλουσαν ἐπικλύζειν τὴν οἰκουμένην ἐπέσχεν διὰ οἰκείας συνέσεως κἀκείνου διαιροῦντος εἰς δύο πρόσωπα καὶ δύο υἱοὺς τὸν ἕνα κύριον ἡμῶν καὶ θεὸν καὶ σωτῆρα Χριστὸν αὐτὸς ἔδειξεν ἐπὶ ἑνὸς προσώπου καὶ υἱοῦ καὶ κυρίου καὶ δεσπότου τῆς κτίσεως θεότητά τε γνωριζομένην τελείαν καὶ ἀνθρωπότητα τελείαν. ἀποδεχόμεθα τοίνυν 20
πάντα τὰ παρ' αὐτοῦ γεγραμμένα καὶ ἐπεσταλμένα ὡς ἀληθῆ καὶ τῆς εὐσεβείας ἐχόμενα καὶ προσκυνοῦμεν τὸν ἕνα κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἐν δύο φύσεσι γνωριζόμενον. τὴν μὲν γὰρ εἶχεν ἐν ἑαυτῷ προαιώνιον ὡς ὢν ἀπαύγασμα τῆς τοῦ πατρὸς δόξης, Hebr. 1, 3
τὴν δὲ ὡς ἐκ μητρὸς δι' ἡμᾶς γεννηθεὶς λαβὼν ἐξ αὐτῆς ἥνωσεν ἑαυτῷ καθ' ὑπόστασιν καὶ κεχρημάτικεν ὁ τέλειος θεὸς καὶ υἱὸς τοῦ θεοῦ καὶ τέλειος ἄνθρωπος καὶ υἱὸς ἀνθρώπου, 25
πάντας ἡμᾶς σῶσαι βουληθεὶς ἐν τῷι γενέσθαι κατὰ πάντα ἡμῖν παραπλήσιος πλὴν ἁμαρτίας. τοὺς δὲ ἐναντιουμένους τοῖς τοιούτοις δόγμασιν ἐχθροὺς τῆς ἐκκλησίας εἶναι φαμέν.

302 Ὁ θεοφιλέστατος ἐπίσκοπος Σέλευκος τῆς μητροπόλεως Ἀμασείας εἶπεν· Ἐπλήρωσεν τὰς καρδίας ἡμῶν εὐφροσύνης τὰ ἀρτίως ἀναγνωσθέντα δόγματα τοῦ ἁγίου 30
πατρὸς καὶ ἐπισκόπου γεγονότος Κυρίλλου καὶ ἡ σύνεσις τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου [ἡμῶν] Φλαβιανοῦ καὶ ἡ νῦν συγκατάθεσις τοῦ ἁγιωτάτου ἐπισκόπου Βασιλείου. ὅθεν ἀποστολικῶν καὶ ὀρθῶν καὶ εὐσεβῶν ὄντων τῶν τοιούτων δογμάτων, καὶ αὐτὸς συντίθεμαι καὶ συναινῶ καὶ τὸν μὴ φρονοῦντα οὕτως ἀναθεματίζω καὶ ἀλλότριον ἐγκρίνω τῆς ἐκκλησιαστικῆς καὶ ὀρθοδόξου συναφείας. πιστεύομεν γὰρ καὶ ἡμεῖς εἰς τὸν ἕνα 35

301 cf. 169. 176. 850
302 cf. 864
15—28. 35 — p. 118, 5 adfert Timotheus Aelurus f. 56
15 τῆς ἐν κωνσταντινουπόλει [add. συνόδου B^{mg}]$M^{mg}B^{mg}$ post εἶπεν] ἐπὶ φλαβιανοῦ MpS

MBpSΦ
1 τῆσ νικοπόλεωσ Mp 2 μακαρίου B 3 καὶ¹ om. S 4 πάντεσ οἱ ῥηθέντεσ S 7 ἁγιωτάτων B γρηγορίου καὶ S τοῖσ πολλοῖσ S 10 παραβαίνων τινά B χρήσεισ λέγομεν pS 11 ἤτησα B 12 εἶπεν Mp ἀναγνωσθήτω B 13 αὐτοῦ om. Mp 14 σχιδαρίου p 18 καὶ θῦ BΦ Tim. θῦ MpS 23 αὐτῶ pS ὢν om. B δόξησ τοῦ πρσ̄ B 26 ἡμᾶς om. pS 29 ἐπίσκοποσ om. B 30 εὐφροσύνησ τὰσ καρδίασ ἡμῶν B ὑπαναγνωσθέντα B 31 συναίνεσισ S 32 ἡμῶν Mp γεγονότοσ B om. Φ κατάθεσισ B ὁσιωτάτου B 33 εὐσεβῶν καὶ ὀρθῶν B 33/34 συντίθεμαι καὶ αὐτὸσ B 34 οὕτω φρονοῦντα S κρίνω B 35 εἰς om. B

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 2/18/16 11:45 PM

κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὸν ἐκ θεοῦ λόγον, τὸν ἐκ τοῦ φωτὸς φῶς, τὸν ἐκ τῆς ζωῆς ζωήν, ἐν δύο φύσεσιν μετὰ τὴν ἐνανθρώπησιν καὶ τὴν τῆς σαρκὸς τῆς ἐκ τῆς ἁγίας Μαρίας πρόσληψιν δογματίζεσθαι καὶ τὸν παρὰ ταῦτα φρονοῦντα ὡς ἀλλότριον τῆς ἐκκλησίας ἀποκηρύττομεν.

303 Ἡ ἁγία σύνοδος εἶπεν· Οὐδεὶς δύο λέγει τὸν κύριον μετὰ τὴν ἕνωσιν. οὐκ ἦν Ἀμασείας ἐπίσκοπος. τὸν ἀμέριστον μὴ μέριζε. ταῦτα Νεστόριος ἐφρόνησεν. οὕτω Νεστόριος ἐφρόνησεν. οὐκ ἦν Ἀμασείας ἐπίσκοπος. οὐκ ἦν Ἀμασείας, Σινώπης ἐστίν.

304 Διόσκορος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Σιωπήσατε ὀλίγον· ἀκούσωμεν ἄλλων
L IIII 184 δυσφημιῶν. τί μεμφόμεθα Νεστορίοι μόνοι; πολλοὶ Νεστόριοί εἰσιν.

305 Ἰωάννης πρεσβύτερος καὶ πρῶτος νοταρίων εἶπεν· Ἐκ τῶν ἀναγινωσκομένων ἐκεῖνο ἐπισημαινώμεθα ὅτι πίστιν ἑτέραν παρὰ τὴν ἐκτεθεῖσαν ἐν τῇ Νικαέων καὶ
M VI 688 βεβαιωθεῖσαν ἐνταῦθα τὸ πρότερον ἐξέθεντο οἱ ταῦτα εἰπόντες.

306 Ὀλύμπιος ἐπίσκοπος Εὐάζων εἶπεν· Εἰ ἀρχὴν ἡ πίστις ἔχει ἐκ τῶν ὑπομνημάτων, οἱ δεδωκότες τὴν ἀρχὴν ἕστωσαν ἀνάθεμα.

307 Ὁ θεοφιλέστατος ἐπίσκοπος Σατορνῖνος τῆς Μαρκιανουπολιτῶν μητροπόλεως εἶπεν· Εἴ τις ἑτέρως φρονεῖ παρὰ τὰ ἀρτίως ἀναγνωσθέντα ἐπὶ τῆς ἁγίας ταύτης συνόδου, οὗτος κατὰ τοὺς τύπους τῶν αὐτῶν ἁγίων πατέρων ἀλλότριος ἤτω καὶ ἀκοινώνητος ἡμῖν ὡς μὴ ἐμμένων τοῖς καλῶς θεσπισθεῖσιν παρὰ τῶν ἁγίων πατέρων.

308 Ὁ θεοφιλέστατος ἐπίσκοπος Αἰθέριχος τῆς Σμυρναίων πόλεως εἶπεν· Καθὼς οἱ πατέρες οἱ παρόντες συνέθεντο, κἀγὼ συναινῶ καὶ συντίθεμαι καὶ πρὸ τούτου καὶ νῦν καὶ μετὰ ταῦτα καὶ εἰς τὸν μέλλοντα αἰῶνα.

309 Αἰθέριχος ἐπίσκοπος Σμύρνης εἶπεν· Ἐγὼ ταῦτα οὐκ εἶπον.

310 Διόσκορος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Τί λέγει;

311 Ἰωάννης πρεσβύτερος καὶ πρῶτος νοταρίων εἶπεν· Πλαστοῦ ἐπιλαμβάνεται.

312 Διόσκορος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Διδασκέτω ὁ εὐλαβέστατος ἐπίσκοπος Αἰθέριχος ἃ βούλεται.

313 Αἰθέριχος ἐπίσκοπος Σμύρνης εἶπεν· Αἰφνιδίως ἐπεισῆλθον ἐν Κωνσταντινουπόλει, προσέσχον δὲ τοῖς ἀκροαταῖς, εἶτα τοῦτον αὐτὸν τὸν μονάζοντα μετ' αὐτῶν, λέγει· κύρι, ὑπόγραψον. λέγω κἀγώ· τέως κἂν ἄφες ἴδωμεν· ἐπηκούσαμεν αὐτοῦ φανερά τινα. μετὰ ταῦτα λέγει· ἔκθου. ἐγὼ λέγω· ἐκθέσθαι οὐ δύναμαι. ἀληθῶς

303—306. 309—322 extant in Coll. Nouar. 10. 68—71. 74—87
305. 306. 303. 304 adfert Timotheus Aelurus f. 56b
5 ἐν ἐφέσῳ B^{mg} post εἶπεν] ἐπὶ διοσκόρου M
5 ἀνατροπὴ τοῦ ἐν δύο λέγεσθαι M^{mg}
16 ἐπὶ φλαβιανοῦ B^{mg} post 17 εἶπεν MpS 23 ἐπὶ διοσκόρου M^{mg} ἐπὶ διοσκόρου τῆσ ἐν χαλκηδόνι συνόδου B^{mg}

MB. p [usque ad 22], P [inde a 23]. SΦ. Λ^{n} [5—15. 23—119, 14]
3 postulatur δογματιζόμενον, δογματιζομένην Tim. 5 μετὰ τὴν ἕνωσιν τὸν κν̄ B ἕνωσιν] ἐνανθρώπησιν Tim. 7 οὕτω — ἐφρόνησεν om. B ἐφρόνει S οὐκ — ἐπίσκοπος om. Λ^{n} 8 Σινώπης ἐστίν i. e. Cynicus est 10 μόνοι om. B 11 ἀναγνωσθέντων B 12 ἐπισημαινώμεθα Λ^{n}Φ^{r} ἐπισημαινόμεθα MpSB *adnotauimus* Φ^{ac} 13 τὸ om. B 14 ἔχει ἡ πίστισ B 16 σατορνίλοσ M 19 ὁρισθεῖσι B 20/21 οἱ παρόντεσ πρεσ̄ S 25 πρεσβύτεροσ] ἐπίσκοποσ PS 29 τοῦτον — μονάζοντα] sc. Eutychen λέγει [sc. Flauianus] MPSΦΛ^{n} καὶ λέγει M^{corr}B 31 ἐγὼ δὲ B

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 2/18/16 11:45 PM

μὲν οἶδα, ἀλλ' οὐ δύναμαι εἰπεῖν, πλὴν λέγω· εἴ τις οὐ πιστεύει καθὼς οἱ τριακόσιοι δέκα καὶ ὀκτὼ καὶ οἱ ἐν Ἐφέσωι, ἀνάθεμα ἔστω καὶ ὧδε καὶ εἰς [ἐκεῖνον] τὸν μέλλοντα αἰῶνα.

314 Διόσκορος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Ταῦτα οὖν τὰ ἀναγνωσθέντα πλαστά εἰσιν;

315 Αἰθέριχος ἐπίσκοπος Σμύρνης εἶπεν· Οὐκ οἶδα ἐγώ.

316 Διόσκορος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Περαιτέρω τούτων οὐκ εἴρηκας;

317 Αἰθέριχος ἐπίσκοπος Σμύρνης εἶπεν· Οὔ.

318 Διόσκορος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Ἐπήκουσας δὲ τῶν δῆθεν παρὰ σοῦ εἰρημένων;

319 Αἰθέριχος ἐπίσκοπος Σμύρνης εἶπεν· Ἐπήκουσα.

320 Διόσκορος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Καὶ οὐκ εἴρηκας αὐτά;

321 Αἰθέριχος ἐπίσκοπος Σμύρνης εἶπεν· Οὔ.

322 Διόσκορος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Δῆλα τὰ κατατεθέντα παρὰ τοῦ παρόντος· ὅθεν ἀναγινωσκέσθω τὰ ἑξῆς.

323 Καὶ ἐν τῶι ἀναγινώσκεσθαι Αἰθέριχος ὁ εὐλαβέστατος ἐπίσκοπος Σμύρνης ἀναστὰς εἶπεν· Τὰ πρῶτα συνεθέμην καὶ ὑπέγραψα μόνον. ἀπῆλθον· εὐθέως ἐκολλήθη μοι Διόσκορος ὁ εὐλαβέστατος ἐπίσκοπος καὶ λέγει· διὰ τί ὑπέγραψας κατὰ Εὐτυχοῦς; λέγω· ἐγὼ ὑπέγραψα ὡς πάντες οἱ πατέρες ἡμῶν· εἰ δέ ἐστίν τί ποτε ἄλλο, εἰπατέ μοι. λέγει· τί ὑπέγραψας; λέγω· ὡς προσήνεγκάν μοι, ὑπέγραψα. ἀνάθεμα, εἴ τις οὐ πιστεύει τοῖς τριακοσίοις δεκαοκτὼ καὶ ὡς ⟨οἱ⟩ ἐν Ἐφέσωι· οὕτος ἀνάθεμα ἔστω. ὕστερον τί ἔγραψαν, οὐκ οἶδα· ἐπὶ πάντων εἶπα. M VI 689

324 Διόσκορος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Ἐνέγκηι δύο μάρτυρας.

325 Αἰθέριχος ὁ εὐλαβέστατος ἐπίσκοπος Σμύρνης εἶπεν· Ὡς Κύριλλος φρονῶ. L IIII 185

326 Οἱ ἐνδοξότατοι ἄρχοντες καὶ ἡ ὑπερφυὴς σύγκλητος εἶπον· Τίνος παρόντος ταῦτά σοι εἶπεν Διόσκορος ὁ εὐλαβέστατος ἐπίσκοπος;

327 Αἰθέριχος ὁ εὐλαβέστατος ἐπίσκοπος Σμύρνης εἶπεν· Ἐπὶ πάντων.

328 Θαλάσσιος ὁ εὐλαβέστατος ἐπίσκοπος Καισαρείας Καππαδοκίας εἶπεν· Ταῦτα ἃ γέγραπται, εἶπες ἐκτὸς ἀνάγκης· τί θέλεις ἄρτι καταστρέφειν;

329 Διόσκορος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Συκοφαντήσας οὐδὲν πάσχει; εἰ ἤμην καταγνωσθείς, οὐκ ἔπασχον;

Βερονικιανὸς ὁ καθωσιωμένος σηκρητάριος τοῦ θείου κονσιστωρίου ἀπὸ τοῦ αὐτοῦ σχεδαρίου ἀνέγνω

330 Τῶν Ῥωμαικῶν τούτων ἡ ἑρμηνεία Ἑλληνιστί ἐστι τὰ ἐπαγόμενα

Ὁ εὐλαβέστατος ἐπίσκοπος Οὐαλεριανὸς εἶπεν· Ἐγὼ ὁμολογῶ δύο γεννήσεις, ἐκ θείας καὶ ἐκ σαρκός, θείας μὲν ἐκ πατρός, σαρκὸς δὲ ἐκ μητρός· ἕνα καὶ τὸν αὐτὸν υἱόν

15 ἐν χαλκηδόνι $M^{mg}B^{mg}$

31 τῆσ ἐν κωνσταντινουπόλει B^{mg}

MBPSΦ

1/2 δεκαοκτὼ B 2 ἐκεῖνον MPΦ om. BSΛ^{n} 3 οὖν om. B 5 σμυρναίων B 6 περαιτέρω M^{corr}B περετέρων M παρ' ἑτέρων PS τούτων om. P 8 δὲ om. B δῆθεν om. S 11 καὶ om. B 13 ἐκτεθέντα B 15 σμυρναίων B ἀναστὰς om. B 16 ὑπογράψασ B μόνον καὶ PS om. B *abii Ephesiae* Φ^{r} 18 ἡμῶν] μου B 19 ὡς — ὑπέγραψα BΦ ὑπέγραψα ὡσ — μοι MPS 20 δέκα καὶ ὀκτὼ P ὡς οἱ Φ ὡσ MPB τοῖσ S οὗτος — ἔστω om. S ἐν ὑστέρω PS 21 ἔγραψαν BΦ ὑπέγραψαν MPS 23 Σμύρνης om. B 24 εἶπεν MP 26 Σμύρνης om. B 28 εἶπασ BS εἶπον P 29 Ἀλεξανδρείας om. B 32 σχιδαρίου P 33 τῶν — ἐπαγόμενα B τῶν — ἑρμηνεία ἐστὶ τὰ ἐπαγόμενα ἑλληνιστὶ PS om. M 34 οὐαλλεριανὸσ BΦ οὐαλέριοσ P οὐαλλέριοσ MS

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 2/18/16 11:45 PM

θεοῦ, καθὼς πάντες ὥρισαν οἱ πατέρες· δύο γεννήσεις ἐν ἑνὶ προσώπωι. οὕτως ὁμολογῶ καθὼς οἱ πατέρες οἱ τριακόσιοι δεκαοκτὼ οἱ συναχθέντες ἐν τῆι Νικαέων καὶ ὡς ἡ ἁγία σύνοδος ἡ ἐν Ἐφέσωι ἐψηφίσατο καὶ ὁ τῆς μακαρίας μνήμης Κύριλλος ὁ τῆς Ἀλεξανδρέων μεγαλοπόλεως ἐπίσκοπος ὥρισεν, οὕτως πιστεύω καὶ ὁμολογῶ.

331 Ὁ θεοφιλέστατος ἐπίσκοπος Λογγῖνος τῆς Χερσονησιτῶν πόλεως εἶπεν· Τῆι ἁγίαι καὶ μεγάληι συνόδωι τῆι τῶν τριακοσίων δεκαοκτὼ τῆι συναχθείσηι ἐν τῆι Νικαέων ἐπακολουθῶν καὶ ὁ ἐν ἁγίοις πατὴρ ἡμῶν Κύριλλος ὁ ἐπίσκοπος τὸ δόγμα ἐν τῆι ἐπιστολῆι ἐξέθετο μετὰ πάσης ἀκριβείας. ὅθεν κἀγὼ τῆι τοῦ θεοφιλεστάτου ἀρχιεπισκόπου Φλαβιανοῦ συναινέσει καὶ τῶν θεοφιλεστάτων ἐπισκόπων συντίθεμαι, εἰδὼς μετὰ τὴν ἐνανθρώπησιν τὴν ἐκ δύο φύσεων προσκυνεῖσθαι θεότητα τοῦ μονογενοῦς υἱοῦ τοῦ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. τοὺς δὲ ἐναντιουμένους τῆι τοιαύτηι πίστει ἀλλοτρίους ἡγούμεθα τῆς εὐσεβοῦς πίστεως τῆς ἁγιωτάτης ἐκκλησίας.

332 Καὶ ἐν τῶι ἀναγινώσκεσθαι Διόσκορος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀλεξανδρείας
M VI 692 εἶπεν· Τὸ ἐκ δύο δέχομαι· τὸ δύο οὐ δέχομαι. ἀναγκάζομαι καὶ ἀναισχυντεῖν· περὶ ψυχῆς μοί ἐστιν ὁ λόγος.

333 Εὐσέβιος ὁ εὐλαβέστατος ἐπίσκοπος Δορυλαίου εἶπεν· Αὐτός με ἤδη ἐφόνευσας.

334 Διόσκορος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Ἀπολογοῦμαι τῶι θεῶι καὶ ὧδε καὶ ἐκεῖ.

335 Εὐσέβιος ὁ εὐλαβέστατος ἐπίσκοπος Δορυλαίου εἶπεν· Καὶ τοῖς νόμοις, ὡς λέγεις οὖν; διὰ τί προσῆλθον; πάντως ἵνα δίκας σε ἀπαιτήσω· μὴ γὰρ προσαγορεύσων εἰσῆλθες ὧδε;

336 Τῶν Ῥωμαικῶν ἡ ἑρμηνεία Ἑλληνιστί ἐστι τὰ ἐπαγόμενα

Πασκασῖνος ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· Ἐπετρέπετο Φλαβιανῶι τῶι ἐπισκόπωι τούτου ἀκούοντος τοιαῦτα λαλεῖν οἷα καὶ οὗτος φθέγγεται;

337 Οἱ ἐνδοξότατοι ἄρχοντες καὶ ἡ ὑπερφυὴς σύγκλητος εἶπον· Ἀλλὰ ἐπὶ τοῦ παρόντος ἡ σύνοδος μετὰ δικαιοσύνης ἐπιτελεῖται.

338 Λουκίνσιος ὁ εὐλαβέστατος ἐπίσκοπος ἐπέχων τὸν ἀποστολικὸν θρόνον εἶπεν· Δικαία ἐστὶν ἡ σύνοδος· δοθήτω τούτωι κἀκείνωι δικαία ἀπόφασις.

Βερονικιανὸς ὁ καθωσιωμένος σηκρητάριος τοῦ θείου κονσιστωρίου ἀπὸ τοῦ αὐτοῦ σχεδαρίου ἀνέγνω

339 Ὁ θεοφιλέστατος ἐπίσκοπος Μελίφθογγος τῆς Ἰουλιοπολιτῶν εἶπεν· Κατὰ τὸν θεῖον
L IIII 188 ἀπόστολον κἂν ἄγγελος ἐξ οὐρανοῦ εὐαγγελίζηται ἡμῖν ἕτερόν τι παρὰ τὰ ἀρτίως
Gal. 1, 8 ἀνεγνωσμένα τῶν τε ἁγίων τῆς κατὰ Νίκαιαν συνόδου καὶ Ἔφεσον πατέρων, ἀνάθεμα

---

5 post εἶπεν [119, 34 apponi debebat] ἐπὶ φλαβιανοῦ $M^{mg}P$ 13 ἐν [τῆσ ἐν B^{mg}] χαλκηδόνι $M^{mg}PS^{mg}B^{mg}$ 31 [post εἶπεν MP] ἐπὶ φλαβιανοῦ MPS^{mg} ἐν κωνσταντινουπόλει B^{mg}

MBPSΦ

1 πάντες om. S *sic ergo* Φ 2 δέκα καὶ ὀκτὼ P οἱ καὶ B 3 καὶ ὡσ S 5 χερσονησητῶν MP, corr. M χερσονησιωτῶν B χερσονήσου S *chersonae* $Φ^{ac}$ *chersonensium ciuitatis* $Φ^{r}$ 6 τῆι¹ om. B 7 ἐπακολουθῶ καὶ ὡσ S κύριλλοσ ὁ ἐπίσκοποσ BΦ^{cr} ἐπίσκοποσ κύριλλοσ MPΦ^{a} τὸ om. B 9 συναινέσει καὶ MPSΦ συναινῶ διαλαλιᾶ καὶ ταῖσ B 10/11 υἱοῦ τοῦ] αὐτοῦ P 13 ἀναγνωσθῆναι B 14 τὸ ἐν δύο¹ [δυσὶν P]PS λέγω περὶ B 15 ἡμῖν B 16 δορυλλαίου MPSB, corr. M 17. 19 ὁ εὐλαβέστατοσ om. B 19 δορυλλαίου MPB, corr. M καὶ] *sed et* $Φ^{r}$ 21 post ὧδε habet 29. 30 βερονικιανὸσ — ἀνέγνω et notam marginalem ἐν κωνσταντινουπόλει B 22 τῶν — ἐπαγόμενα cum nota marginali ἐν χαλκηδόνι B om. MPS 23 πασχασῖνοσ PS 25 καὶ — σύγκλητοσ om. B εἶπεν MP 26 ἐπιτέλλεται PS 28 ἐστὶν om. B ἡ ἀπόφασισ B 29. 30 hic om. B 30 σχιδαρίου P 31 ἡλιουπόλεωσ B 32 ὑμῖν P 33 τῆσ τῶν ἁγίων πρων τῶν κατὰ νίκαιαν ἁγίασ συνόδου καὶ τῶν κατ' ἔφεσον B 33 ἐφέσου MPS πατέρων om. S

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 2/18/16 11:45 PM

ἔστω. καὶ οἱ μὴ ὁμολογοῦντες τὰς πρὸς ἑνότητα τὴν ἀληθινὴν συνενεχθείσας δύο φύσεις εἰς ἕνα καὶ τὸν αὐτὸν υἱὸν τοῦ θεοῦ, θεὸν ἀληθινὸν ἐκ θεοῦ ἀληθινοῦ, Χριστὸν Ἰησοῦν ἀνάθεμα ἔστωσαν· οἱ δὲ καινουργοῦντές τι παρὰ τὰς τῶν ἁγίων ἀποστόλων καὶ πατέρων ἐκθέσεις καὶ ταράσσοντες τὴν τοῦ θεοῦ ἐκκλησίαν βαστάσουσι τὸ κρίμα, οἵτινες ἂν ὦσιν. Gal. 5, 10

340 Ὁ θεοφιλέστατος ἐπίσκοπος Ἰουλιανὸς τῆς Κῶ εἶπεν· Οὐδεὶς τῶν εὖ φρονούντων ἐναντιωθῆναι δύναται τῇ ἐκτεθείσῃ πίστει παρὰ τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίαι καὶ πάλιν παρὰ τῆς ἁγίας καὶ μεγάλης σύνοδου τῆς συγκροτηθείσης ἐν τῇ Ἐφεσίων μητροπόλει. ὁμολογοῦμεν τοίνυν τὰς δύο φύσεις ἐν ἑνὶ προσώπωι, δι' ὃ ἕνα υἱόν, ἕνα κύριον Ἰησοῦν Χριστόν. καὶ εἴ τις σατανικῇ μανίαι φερόμενος καὶ τῶι ἰδίωι λογισμῶι, ὡς γε νομίζει, ἐξακολουθῶν ἄλλο τι φρονεῖ παρ' ὃ παρὰ τῶν προηγησαμένων ἁγίων πατέρων παρειλήφαμεν, ἔστω τῆς ἐκκλησίας ἀλλότριος.

341 Καὶ ἐν τῶι ἀναγινώσκεσθαι Διόσκορος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Ἰδοὺ τούτου ἐπιλαμβάνομαι· μετὰ γὰρ τὴν ἕνωσιν δύο φύσεις οὐκ εἰσίν.

Βερονικιανὸς ὁ καθωσιωμένος σηκρητάριος ⟨τοῦ θείου κονσιστωρίου⟩ ἀπὸ τοῦ αὐτοῦ σχεδαρίου ἀνέγνω M VI 693

342 Ὁ θεοφιλέστατος ἐπίσκοπος Σάβας πόλεως Παλτοῦ εἶπεν· Ἐμάθομεν ἀκολουθεῖν τοῖς πατράσιν. καὶ γὰρ οἱ πατέρες ἡμῶν οἱ κατὰ Νίκαιαν οὐκ ἀφ' ἑαυτῶν ἐλάλησαν ⟨ἃ ἐλάλησαν⟩, ἀλλ' ὃ τὸ πνεῦμα τὸ ἅγιον ὑπηγόρευσεν. ὁμοίως καὶ ὁ θεοφιλέστατος καὶ ὁσιώτατος μακάριος Κύριλλος ἐκ πνεύματος ἁγίου ἐλάλησεν τὰ τῶν πατέρων καὶ ἐφθέγξατο. ἠκολούθησεν δὲ αὐτῶι καὶ ὁ ἀρχηγὸς τῆς Ἀνατολῆς ὁ θεοφιλέστατος Ἰωάννης ὁ ἐπίσκοπος τῆς Ἀντιοχείας· τούτωι δὲ ἠκολούθησεν καὶ ⟨ὁ⟩ πρῶτος διαλαλήσας, ὁ θεοφιλέστατος ἐπίσκοπος Βασίλειος. τοῦτο κἀγὼ φρονῶ καὶ ὁμολογῶ καὶ εἴ τις ἐν πάσηι τῆι οἰκουμένηι ταύτην τὴν πίστιν μὴ φρονεῖ, οὐ μόνον ἐμοὶ ἀλλότριος, ἀλλὰ καὶ πᾶσιν τοῖς ὀρθῶς πιστεύουσιν. παρακαλῶ δὲ τὴν ὑμετέραν ὁσιότητα τοῦτον τὸν τόμον καὶ εἰς τὴν Ἀνατολὴν πέμψαι καὶ ἀπαλλάξαι ἡμᾶς βλασφημίας, καὶ εἴ τις οὐχ ὑπογράφει εἰς τὸν τόμον, γένηται ἀλλότριος ἡμῶν.

343 Ὁ θεοφιλέστατος ἐπίσκοπος Θωμᾶς Οὐαλεντινιανουπόλεως εἶπεν· Ψυχωφελῶν ὄντων τῶν τῆς εὐσεβείας δογμάτων τῶν ἐκτεθέντων παρὰ τῆς ἁγίας συνόδου τῆς κατὰ τὴν Νικαέων συναθροισθείσης καὶ κατὰ τὴν Ἐφεσίων μητρόπολιν, οὕτως καὶ πεπιστεύκαμεν καὶ τοὺς ὑφ' ἡμᾶς διδάσκομεν λαοὺς καὶ τὸν μὴ οὕτως φρονοῦντα ἀλλότριον εἶναι συμψηφιζόμεθα τῆς ὀρθοδόξου ἐκκλησίας.

344 Ὁ θεοφιλέστατος ἐπίσκοπος Τρύφων πόλεως Χίου τῶν Νήσων εἶπεν· Κατὰ τὴν ἔκθεσιν τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίαι καὶ τοῦ μακαρίου καὶ ἐν ἁγίοις ἀρχιεπισκόπου Κυρίλλου οὕτως καὶ ἐπιστεύσαμεν καὶ πιστεύομεν καὶ τοὺς μὴ πιστεύοντας τοῖς δόγμασιν

---

340 adfert Timotheus Aelurus f. 56a

13 ἐν χαλκηδόνι $M^{mg}B^{mg}$, [post ἀναγινώσκεσθαι] PS

17 ἐπὶ φλαβιανοῦ $M^{mg}S^{mg}$, post ἀνέγνω P, ἐν κωνσταντινουπόλει B^{mg}

M BPSΦ

1 ἀληθινὴν M^{corr}B ἀλήθειαν MPS δύο om. B 2 θεὸν om. B ῑ̄ν̄ χ̄ν̄ S 4 ἐὰν B 6 τῆς Κῶ om. PS 8 πάλιν om. S 9 δι' ὃ om. S 9/10 υἱόν, ἕνα om. B 11 νομίζω B παρὰ τὰ τῶν B 12 πατέρων ἃ B 15 τοῦ — κονσιστωρίου Φ om. MBPS 16 σχιδαρίου P 17 σάββας B 18 κατὰ τὴν B 19 ἃ ἐλάλησαν $Φ^r$ om. MBPS$Φ^{ac}$ ἀλλ' ὃ Φ ἀλλὰ MBPS 20 καὶ μακαριώτατος B τῶν ἁγίων B 22 *quondam episcopus* Φ ἀντιοχέων B ὁ² Φ om. MBPS πρῶτος] *superius* Φ 23 τούτοις S 24 ταύτῃ τῇ πίστει S 25 ὑμῶν S 26 πεμφθῆναι καὶ — ἀνατολήν MPS 27 οὐκ ἀπογράφει PS ἡμῖν ἀλλότριος B 28 οὐαλεντινιανουπολιτῶν B 30 τὴν om. P 31 τὸν — λαὸν MPS 33 νήσων εἶπεν om. PS νησίων B 34 καὶ² BΦ τοῦ MPS 35 καὶ πιστεύομεν BΦ om. MPS

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 2/18/16 11:45 PM

τῶν πατέρων ἀναθεματίζομεν καὶ ἀλλοτρίους τῆς ἁγιωτάτης ἐκκλησίας αὐτοὺς κρίνομεν.

345 Ὁ θεοφιλέστατος ἐπίσκοπος Τιμόθεος πόλεως Πριμοπόλεως εἶπεν· Τοῖς εὐσεβῶς
L IIII 189 καὶ ὀρθοδόξως θεσπισθεῖσιν παρὰ τῶν ἁγίων πατέρων τῶν ἐν τῇ Νικαέων [τούτοις] καὶ ὁ τῆς μακαρίας μνήμης πατὴρ ἡμῶν Κύριλλος γενόμενος ἐπίσκοπος τῆς Ἀλεξ- 5
ανδρέων ἐξακολουθήσας δόγματα θεοφιλῆ παρέδωκεν ἡμῖν. τούτοις καὶ συντιθέμεθα καὶ συναινοῦμεν. ὅθεν ὁ τούτοις μὴ ἐξακολουθῶν ἔστω ἀλλότριος τῆς ἁγίας τοῦ θεοῦ ἐκκλησίας.

346 Ὁ θεοφιλέστατος ἐπίσκοπος Εὐδόξιος Βοσπόρου εἶπεν· Ὁ τρισμακάριος πατὴρ ἡμῶν Κύριλλος ἐξακολουθῶν τῇ ἐν Νικαίαι ἁγίαι καὶ μεγάλῃ συνόδωι εὐδηλον 10
M VI 696 ἡμῖν ἐποίησεν περὶ τῆς τοῦ Χριστοῦ καὶ σωτῆρος ἡμῶν παρουσίας ὅτιπερ ὁ πρὸ τῶν
Col. 2, 14 αἰώνων θεὸς ὁ υἱὸς τοῦ πατρὸς ἐνηνθρώπησεν ἐπ' ἐσχάτων, ἵνα σχίσηι τὸ καθ' ἡμῶν χειρόγραφον, καὶ ἄνθρωπον τέλειον ἀνέλαβεν διὰ τὴν ἡμετέραν σωτηρίαν. πᾶς οὖν ὁ μὴ συναινῶν τοῖς ἐκτεθεῖσιν παρὰ τῶν ἁγίων πατέρων ἑαυτὸν ἀλλοτριοῖ πάσης ἱερατικῆς κοινωνίας καὶ τῆς τοῦ Χριστοῦ παρουσίας. 15

347 Καὶ ἐν τῶι ἀναγινώσκεσθαι Εὐστάθιος ὁ εὐλαβέστατος ἐπίσκοπος Βηρυτοῦ εἶπεν· Ἄνθρωπον οὐκ ἀνέλαβεν, ἀλλ' ἄνθρωπος ἐγένετο· σάρκα δὲ ἀνέλαβεν.

Βερονικιανὸς ὁ καθωσιωμένος σηκρητάριος τοῦ θείου κονσιστωρίου ἀπὸ τοῦ αὐτοῦ σχεδαρίου ἀνέγνω

348 Ὁ θεοφιλέστατος ἐπίσκοπος Εὐστόχιος πόλεως Δοκιμίου εἶπεν· Τὴν γενομένην 20
παρὰ τῆς ἁγίας συνόδου τῆς ἐν Νικαίαι τῶν ἁγίων πατέρων ἔκθεσιν καὶ τὰς ὑπαναγνωσθείσας ἡμῖν ἐπιστολὰς τοῦ ὁσιωτάτου καὶ θεοφιλεστάτου ἐπισκόπου Κυρίλλου καὶ τοὺς ἐκτεθέντας κανόνας καὶ πίστιν παρὰ τῆς ἁγίας καὶ μεγάλης συνόδου τῆς ἐν Ἐφέσωι συμφωνοῦντα πάντα ἀλλήλοις εὕρομεν. τοιγαροῦν οὕτως καὶ πιστεύω καὶ ὁμολογῶ καὶ τὸν παρὰ ταῦτα φρονοῦντα ἀλλότριον κρίνω τῆς ἁγίας καθολικῆς ἐκκλησίας καὶ τῆς 25
τῶν ὀρθοδόξων πίστεως.

349 Ὁ θεοφιλέστατος ἐπίσκοπος Ἰουλιανὸς πόλεως Μωστήνης εἶπεν· Δήλων ὄντων καὶ ψυχωφελῶν τῶν ἀναγνωσθέντων ἡμῖν κανονικῶν γραμμάτων τῶν ἐκτεθέντων παρὰ τοῦ μακαριωτάτου καὶ ἐν ἁγίοις Κυρίλλου καὶ τῶν ἐν Νικαίαι καὶ ἐν Εφέσωι ἁγιωτάτων συνόδων, οὕτω κἀγὼ φρονῶ καὶ πιστεύω καὶ εἴ τις παρὰ ταῦτα φρονεῖ, ἀλλότριος ἔστω 30
τῆς ἁγιωτάτης ἐκκλησίας καὶ τῆς ὀρθῆς πίστεως.

350 Ὁ θεοφιλέστατος ἐπίσκοπος Κοσσίνιος πόλεως Ἱεροκαισαρείας εἶπεν· Ἐπακούσας τῶν ἀναγνωσθεισῶν ἐπιστολῶν τῶν ὁσίων πατέρων ἡμῶν καὶ τῶν πραχθέντων

9—13 adfert Timotheus Aelurus f. 56a

16 ἐν χαλκηδόνι [post εἶπεν] M, [post ἀναγινώσκεσθαι] PS τῆσ ἐν χαλκηδόνι Bmg 20 ἐπὶ φλαβιανοῦ Mmg ἐν κωνσταντινουπόλει Bmg

---

M BPSΦ

1 ἁγίασ B 3 πόλεως om. B τριμοπόλεωσ S εὐσεβέσι PS 3/4 ὀρθοδόξωσ — εὐσεβῶσ B 4 πιστευθεῖσι B κριθεῖσι S τούτοισ MBPS om. Φ 5 κύριλλοσ γενόμενοσ BΦ γενόμενοσ κύριλλοσ ὁ MP 7 μὴ τούτοισ MPS ἔσται B 8 θῦ BΦ χῦ MPS 9 εὐδόξιοσ ἐπίσκοποσ B 11 τὸ περὶ B σρσ̄ ἡμῶν καὶ χῦ B 13 ἡμῶν S 14/15 κοινωνίασ ἱερατικῆσ B 18 ὁ om. M 19 σχιδαρίου P 24 ηὕρομεν MPS, corr. M 25 ἁγίασ BΦ ἁγίασ καὶ MP 27 μωστήνησ M μωστίνησ P μοστήνησ S μοτρώνησ B 28 τῶν^{2}] καὶ S 29 τῶν BS τῆσ MP ἐν^{2} om. S ἁγιωτάτων] ἁγίων ἡμῶν B 30 φρονῶ MSBΦ καὶ φρονῶ M^{corr}P 31 ἁγιωτάτησ] τοῦ θῦ S ὀρθοδόξου B 32 σιγνοπόλεωσ PS σισίννιοσ πόλεωσ M^{corr}B *cossinius* Φ^{er} *cossignius* Φ^{r} *cossegrius* Φ^{a} 33 ἁγίων B

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 2/18/16 11:45 PM

ἐν τῇι Ἐφεσίων μητροπόλει κατὰ τοὺς ἁγίους κανόνας τοὺς ἐκτεθέντας ἐν τῇι Νικαέων πόλει, οὕτως φρονοῦμεν καὶ πιστεύομεν καὶ διδάσκομεν τὸν ὑφ' ἡμᾶς λαὸν καὶ εἴ τις ἕτερον φρονεῖ, ἀλλότριος ἔστω τῆς ἁγίας καθολικῆς ἐκκλησίας [τοῦ θεοῦ].

351 Ὁ θεοφιλέστατος ἐπίσκοπος Ἰωάννης πόλεως Οὐρκανῶν εἶπεν· Τοῖς ἀρτίως ἀναγνωσθεῖσιν καὶ πάλαι παρὰ τῶν ἐν Νικαίαι ἁγίων πατέρων ἐκτεθεῖσιν καὶ ὑπὸ τῶν ὁσίων ἐπισκόπων κηρυχθεῖσιν ὀρθοδόξως συντίθεμαι καὶ στοιχῶ, τὸν δὲ ἑτέρως φρονοῦντα ὡς παραφρονοῦντα καὶ ἀποστρέφομαι καὶ ἀλλότριον κρίνω τῆς ὀρθοδόξου πίστεως, χάριτι Χριστοῦ μετὰ πάντων τῶν ἁγίων πατέρων ἐρηρεισμένος.

352 Ὁ θεοφιλέστατος ἐπίσκοπος Εὐσέβιος εἶπεν· Ἐπειδὴ τινὲς τῶν θεοφιλεστάτων ἐπισκόπων τῶν ἐνδημούντων ταύτηι τῇι βασιλευούσηι πόλει ἢ δι' ἀσθένειαν ἢ ἀγνοήσαντες τὴν κλῆσιν τῆς ἁγίας συνόδου οὐ συνῆλθον, ἀξιῶ τοὺς ἀπολειφθέντας διὰ τοῦ M VI 697
εὐλαβεστάτου πρεσβυτέρου καὶ νοταρίου Ἀστερίου καὶ διὰ τῶν εὐλαβεστάτων διακόνων L IIII 192
καὶ νοταρίων ὑπομνησθῆναι ὥστε καὶ αὐτοὺς γνόντας τὰ πραχθέντα τὴν ἑαυτῶν γνώμην φανερὰν ποιῆσαι.

353 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Οἱ εὐλαβέστατοι νοτάριοι τοὺς ἀπολειφθέντας τῶν θεοφιλεστάτων ἐπισκόπων ὑπομνήσουσιν ὑπαναγινώσκοντες αὐτοῖς τὰ πραχθέντα ἐφ' ὧι τε ἕκαστον καταθέσθαι τὴν οἰκείαν γνώμην.

354 ΤΡΙΤΗ ΠΡΑΞΙΣ. Προκαθεζομένου τοῦ ἁγιωτάτου καὶ ὁσιωτάτου ἀρχιεπισκόπου ἡμῶν Φλαβιανοῦ καὶ συνεδρευούσης αὐτῶι τῆς ἁγίας σύνοδου αὖθις ἐν τῶι σηκρήτωι τοῦ ἐπισκοπείου, ἡμέραι δευτέραι, μηνὸς Νοεμβρίου πεντεκαιδεκάτηι ἐν ὑπατείαι τῆ προγεγραμμένηι

355 ὁ θεοφιλέστατος ἐπίσκοπος Εὐσέβιος εἶπεν· Τετάρτη σήμερον παρελήλυθεν ἡμέρα ἀφ' οὗ προσῆλθον τῇι ὑμετέραι ἁγιωσύνηι ἐξαιτῶν Εὐτυχῆ τὸν πρεσβύτερον 234. 238
καὶ ἀρχιμανδρίτην ἀπαντῆσαι εἰς τὴν ἁγίαν ὑμῶν σύνοδον ὀφείλοντα διελεγχθῆναι παρ' ἐμοῦ ὅτιπερ τὰ τῆς ὀρθοδοξίας δόγματα διέφθειρεν καὶ ἑτέρως φρονεῖ ἢ καθὼς πιστεύει ἡ καθολικὴ ἐκκλησία, καὶ ἀξιῶ τοὺς ἀποσταλέντας ἐξ ἐκείνου παρὰ τῆς ὑμετέρας ἁγιωσύνης ἐρωτηθέντας εἰπεῖν ποίας τετυχήκασιν παρ' αὐτοῦ ἀποκρίσεως.

356 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Λεγέτωσαν οἱ νοτάριοι τίνες εἰσὶν οἱ ἤδη ἀποσταλέντες.

357 Οἱ νοτάριοι εἶπον· Πρώην ἐκέλευσεν ἡ ὑμετέρα ἁγιωσύνη τὸν θεοσεβέστατον 235
πρεσβύτερον καὶ ἔκδικον Ἰωάννην καὶ τὸν εὐλαβέστατον διάκονον Ἀνδρέαν παρα- 31
γενέσθαι πρὸς τὸν εὐλαβέστατον πρεσβύτερον καὶ ἀρχιμανδρίτην Εὐτυχῆ, καὶ πάρεισιν ἀμφότεροι.

358 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Στήτωσαν ἐπὶ τῆς ἁγίας συνόδου καὶ λεγέτω

---

18 Γ̄ πρᾶξις [om. PS] ἐν κωνσταντινουπόλει ἐπὶ φλαβιανοῦ M^{mg}, [post 21 προγεγραμμένηι] PS

MBPSΦ

2 καὶ φρονοῦμεν καὶ B ἕτερον BΦ ἑτερόν τι MPS 3 ἁγίασ BΦ ἁγίασ καὶ MP ἐκκλησίας Φ ἐκκλησίασ τοῦ θῦ MP τοῦ θῦ ἐκκλησίασ B 4 οὐρκανῶν MPS *yrcanorum* Φ^{a} *hyrcanorum* Φ^{cr} πυρκάνων B 5 ὁσίων] ἁγίων B 6 κηρυχθεῖσιν] δεχθεῖσιν B ὀρθοδόξοισ P 8 πατέρων om. S 10 ἐν ταύτη B βασιλίδι B 10/11 ἀγνοοῦντεσ B 12 διὰ om. S 13 πεπραγμένα B αὐτῶν B 15 ἐπίσκοποσ φλαβιανὸσ BΦ 16 ὑπομνήσωσιν PS 17 ἰδίαν B 18 Τρίτη πρᾶξισ MS πρᾶξισ γ̄ τῶν ἐν κωνσταντινουπόλει συναχθέντων ἁγίων πρῶν B om. P 18/19 ἀρχιεπισκόπου ἡμῶν φλαβιανοῦ MPΦΛ^{n} ἀρχιεπισκόπου φλαβιανοῦ S φλαβιανοῦ ἐπισκόπου B 19 σεκρέτω PSB 20 ἐπισκόπου PS *die tertia* Coll. Nou. 10, 91 μηνὶ νοεμβρίω B ἐν om. B 22 ἐπίσκοποσ δορυλλαίου BΦ ἀναστὰσ ἐν μίσω εἶπεν B 23 εὐτυχῆν MPS, corr. M 24 ἡμῶν PS, corr. P ὡσ ὀφείλοντα B 25/26 ἡ — ἐκκλησία πιστεύει S 26 ἐξ ἐκείνου om. B ἵν' ἐκείνου S 28 ἀρχιεπίσκοποσ φλαβιανὸσ BΦ 28/29 δὴ ἀποσταλέντοσ M, corr. M διαποσταλέντεσ P ἀποσταλέντεσ S 30 θεοφιλέστατον B 32 εὐτυχῆν MP, corr. M 34 ἐπίσκοποσ MP 34/124, 1 καὶ — πρότερον om. S

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 2/18/16 11:45 PM

πρότερον ὁ εὐλαβέστατος πρεσβύτερος καὶ ἔκδικος Ἰωάννης εἰ ἀπῆλθεν ἐπὶ τῆι κλήσει τοῦ πρεσβυτέρου καὶ ἀρχιμανδρίτου Εὐτυχοῦς καὶ εἰ συντετύχηκεν αὐτῶι καὶ τί ἤκουσεν παρ' αὐτοῦ.

359 Ὁ εὐλαβέστατος πρεσβύτερος καὶ ἔκδικος Ἰωάννης εἶπεν· Πρώην τοῦ θεοφιλεστάτου ἐπισκόπου Εὐσεβίου προσελθόντος ἐν συνεδρίωι τῆι ὑμετέραι ἁγιωσύνηι καὶ αἰτιασαμένου
225 τὸν εὐλαβέστατον πρεσβύτερον καὶ ἀρχιμανδρίτην Εὐτυχῆ καὶ βιβλίον ἔγγραφον ἐπιδεδωκότος τὸ καταδηλοῦν νοσεῖν αὐτὸν τὰ τῶν αἱρετικῶν πάθη καὶ ἐξαιτήσαντος προσκληθέντα αὐτὸν ἐπὶ τῆς ὑμετέρας ἁγιωσύνης ἀπολογήσασθαι ἐπὶ τοῖς ἐπαγομένοις
M VI 700 αὐτῶι παρ' αὐτοῦ, πρόνοιαν ποιουμένη ἡ ὑμετέρα ἀπαραλόγιστος σοφία προσέταξεν διαβῆναι ἐμέ τε καὶ τὸν εὐλαβέστατον διάκονον Ἀνδρέαν πρὸς αὐτὸν ἐν τῆι μονῆι αὐτοῦ καὶ καλέσαι αὐτὸν ἀπολογησόμενον. τούτου δὲ γενομένου καὶ παραγενομένων ἡμῶν πρὸς αὐτὸν ἐν τῆι μονῆι αὐτοῦ τούς τε λιβέλλους αὐτῶι ὑπανέγνωμεν καὶ τὰ ἴσα αὐτῶι δεδώκαμεν καὶ τὸν αἰτιασάμενον κατεδηλώσαμεν καὶ κατεμηνύσαμεν αὐτῶι τὴν κλῆσιν καὶ τὴν ἀπολογίαν τὴν ἐπὶ τῆς ὑμετέρας ἁγιωσύνης. ὁ δὲ τὸ μὲν ἀπαντῆσαι καὶ ἀπολογήσασθαι παντελῶς ἀπηρνήσατο, εἰρηκὼς τοῦτο προωρίσθαι αὐτῶι καὶ ὅρωι τινὶ κεκρατηκέναι ἀπ' ἀρχῆς τὸ μηδαμῶς ἀλλαχόσε ἀποβαίνειν αὐτὸν τῆς ἑαυτοῦ
L III 193 συνοδίας, τρόπωι δέ τινι ὡς ἐν τάφωι διατρίβειν ἐν τῆι μονῆι· γνωσθῆναι δὲ τῆι ὑμετέραι ἁγιωσύνηι δι' ἡμῶν ἐξήιτησεν ὅτιπερ ὁ θεοφιλέστατος ἐπίσκοπος Εὐσέβιος ἐχθρὸς αὐτῶι πάλαι τυγχάνων λοιδορίας καὶ ὕβρεως χάριν ταύτην τὴν κατηγορίαν κατ' αὐτοῦ ἐποιήσατο. ἕτοιμον γὰρ ἑαυτὸν εἶναι ἔφασκεν ταῖς ἐκθέσεσιν τῶν ἁγίων πατέρων τῶν τε ἐν Νικαίαι καὶ ἐν Ἐφέσωι τὴν σύνοδον ποιησαμένων συντίθεσθαι καὶ ὑπογράφειν ταῖς ἑρμηνείαις αὐτῶν ὡμολόγει, εἰ δέ που τύχοι τι παρ' αὐτῶν ἔν τισιν λέξεσιν ἢ διασφαλθὲν ἢ διαπλανηθέν, τοῦτο μήτε διαβάλλειν μήτε καταδέχεσθαι, μόνας δὲ τὰς γραφὰς ἐρευνᾶν ὡς βεβαιοτέρας οὔσας τῆς τῶν πατέρων ἐκθέσεως. μετὰ δὲ τὴν ἐνανθρώπησιν τοῦ θεοῦ λόγου, τουτέστιν μετὰ τὴν γέννησιν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μίαν
φύσιν προσκυνεῖν καὶ ταύτην θεοῦ σαρκωθέντος καὶ ἐνανθρωπήσαντος. καὶ βιβλίον τι τοιοῦτον προκομίσας ὑπανεγίνωσκεν, προσετίθει δὲ ὅτι λοιδορίας τινός, ὡς ἔφη, λεχθείσης κατ' αὐτοῦ ὡς αὐτοῦ εἰρηκότος ὅτι γε δὴ ἐξ οὐρανοῦ τὴν σάρκα ὁ θεὸς λόγος κατενήνοχεν, αὐτὸς ἀνεύθυνος τυγχάνει τῆς τοιαύτης λοιδορίας. τὸ δὲ ἐκ δύο φύσεων ἑνωθεισῶν καθ' ὑπόστασιν γεγενῆσθαι τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν μήτε μεμαθηκέναι ἐν ταῖς ἐκθέσεσιν τῶν ἁγίων πατέρων μήτε καταδέχεσθαι, εἰ τύχοι τι αὐτῶι τοιοῦτο παρά τινος ὑπαναγινώσκεσθαι, διὰ τὸ τὰς θείας γραφάς, ὡς ἔλεγεν, ἀμείνονας εἶναι τῆς τῶν πατέρων διδασκαλίας. καὶ ταῦτα λέγων ὡμολόγει τέλειον θεὸν εἶναι καὶ τέλειον ἄνθρωπον τὸν γεννηθέντα ἐκ τῆς παρθένου Μαρίας μὴ ἔχοντα σάρκα ὁμοούσιον ἡμῖν. τοῦτο δὲ ἐμοὶ διαλεγόμενος εἶπεν.

360 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Ταῦτα αὐτὸς μόνος ἐπήκουσας ἢ καὶ ὁ ἅμα
M VI 701 σοι ἀποσταλεὶς διάκονος Ἀνδρέας;

361 Ὁ εὐλαβέστατος πρεσβύτερος καὶ ἔκδικος Ἰωάννης εἶπεν· Ἐν ὧι ταῦτά μοι ἐνε-

---

33. 34 adfert Timotheus Aelurus f. 56b
359—361 iterum lecta sunt infra 620. 643, cf. etiam 648
22—24 cf. infra 620. 362. 363 iterum lecta sunt infra 665

MBPSΦΛn

1 πρῶτος B 2 συνέτυχεν B 5 ἐπισκόπου om. B συνελθόντος S 6 εὐτυχῆν MPS, corr. M 7 τὸ om. B 11 ἀπολογησάμενον S 12 ὑπανέγνωμεν αὐτῶ B 12/13 δεδώκαμεν αὐτῶ B 13 αἰτησάμενον P 18 αὐτοῦ B 21 τε om. B 22 ὁμολογῶν PS 23 μηδὲ — μηδὲ MPS δέχεσθαι PS 27 προσκομίσας MPS τινὰς PS ὡς ἔφην PS om. Φ 27/28 λεχθείσας PSΦ 29 ὡς αὐτὸς MPS ἀναίτιος τυγχάνοι B 30 γεγεννῆσθαι Pcorr Φac 31 τι αὐτῶι] τινὶ αὐτῶν B 33 ὁμολογεῖ PS θῦ τέλειον B 36 ἤκουσας S

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 2/18/16 11:45 PM

τέλλετο εἰς τὸ ἀναγαγεῖν τῇι ὑμετέραι ὁσιότητι, παρῆν καὶ ὁ εὐλαβέστατος διάκονος Ἀνδρέας.

362 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Λεγέτω καὶ ὁ εὐλαβέστατος διάκονος Ἀνδρέας εἰ ταῦτα ἐπήκουσεν παρὰ τοῦ εὐλαβεστάτου πρεσβυτέρου καὶ ἀρχιμανδρίτου Εὐτυχοῦς λεγόμενα.

363 Ὁ εὐλαβέστατος διάκονος Ἀνδρέας εἶπεν· Κατὰ τὴν κέλευσιν τῆς ὑμετέρας ἁγιωσύνης ἀπήλθομεν πρὸς τὸν εὐλαβέστατον πρεσβύτερον καὶ ἀρχιμανδρίτην Εὐτυχῆ καὶ διαλεχθέντες αὐτῶι ταῦτα παρ' αὐτοῦ ἠκούσαμεν ἃ καὶ ὁ εὐλαβέστατος πρεσβύτερος καὶ ἔκδικος Ἰωάννης ἤδη κατέθετο.

364 Ὁ εὐλαβέστατος πρεσβύτερος καὶ ἔκδικος Ἰωάννης εἶπεν· Ἐν αὐτῶι τῶι καιρῶι τῆς διαλέξεως τοῦ εὐλαβεστάτου πρεσβυτέρου καὶ ἀρχιμανδρίτου Εὐτυχοῦς, ὅτε ταῦτα ἡμῖν ἐνετέλλετο ἀναγαγεῖν τῇι ὑμετέραι ἁγιωσύνηι, καὶ ὁ εὐλαβέστατος διάκονος τοῦ θεοφιλεστάτου ἐπισκόπου Βασιλείου ἐκεῖσε παρὼν ἐτύγχανεν καὶ ἐπήκουσεν τῶν λεγομένων, δι' ὃ ἀξιῶ κληθέντα αὐτὸν ἐρωτᾶσθαι ὅ τι γε δὴ τούτων ἐπήκουσεν.

365 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Λεγέτωσαν οἱ εὐλαβέστατοι νοτάριοι εἰ ὁ διάκονος ὁ συνὼν τῶι θεοφιλεστάτωι ἐπισκόπωι Βασιλείωι ὁ καὶ μνημονευθεὶς παρὰ τοῦ εὐλαβεστάτου πρεσβυτέρου καὶ ἐκδίκου Ἰωάννου πάρεστιν ἐνταῦθα.

366 Οἱ νοτάριοι εἶπον· Πάρεστιν ἐνταῦθα ὁ συνὼν τῶι θεοφιλεστάτωι ἐπισκόπωι Βασιλείωι τῶι καὶ συνεδρεύοντι τῇι ὑμετέραι ὁσιότητι.

367 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Στήτω ἐν μέσωι.

368 Καὶ μετὰ τὸ στῆναι ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Τίς λέγει; L III 196

369 Καὶ εἶπεν· Ἀθανάσιος.

370 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Ποίου βαθμοῦ τυγχάνεις ἐκκλησιαστικοῦ;

371 Ἀθανάσιος εἶπεν· Διάκονός εἰμι.

372 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Ποίας πόλεως;

373 Ἀθανάσιος διάκονος εἶπεν· Σελευκείας τῆς ὑπὸ τὸν ἁγιώτατον ἐπίσκοπον Βασίλειον.

374 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Λέγε τί ἀκήκοας παρόντων τῶν εὐλαβεστάτων Ἰωάννου τοῦ πρεσβυτέρου καὶ ἐκδίκου καὶ Ἀνδρέου τοῦ διακόνου παρὰ τοῦ εὐλαβεστάτου πρεσβυτέρου καὶ ἀρχιμανδρίτου Εὐτυχοῦς περὶ τῆς πίστεως.

375 Ἀθανάσιος διάκονος εἶπεν· Ταῦτα ἤκουσα ἅπερ καὶ ὁ θεοφιλέστατος πρεσβύτερος καὶ ἔκδικος Ἰωάννης κατέθετο καὶ ὁ εὐλαβέστατος διάκονος Ἀνδρέας.

376 Ὁ θεοφιλέστατος ἐπίσκοπος Εὐσέβιος εἶπεν· Ἐξαρκεῖ μὲν τὰ διηγορευμένα παρὰ τοῦ εὐλαβεστάτου πρεσβυτέρου καὶ ἐκδίκου Ἰωάννου καὶ τοῦ εὐλαβεστάτου διακόνου Ἀνδρέου καὶ ἡ γεγενημένη κατάθεσις παρὰ Ἀθανασίου τοῦ εὐλαβεστάτου διακόνου τῆς κατὰ Σελεύκειαν ἁγίας ἐκκλησίας δηλῶσαι ὅπερ ἔχει ἀσεβὲς φρόνημα καὶ ὑπεναντίον ταῖς ἐκθέσεσιν τῶν ἁγίων πατέρων, πλὴν δέομαι τῆς ὑμετέρας ἁγιωσύνης καὶ πάλιν δεύτερον αὐτὸν κληθῆναι· ἑτοίμως γὰρ ἔχω διελέγχειν αὐτὸν διὰ πολλῶν μαρτύρων M VI 704 κακῶς φρονήσαντα καὶ φρονοῦντα καὶ διδάσκοντα.

377 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Γένοιτο αὐτὸν παραγενόμενον καὶ ἐπιγνόντα

365 denuo incipit [cf. supra 225. 230] antiquissima uersio Latina [Λ^a] ex ipsis Gestis Synodi Constantinopolitanae desumpta, quae extat in Collectione Nouariensi 2 [uol. II 1 p. 3 sq.]

MBPSΦ, Λ^a [inde a 15]

1 ὑμῶν S 5 λεγόμενα om. S 7 εὐτυχῆν MPS, corr. M 10 Ὁ — εἶπεν om. PS 13/14 τῶν λεγομένων ἐπήκουσε S ἤκουσε τῶν λεγομένων B 16 εὐλαβεστάτω B ὁ καὶ] καὶ ὁ P 18 εὐλαβεστάτω B 20 εἰσ μέσον B 22 καὶ BΦΛ^a ὁ δὲ MPS 26 διάκονοσ BΦΛ^a om. MPS 28 τοῦ[1] om. B 29 τῆς om. P 30 ὁ διάκονοσ MS, corr. M, ὁ εὐλαβέστατοσ διάκονοσ P καὶ] κατέθετο B 31 καὶ[3]] δὲ καὶ B 34 γενομένη B διακόνου om. P 35 ἁγίασ BΦ ἁγιωτάτησ MP ἔχει εὐτυχὴσ ὁ πρεσβύτεροσ B 38 φρονήσαντα καὶ om. SΛ^a

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 2/18/16 11:45 PM

τὸ ἑαυτοῦ πταῖσμα εἰς μετάνοιαν ἐλθεῖν, ἐπείπερ ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς χαίρει
cf. Mt. 18, 12 ἐπὶ τῇι σωτηρίαι τῶν ἀπολλυμένων καὶ περινοστῶν αὐτὸς πρῶτος ἐπιζητεῖ τὸ πλανώμενον πρόβατον. δι' ὃ καὶ αὖθις ἀποσταλέντες Μάμας καὶ Θεόφιλος οἱ εὐλαβέστατοι πρεσβύτεροι ὑπομνήσουσιν αὐτὸν ἀποδιδόντες αὐτῶι τὸ παρ' ἡμῶν ἀποσταλὲν αὐτῶι τῆς κλήσεως γράμμα ἐφ' ὧι τε καταλαβεῖν τὴν ἁγίαν σύνοδον σκανδαλισθεῖσαν οὐ μόνον ἐκ τῶν ἐπιδοθέντων κατ' αὐτοῦ κατηγορικῶν λιβέλλων παρὰ Εὐσεβίου τοῦ θεοφιλεστάτου ἐπισκόπου, ἀλλὰ γὰρ καὶ ἐκ τῆς γενομένης καταθέσεως ὡς κακῶς φρονοῦντος αὐτοῦ καὶ ἐμμένοντος παρὰ Ἰωάννου τοῦ θεοσεβεστάτου πρεσβυτέρου καὶ ἐκδίκου καὶ Ἀνδρέου καὶ Ἀθανασίου τῶν εὐλαβεστάτων διακόνων, εἴ πως ἐλθὼν καὶ ἐξεμέσας τὴν προτέραν αὐτοῦ δυσσέβειαν καὶ ἐπιγνοὺς τὴν ὀρθὴν πίστιν καὶ τὴν ἔκθεσιν τῶν ἁγίων πατέρων ἡμῶν συγγνώμης ἀξιωθείη τῆς πρεπούσης παρ' ἡμῶν δίδοσθαι τοῖς εἰς μετάνοιαν ὁρῶσιν.

378 Ὁ θεοφιλέστατος ἐπίσκοπος Εὐσέβιος εἶπεν· Καταξιώσηι ἡ ὑμετέρα ἁγιωσύνη κελεῦσαι ἀναγνωσθῆναι πρότερον καὶ τὸ ὑπαγορευθὲν παρὰ τῆς ἁγίας συνόδου τῆς κλήσεως γράμμα, ὥστε καὶ αὐτὸ ἐμφέρεσθαι τοῖς ὑπομνήμασιν.

379 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Ἀναγινωσκέσθω καὶ ἐνταττέσθω τῆι πίστει τῶν ὑπομνημάτων.

380 Ἡ ἁγία καὶ μεγάλη σύνοδος ἡ κατὰ θεοῦ χάριν ἐνδημοῦσα ἐν τῆι φιλοχρίστωι καὶ
L IIII 197 βασιλευούσηι Κωνσταντινουπόλει Ῥώμηι τῶι εὐλαβεστάτωι πρεσβυτέρωι καὶ ἀρχιμανδρίτηι Εὐτυχεῖ. Καὶ νῦν δευτέραι σε κλήσει ταύτηι καλοῦμεν διὰ Μάμα καὶ Θεοφίλου τῶν εὐλαβεστάτων πρεσβυτέρων ἐπὶ τῶι ἀπαντῆσαι ἀνυπερθέτως ἀπολογησόμενον τῆι ἁγίαι συνόδωι ἐγκαλούμενον παρὰ τοῦ θεοφιλεστάτου ἐπισκόπου Εὐσεβίου ὡς ἀλλότρια τῆς πίστεως φρονήσαντα καὶ φρονοῦντα καὶ προσδιαλεγόμενον πρός τινας. ἦκε τοίνυν εἰς τὸ συνέδριον μηδὲν ἀναβαλλόμενος, ἵνα μὴ ὡς ἀποφεύγων τὸν κατὰ πρό-
M VI 705 σωπον ἔλεγχον ὑποπέσηις τοῖς ἐκ τῶν θείων κανόνων ἐπιτιμίοις. οὐ γὰρ εὐπρόσωπός ἐστιν ἀπολογία λέγειν σε κεκρικέναι μὴ προιέναι τοῦ μοναστηρίου τὸν περὶ τηλικούτων κατηγορούμενον.

381 Ἔτι καθεζομένης τῆς ἁγίας συνόδου καὶ ἐκδεχομένης Μάμαν καὶ Θεόφιλον τοὺς εὐλαβεστάτους πρεσβυτέρους τοὺς ἀποσταλέντας καλέσαι Εὐτυχῆ τὸν εὐλαβέστατον πρεσβύτερον καὶ ἀρχιμανδρίτην ἀναγινωσκομένων τε αὐτοῖς τῶν ἐκθέσεων περὶ τῆς πίστεως τῶν ἁγίων πατέρων, ἐξαναστὰς ἐν μέσωι ὁ θεοφιλέστατος ἐπίσκοπος Εὐσέβιος εἶπεν· Οὐδὲν ἀτόλμητον τῶι εἰς θεὸν δυσσεβήσαντι καὶ ἀλλότρια τῆς ὀρθῆς πίστεως φρονήσαντι προπετῶς πάντα ποιεῖν. ἔγνων γὰρ ὡς ὅτι Εὐτυχὴς ὁ πρεσβύτερος καὶ ἀρχιμανδρίτης τόμον ἀπέστειλεν εἰς τὰ μοναστήρια καὶ εἰς στάσιν διεγείρει μοναχούς. καὶ ἐπειδὴ τοῦτο αὐτὸ πρὸς ἀσφάλειαν τῆς ἐκκλησίας καὶ τῆς ἁγίας συνόδου συμβάλλεται τὸ περιεργασθῆναι τὸ τοιοῦτο καὶ γνωσθῆναι ὁποῖα ἤδη τυρεύει καὶ κατασκευάζει ἐπισύστασιν ποιούμενος, ἀξιῶ ἐνταῦθα ὄντα τὸν πρεσβύτερον τὸν ἐν τῶι μαρτυρίωι τοῦ Ἑβδόμου εἰπεῖν εἴ γε ἀπέστειλε τόμον καὶ ἐποίησεν ὑπογραφὰς γενέσθαι.

---

19 [4 B^{mg}] κλῆσισ δευτέρα εὐτυχοῦσ M^{mg}B^{mg}

MBPSΦΛ^{n}

1 ἦκειν B 2 τῆι om. B ἐπιζητεῖ PSΦΛ^{n} ἐπεζήτει MB 4/5 τὰ — ἀποσταλθέντα — γράμματα S 6 κατηγορητικῶν B 8 θεοφιλεστάτου B 11 ἡμῶν om. SΛ^{n} 12 καταξιώσηι ΦΛ^{n} καταξιώσει MBPS 15 ἀναγνωσθήτω B 17 χάριν θῦ B καὶ om. B 18 Ῥώμηι om. S 19 σε om. S ταύτηι om. B 20 τὸ P ἀπολογησάμενον PS 21 εὐσεβίου τοῦ ἐπισκόπου B 22 πρόσ τινασ MPSΦ τισὶν B 24 ὑποπέσοισ MPSB, corr. M ἀπρόσωπόσ S 25 τῶ μοναστηρίω PS 27 μάμαντα B 28 εὐτυχῆν MPS, corr. M εὐλαβέστατον om. B 29/30 τῶν περὶ πίστεωσ ἐκθέσεων B 30 ἐν μέσω BΦ^{r}Λ^{n} ἐκ μέσου MPSΦ^{ac} 31 ἀσεβήσαντι B ὀρθοδόξου B 35 περιεργάζεσθαι PS τὸ^{1} — γνωσθῆναι om. B τὸ τοιοῦτον P τῶ τοιούτω S 36/37 τῶ ἑβδόμω B 37 εἴ γε] εἴ τε P εἶπ' S

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 2/18/16 11:45 PM

382 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Ἐνταῦθα πάρεστι περὶ οὗ ταῦτα κατέθου;
383 Οἱ νοτάριοι εἶπον· Πάρεστιν.
384 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Στήτω ἐν μέσωι.
385 Καὶ στάντος αὐτοῦ ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Τίς λέγηι;
386 ὁ δὲ εἶπεν· Ἀβράμιος.
387 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Ποίωι βαθμῶι τετίμησαι;
388 Ἀβράμιος εἶπεν· Πρεσβύτερός εἰμι ἐν τῶι Ἑβδόμωι ὑπὸ τὴν σὴν ὁσιότητα.
389 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Ἐπήκουσας ὧν κατέθετο ὁ θεοσεβέστατος ἐπίσκοπος Εὐσέβιος;
390 Ἀβράμιος εἶπεν· Ναί, τῶν ποδῶν σου.
391 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Εἰπὲ ποῖα ταῦτα;
392 Ἀβράμιος πρεσβύτερος εἶπεν· Μανουήλιος ὁ πρεσβύτερος καὶ ἀρχιμανδρίτης ἀπέστειλέν με πρὸς τὸν πρεσβύτερον Ἀστέριον ἀναγγεῖλαι αὐτῶι ταῦτα ὅτι Εὐτυχὴς ὁ πρεσβύτερος καὶ ἀρχιμανδρίτης ἔπεμψεν αὐτῶι τόμον περὶ τῆς πίστεως καὶ ἔπειθεν αὐτὸν ὑπογράψαι εἰς αὐτόν. καὶ ταῦτα ἐδήλωσεν, ἵνα τῆι ὑμετέραι ὁσιότητι ἀπαγγείληι ὁ πρεσβύτερος Ἀστέριος.
393 Ὁ θεοφιλέστατος ἐπίσκοπος Εὐσέβιος εἶπεν· Ἐπειδὴ οὐκ ἄχρι τοῦ μοναστηρίου Μανουηλίου τοῦ πρεσβυτέρου τοῦτο ἂν ἐτόλμησεν ποιῆσαι, ἀξιῶ πεμφθῆναι εἰς τὰ ἄλλα μοναστήρια καὶ μαθεῖν πότερον κάκεῖ ἀπέστειλεν τόμον εἰς τὸ ὑπογράψαι ὡς ἀθετουμένης τῆς πίστεως ἢ οὔ. L IIII 200 M VI 708
394 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Κατὰ τὰς αἰτήσεις τοῦ θεοφιλεστάτου ἐπισκόπου Εὐσεβίου διαβήσονται εἰς τὰ μοναστήρια, εἰς μὲν τὰ ἐν τῆι πόλει Πέτρος ὁ εὐλαβέστατος πρεσβύτερος καὶ Πατρίκιος ὁ εὐλαβέστατος διάκονος, εἰς δὲ τὰ πέραν ἐν Συκαῖς Ῥητόριος πρεσβύτερος καὶ Εὐτρόπιος διάκονος, εἰς δὲ τὰ ἐν Χαλκηδόνι Παῦλος καὶ Ἰωάννης οἱ πρεσβύτεροι ἐπὶ τῶι γνῶναι παρ' αὐτῶν εἰ ἀπεστάλη αὐτοῖς τόμος παρὰ τοῦ πρεσβυτέρου καὶ ἀρχιμανδρίτου Εὐτυχοῦς πείθοντος αὐτοὺς ἢ ὑποτιθεμένου καθυπογράψαι.
395 Καὶ τούτων λεγομένων παρὰ τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου, Ἀέτιος διάκονος καὶ νοτάριος εἶπεν· Οἱ ἀπεσταλμένοι τήμερον παρὰ τῆς ὑμετέρας ἁγιωσύνης εὐλαβέστατοι πρεσβύτεροι Μάμας καὶ Θεόφιλος πρὸς τὸν εὐλαβέστατον πρεσβύτερον καὶ ἀρχιμανδρίτην Εὐτυχῆ παραγεγόνασιν.
396 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Λεγέτωσαν οἱ εὐλαβέστατοι πρεσβύτεροι οἱ διακονησάμενοι τοῖς δόξασιν τῆι ἁγίαι συνόδωι τί ἀκηκόασιν παρὰ τοῦ εὐλαβεστάτου πρεσβυτέρου καὶ ἀρχιμανδρίτου Εὐτυχοῦς καὶ εἴπερ ἑτοίμως ἔχει παραγενέσθαι εἰς τὸ συνέδριον τῆς ἁγίας ταύτης συνόδου.
397 Ὁ εὐλαβέστατος πρεσβύτερος Μάμας εἶπεν· Καταλαβόντες τὸ μοναστήριον τοῦ εὐλαβεστάτου πρεσβυτέρου καὶ ἀρχιμανδρίτου Εὐτυχοῦς εὕρομεν μονάζοντας ἑστῶτας πρὸ τοῦ πυλῶνος καὶ εἰσήλθομεν μετ' αὐτῶν ἔσω ἐν τῶι μοναστηρίωι. λέγομεν αὐτοῖς ὅτι μηνύσατε· συντυχεῖν γὰρ ἔχομεν τῶι ἀρχιμανδρίτηι, ἀποσταλέντες παρὰ τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου καὶ τῆς παρούσης ἁγίας συνόδου. καὶ ἔλεγον ἡμῖν ὅτι

MBPSΦΛ[a]

1—4 ὁ — εἶπεν (3) στήτω — στάντος — εἶπεν (1) ἐνταῦθα — κατέθου οἱ νοτάριοι — πάρεστιν ὁ — εἶπεν (4) τίς λέγη MPS 4 λέγει S 5. 10. 12 ἀβράμιος BS ἀβραάμιος MP 7 ἀβραάμιος M 6—8 Ποίω — εἶπεν om. PS 9 ἐπίσκοπος om. B 11/12 Εἰπὲ — εἶπεν om. PS 12 ὁ om. S 13 με] μὲν S 14 ὁ πρεσβύτερος εὐτυχὴς B 15 τελειότητι B 15/16 ἀναγγείλη B 18 ἂν ἐτόλμησεν] ἀπετόλμησε PS πεποιηκέναι B 19 πότερον BΦΛ[a] πρότερον εἰ MPS 22 Εὐσεβίου om. B ἀναβήσονται S 24 ὁ πρεσβύτερος B ὁ διάκονος B καλχηδόνι M καὶ om. P 25 τὸ S πρὸς αὐτοὺς B 26/27 καθυπογράφειν B 31 εὐτυχῆν MPS, corr. M 35 ἁγίας ταύτης PSΦ ἁγιωτάτης M ἁγίας BΛ[a] 37 ἠῦρομεν MP 38 καὶ λέγομεν PS

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 2/18/16 11:45 PM

ὁ κύρισ ὁ ἀρχιμανδρίτης ἀρρωστεῖ καὶ θεάσασθαι ὑμᾶς οὐ δύναται. τί οὖν δοκεῖ ὑμῖν ἢ τί ἀπεστάλητε, εἴπατε ἡμῖν. ἡμεῖς δὲ οὐκ ἠνεσχόμεθα, εἰπόντες αὐτοῖς ὅτι ἡμεῖς πρὸς ἐκεῖνον αὐτὸν ἀπεστάλημεν καὶ ἔγγραφον ἀποστολὴν πληροῦμεν καὶ ἔχομεν μετὰ χεῖρας τὸ γραφὲν παρὰ τῆς ἁγίας συνόδου πρὸς αὐτόν. οἱ δὲ εἰσελθόντες πάλιν ἐξῆλθον καὶ ἤγαγον μεθ' ἑαυτῶν Ἐλευσίνιόν τινα μονάζοντα, λέγοντες ὅτι ἐπειδὴ ὁ ἀρχιμανδρίτης ἡμῶν ἀρρωστεῖ, αὐτὸν ἀπέστειλεν εἰς τὸν τόπον αὐτοῦ, ἵνα αὐτῶι τὰ δηλωθέντα εἴπητε. ἡμεῖς δὲ οὐδ' οὕτως εἰλόμεθα εἰπεῖν αὐτῶι, ἀλλ' ἔφημεν ὅτι εἰ δέχεται ἡμᾶς ἀποσταλέντας παρὰ τοῦ ἁγιωτάτου καὶ ὁσιωτάτου ἀρχιεπισκόπου καὶ τῆς ἁγίας καὶ μεγάλης συνόδου, εἴπατε ἡμῖν. εἶτα θεασάμενοι αὐτοὺς θορυβουμένους καὶ πρὸς ἀλλήλους ψιθυρίζοντας καὶ λέγοντάς τινα, [καὶ] ὡς οὐκ ἐλαμβάνομεν ἀπόκρισιν θορυ-
M VI 709 βουμένων αὐτῶν διὰ τὸ ἔγγραφον εἶναι τὴν ἀποστολήν, εἴπομεν αὐτοῖς ὅτι τί θορυβεῖσθε; οὐδέν ἐστιν ἐπαχθές. τὰ γεγραμμένα οὐκ ἐστιν κρυπτά, ἀλλὰ λέγομεν καὶ ἡμεῖς τὴν δύναμιν τῶν γραφέντων· ὑπέμνησεν αὐτὸν ἡ ἁγία σύνοδος δεύτερον ἤδη τοῦτο ὥστε ἀπαντῆσαι αὐτὸν καὶ ἐφ' οἷς κατηιτιάθη παρὰ τοῦ θεοφιλεστάτου Εὐσεβίου τοῦ ἐπισκόπου, συστῆναι καὶ ἀπολογήσασθαι ἐγκαλούμενον. τότε εἰσελθόντες ἐμήνυσαν καὶ ἐδέξατο ἡμᾶς ὁ προειρημένος εὐλαβέστατος πρεσβύτερος καὶ ἀρχιμανδρίτης Εὐτυχής. εἰσελθόντες ἐπεδώκαμεν τὸν ἀποσταλέντα χάρτην. ἐποίησεν ἀναγνωσθῆναι ἐφ' ἡμῶν. μετὰ [δὲ] τὴν ἀνάγνωσιν λέγει ὅτι ἐγὼ ὅρον ἐθέμην ὥστε τοῦ μοναστηρίου
L IIII 201 μὴ ἐξελθεῖν ἄνευ θανατικῆς ἀνάγκης. συνορᾶι δὲ καὶ ἡ ἁγία σύνοδος καὶ ὁ θεοφιλέστατος ἀρχιεπίσκοπος ὅτι καὶ γέρων εἰμὶ καὶ σαθρός. εἴπομεν ἡμεῖς ὅτι καταξίωσον ἐλθεῖν καὶ ἐφ' οἷς ἠτιάθης, ἀπολογήσασθαι ἐπὶ τῆς ἁγίας συνόδου. καὶ εἶπεν ὅτι ἐγὼ οὐκ ἐξέρχομαι τοῦ μοναστηρίου μου τῶι κρίσιν ταύτην ἐσχηκέναι με. εἰ δὲ βούλεται ὁ θεοφιλέστατος ἀρχιεπίσκοπος καὶ ἡ ἁγία σύνοδος πρᾶξαί τι, ὃ δοκεῖ αὐτοῖς, πράξουσιν. ἐν δὲ παρακαλῶ, μὴ σκυλῆναί τινα εἰς ἄλλην ἀγωγήν· κέκριται γάρ μοι μὴ ἐξελθεῖν. ἵνα οὖν μὴ μέλλωσιν καὶ πάλιν πέμπειν, ὃ θέλουσιν, καὶ πρὸ τοῦ καλέσαι με τὸ τρίτον πράξουσιν· ἐμοὶ γὰρ ὡς κεκληκότες εἰσίν. παρεκάλεσεν δὲ ἡμᾶς εἰπεῖν τῆι ἁγιωσύνηι τοῦ κύρου ταῦτα. ἠνάγκαζεν δὲ ἡμᾶς καὶ χάρτην τινὰ γεγραμμένον ἐπικομίσασθαι, καὶ οὐχ εἰλόμεθα καταδέξασθαι, εἰπόντες ὅτι εἴ τι βούλει, παραγενόμενος δίδαξον. εἶτα ἡμῶν ταῦτα πρὸς αὐτὸν λεγόντων ἠνέχθη ὁ χάρτης καὶ ἠθέλησεν ποιῆσαι ἡμῖν ὑπαναγνωσθῆναι. καὶ οὐδὲ οὕτως κατεδεξάμεθα ἀκοῦσαι, ἀλλὰ λαβὼν ὑπέγραφεν αὐτῶι καὶ ἡμεῖς συνταξάμενοι ἐξήλθομεν, εἰπόντος αὐτοῦ ὅτι ἀποστελῶ τῆι ἁγίαι συνόδωι τὸν χάρτην τοῦτον μετὰ καὶ τῆς ἐμῆς ὑπογραφῆς.

398 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Λεγέτω καὶ ὁ εὐλαβέστατος πρεσβύτερος Θεόφιλος τίνα ἐπήκουσεν παραγενόμενος πρὸς τὸν εὐλαβέστατον πρεσβύτερον καὶ ἀρχιμανδρίτην Εὐτυχῆ ἅμα τῶι εὐλαβεστάτωι πρεσβυτέρωι Μάμαι.

399 Ὁ εὐλαβέστατος πρεσβύτερος Θεόφιλος εἶπεν· Παραγενόμενος ἅμα τῶι εὐλαβεστά-

MBPSΦΛ^{n}

1 κῦρισ BΦΛ^{n} κ̄σ̄ MPS 4 ἐξῆλθον] ἐξήγαγον PS 6 ἑαυτοῦ B τὰ δηλωθέντα αὐτῶ B 7 ἡμεῖς δὲ om. B 9/10 θορυβουμένους — ψιθυρίζοντας] *ad inuicem se intuentes et perturbatos et murmurantes* Λ^{n} 10 καὶ MPS om. BΛ^{n} 12 καὶ ἡμεῖσ MPSΦ καὶ ὑμῖν B *uobis* Λ^{n} 13 τοῦτο δεύτερον ἤδη B 14 καὶ om. S 14/15 ἐπισκόπου εὐσεβίου B 16 εὐλαβέστατος om. B 17 εἰσελθόντεσ MΦ καὶ εἰσελθόντεσ BPSΛ^{n} τὸν MPSΛ^{n} αὐτῶ τὸν BΦ ἐποίησεν MΛ^{n} ὃν καὶ [καὶ om. S] ἐποίησεν PS ἐποίησε δὲ αὐτὸν B 18 μετὰ δὲ MPS καὶ μετὰ BΦ μετὰ Λ^{n} ὅριον B 20 καὶ^{1}] ἐγὼ B 21 καὶ — ἠτιάθης] καὶ εὐθὺσ ἠτιάθησ PS ἐπὶ τοῖσ αἰτιαθεῖσιν B ὅτι om. B 22 μου om. BΛ^{n} τὸ S 24 τινα BΛ^{n}Φ τινασ MPS 25 ὃ θέλουσιν] ἐθέλουσι PS τὸ om. B 26 πράξωσιν MPS 26/27 ἁγιωσύνηι — κύρου] ἁγία συνόδω S 26 ἁγιότητι B 27 κύρου scripsi *domni* Φ κ̄ῡ MPBΛ^{n} γεγραμμένην S 28 εἰλάμεθα MS, corr. M παραγενάμενοσ M 29 ποιῆσαι om. SΦΛ^{n} 30 ὑπέγραψεν B 31 ἀποστελῶ BSΛ^{n} ἀποστέλλω MPΦ 32 καὶ om. B 35 εὐτυχῆν MP, corr. M μάμαντι B 36 παραγενομένου μου S

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 2/18/16 11:45 PM

τωι πρεσβυτέρωι Μάμαι ἔνθα ἐστὶν τὸ μοναστήριον Εὐτυχοῦς τοῦ πρεσβυτέρου καὶ ἀρχιμανδρίτου, ταῦτα ἐπήκουσα λέγοντος αὐτοῦ ὅτι εἰ μήτι γε θάνατος, οὐδέν με ἐκβάληι ἐκ τοῦ μοναστηρίου, ἐπεὶ κέκριταί μοι καὶ ἀδύνατόν με ἐξελθεῖν. καὶ τὰ ἄλλα δὲ πάντα ὅσα ἐλέχθη παρὰ τοῦ εὐλαβεστάτου πρεσβυτέρου Εὐτυχοῦς, κατέθετο ὁ εὐλαβέστατος πρεσβύτερος Μάμας, ἅπερ κἀγὼ ἐπήκουσα.

400 Ὁ θεοφιλέστατος ἐπίσκοπος Εὐσέβιος εἶπεν· Σκῆψίς ἐστιν ἀεὶ καὶ πρόφασις τῶν ὑπευθύνων ὥστε τὰς ὑπερθέσεις ἐμποιεῖν. οὐδὲ γὰρ ἐν τοῖς ἐναγομένοις ἐστὶν τὸ M VI 712 παραιτεῖσθαι ἢ τόπωι ἑαυτοὺς περιγράφειν. ἀλλὰ παρακαλῶ, ἡ δυναστεία τῶν ἁγίων κανόνων καὶ νῦν ἐπαγρυπνήσηι ἐπὶ τῶι καταιτιαθέντι καὶ κελεύσατε αὐτὸν καὶ ἄκοντα ἐνταῦθα ἐλθεῖν.

401 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Ἐπακούσασα ἡ ἁγία σύνοδος τῶν δηλωθέντων παρὰ τοῦ εὐλαβεστάτου πρεσβυτέρου καὶ ἀρχιμανδρίτου Εὐτυχοῦς διὰ τῶν ἀπεσταλμένων εὐλαβεστάτων πρεσβυτέρων τὸ παριστάμενον ἀποφηνάσθω.

402 Ἡ ἁγία σύνοδος εἶπεν· Εὔλογόν ἐστιν καὶ τρίτον ὑπομνησθῆναι παρὰ τῆς ἁγίας ταύτης καὶ μεγάλης συνόδου τὸν εὐλαβέστατον πρεσβύτερον καὶ μονάζοντα Εὐτυχῆ ὥστε ἀπαντῆσαι ἐν τῆι ἁγίαι ταύτηι συνόδωι, ὡς εἴ γε τοῦτο μὴ ποιήσει, μέμψεται ἑαυτῶι.

403 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Οἱ εὐλαβέστατοι πρεσβύτεροι Μέμνων ὁ σκευοφύλαξ καὶ Ἐπιφάνιος καὶ Γερμανὸς ὁ διάκονος παραγενόμενοι πρὸς τὸν εὐλαβέστατον πρεσβύτερον καὶ ἀρχιμανδρίτην Εὐτυχῆ τὸ τρίτον τῆς κλήσεως γράμμα τὸ διαπεμφθὲν παρὰ τῆς ἁγίας συνόδου διακομίσωσιν πρὸς αὐτὸν ὥστε αὐτὸν παραγενέσθαι καὶ ἀπολογήσασθαι τοῖς ἐπαγομένοις.

Καὶ εἶχεν τὸ παραναγνωστικὸν τὸ ἀποσταλὲν δι' αὐτῶν οὕτως

404 Ἡ ἁγία καὶ μεγάλη σύνοδος ἡ κατὰ θεοῦ χάριν ἐνδημοῦσα ἐν τῆι φιλοχρίστωι L IIII 204 καὶ βασιλευούσηι Κωνσταντινουπόλει Ῥώμηι τῶι εὐλαβεστάτωι πρεσβυτέρωι καὶ ἀρχιμανδρίτηι Εὐτυχεῖ. Οὐκ ἀγνοεῖς ἴσως τὰ τοῖς θείοις κανόσιν διηγορευμένα κατὰ τῶν ἀπειθούντων καὶ μὴ ἀνεχομένων ἀπαντῆσαι εἰς ἀπολογίαν, ὅταν καὶ τρίτη κλῆσις πρὸς αὐτοὺς γένηται. ἵνα τοίνυν μὴ σαυτὸν περιπείρηις τοῖς ὑπ' αὐτῶν εὐσεβῶς διηγορευμένοις, νῦν γοῦν τὸ τρίτον παρ' ἡμῶν καλούμενος διὰ τῶν εὐλαβεστάτων πρεσβυτέρων Μέμνονος τοῦ σκευοφύλακος καὶ Ἐπιφανίου καὶ τοῦ εὐλαβεστάτου διακόνου Γερμανοῦ θέλησον παραγενέσθαι εἰς τὴν ἐπιοῦσαν ἕωθεν, τουτέστιν τῆι τετάρτηι ἡμέραι, τῆι ἑπτακαιδεκάτηι τοῦ Νοεμβρίου μηνός.

405 Καὶ τῆι ἑξῆς ἡμέραι, ἥτις ἐστὶν ἑξκαιδεκάτη τοῦ Νοεμβρίου μηνός, ἡμέραι τρίτηι, προκαθεζομένου τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου καὶ τῆς ἁγίας συνόδου καὶ διαλεγο-

---

24 τρίτη κλῆσις εὐτυχοῦς B^{mg} 33 πρᾶξις δ̄ ἐν κωνσταντινουπόλει M^{mg} πρᾶξις τετάρτη τῶν ἐν κωνσταντινουπόλει συνελθόντων ἁγίων πατέρων B in textu

---

MBPSΦΛ^{a}

1 μάμαντι BPS ἡ μονῆ S 2 εἰ — ἐκβάλη BΛ^{a} μήτι [εἰ μήτι M^{corr}Φ^{r}] με θάνατος ἐκβάλη [ἐκβάλει S] MPSΦ 3 ἐκ om. B τῆς μονῆς S με] μοι SΦ om. Λ^{a} 4 ἐλέγχθη M πρεσβυτέρου MPSΦΛ^{a} πρεσβυτέρου καὶ ἀρχιμανδρίτου B 4/5 μάμας ὁ εὐλαβέστατος πρεσβύτερος B 6 σκέψις PSΦ^{r}, cf. notam Rustici 7 ποιεῖν B 9 ἐπαγρυπνήσει BPS καὶ] om. S 11/12 δηλωθέντων om. S 12 εὐτυχοῦς δηλώσει αὐτῶ B 13 ἀποσταλμένων PS ἀποφήνασθαι B 15 μονάζοντα BΦ^{ac}Λ^{a} ἀρχιμανδρίτην MPSΦ^{r} εὐτυχῆν MPS, corr. M 16 ὡς om. BS γε] δὲ B μὴ ποιήσει τοῦτο S ποιήση MP μέμψηται PS 17 ἑαυτόν B 20 εὐτυχῆν MPS, corr. M τὸ^{3} om. B 21 διακομίσουσι B εἰσ S 23 καὶ εἶχεν MPSΛ^{a} εἶχε δὲ BΦ 24 ἐν om. B 25 *Romae nouae* Λ^{a} καὶ] τῶ S 26 εὐτυχῆ MS, corr. M ἴσωσ B ὡσ MPS 28 εἰσ B ἑαυτὸν B 29 παρ' ἡμῶν om. B 31/32 τῆ ῑ̄ζ̄ S τῆσ ἑπτακαιδεκάτησ B 33 *ūl septima decima* Φ^{c} in uno codice ἡμέραι τρίτηι om. BS

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 2/18/16 11:45 PM

μένου περὶ θείων δογμάτων τοῦ αὐτοῦ ἁγιωτάτου ἀρχιεπισκόπου Ἀσκληπιάδης διά-
M VI 713 κονος καὶ νοτάριος ἐμήνυσεν λέγων· Μονάζοντές τινες ἀπὸ τῶν τοῦ πρεσβυτέρου καὶ ἀρχιμανδρίτου Εὐτυχοῦς καὶ Ἀβράμιος ὁ εὐλαβέστατος πρεσβύτερος καὶ ἀρχιμανδρίτης ἔξω εἰσὶν καὶ παρακαλοῦσιν εἰσελθεῖν.

406 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Εἰσίτωσαν.

407 Καὶ εἰσελθόντος Ἀβραμίου τοῦ εὐλαβεστάτου πρεσβυτέρου καὶ ἀρχιμανδρίτου καὶ Ἐλευσινίου καὶ Κωνσταντίνου καὶ Κωνσταντίου τῶν διακόνων τῆς μονῆς τοῦ εὐλαβεστάτου πρεσβυτέρου καὶ ἀρχιμανδρίτου Εὐτυχοῦς, ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Τί ἐσκύλη πρὸς ἡμᾶς ἡ εὐλάβεια ὑμῶν;

408 Ἀβράμιος ὁ εὐλαβέστατος πρεσβύτερος καὶ ἀρχιμανδρίτης εἶπεν· Ἀπεστάλημεν.

409 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Τίς ὑμᾶς ἀπέστειλεν;

410 Ὁ εὐλαβέστατος πρεσβύτερος καὶ ἀρχιμανδρίτης Ἀβράμιος εἶπεν· Ὁ ἀρχιμανδρίτης.

411 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Ποῖος ἀρχιμανδρίτης;

412 Ἀβράμιος ὁ εὐλαβέστατος πρεσβύτερος καὶ ἀρχιμανδρίτης εἶπεν· Εὐτυχής.

413 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Τί μάλιστα;

414 Ἀβράμιος ὁ εὐλαβέστατος πρεσβύτερος καὶ ἀρχιμανδρίτης εἶπεν· Ἀπέστειλέ με ἀρρωστῶν. μὰ τὰς εὐχάς σου, ὅλην τὴν νύκτα οὐκ ἐκοιμήθη μύζων, οὔτε δὲ ἐγὼ ἐκοιμήθην μύζοντος αὐτοῦ. μετεστείλατο γάρ με ἀφ' ἑσπέρας διὰ τοῦτο, εἶπεν δέ μοι καὶ τινὰ εἰπεῖν τῶι κύρωι.

415 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Καὶ ἐνδιδόαμεν, οὐκ ἐπιτιθέμεθα. θεοῦ γάρ ἐστιν τὸ δοῦναι ὑγείαν, ἡμῶν δὲ τὸ περιμεῖναι τὴν ῥῶσιν αὐτοῦ. οὐ γὰρ εἰς
Sap. Sal. 1, 13 τομὴν ὁρῶμεν, ἀλλ' εἰς αὔξησιν. οὔτε γὰρ τέρπεται ὁ θεὸς ἐπ' ἀπωλείαι ζώντων
2 Cor. 8, 9 οὔτε ἐσμὲν ἀπανθρωπίας τέκνα, ἀλλὰ φιλανθρωπίας θεοῦ. εἰ γὰρ δι' ἡμᾶς ὁ πλού-
L IIII 205 σιος ἐπτώχευσεν, καὶ ἡμεῖς ἔπεσθαι τῆι ὑψηλῆι αὐτοῦ πτωχείαι ὀφείλομεν· εἰς γὰρ φιλανθρωπίας ἔργα ὑπὸ θεοῦ κατεσκευάσθημεν.

416 Ὁ εὐλαβέστατος πρεσβύτερος καὶ ἀρχιμανδρίτης Ἀβράμιος εἶπεν· Ἐμοί, τῶν ποδῶν σου, καὶ ἐνετείλατο ἄλλα τινά, ἃ ἐὰν ἐρωτηθῶ, λέγω.

417 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Πῶς δυνατόν, παρακαλῶ σε, ἄλλου κατηγορουμένου ἄλλον εἰπεῖν ὑπὲρ αὐτοῦ; ἀλλὰ μᾶλλον ἐνδιδόαμεν, οὐκ ἐπιτιθέμεθα. καὶ ἔλθηι ἐνταῦθα· πρὸς πατέρας ἔρχεται καὶ πρὸς ἀδελφούς, πρὸς οὐκ ἀγνοοῦντας αὐτόν, πρὸς ἔτι καὶ νῦν ἐπιμένοντας τῆι φιλίαι. πολλοὶ ἤκουσαν καὶ ἐσκανδαλίσθησαν· ὁ γὰρ κατήγορος αὐτοῦ ἐνίσταται, καὶ ὀφείλει ἀπολογήσασθαι. εἰ γὰρ τότε Νεστορίου ἐναντιουμένου τῆι ἀληθείαι ὑπὲρ ἀληθείας εἰσῆλθεν, πόσωι μᾶλλον ὀφείλει νῦν ὑπὲρ τῆς ἀληθείας καὶ ὑπὲρ ἑαυτοῦ εἰσελθεῖν; ἄνθρωποι ἐσμὲν καὶ πολλοὶ τῶν μεγάλων ἐσκανδαλίσθησαν καὶ ἐσφάλησαν ὑπὸ ἀνοίας καὶ ὑπὸ ἀπειρίας νομίζοντες ὀρθῶς φρονεῖν. αἰσχύνην οὐ φέρει μεταμέλεια, ἀλλὰ τὸ ἐπιμένειν τῆι ἁμαρτίαι ὄνειδος. ὥσπερ γὰρ
M VI 716 σκώληξ ἀναλίσκει τὸ ξύλον ἐξ οὗπέρ ἐστιν, οὕτως καὶ ἡ ἁμαρτία μένουσα ἐν τῶι ποιοῦντι

MBPSΦΛ^{p}

2 τῶν om. B 3 ἀβραάμιος MP 5 εἰσιέτωσαν MB, corr. M 6 εἰσελθόντων S ἀβρααμίου MP 7 ἐλευσῖνου SΦ^{ac} καὶ^{1} om. S καὶ Κωνσταντίου om. BΦ^{c}Λ^{p} 10 ἀβραάμιος MP 11 ὁ ἁγιώτατος — 18 εὐχάς σου] παρ' εὐτυχοῦς τοῦ ἀρχιμανδρίτου ἀρρωστοῦντος αὐτοῦ S 12 καὶ ἀρχιμανδρίτης om. B 12. 15 ἀβραάμιος P 15 εὐλαβέστατος om. B 17 ἀβραάμιος M^{corr}P 18 με BΦΛ^{p} ἡμᾶς MPS μὰ γὰρ BΦ ὅλην γὰρ S οἰμώζων B 19 οἰμώζοντος B 21 ἐνδίδομεν B 22 τὴν ὑγείαν B 23 οὐ B ὁ om. B 24 οὐδὲ B 25 πτωχεία αὐτοῦ B 27 ἀβραάμιος MP 28 καὶ om. B τινὰ ἃ MPSΦ τινὰ ἵνα Λ^{p} ἅτινα B ἐρῶ S 29 σε om. S 30 καὶ BΛ^{p} κἂν MS καὶ ἂν P om. Φ 31 καὶ MPSΦ om. BΛ^{p} οὐκ ἀγνοοῦντας] εἰδότας S 37 ἡ μεταμέλεια B 38 ὁ σκώληξ PS

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 2/18/16 11:45 PM

αὐτήν. ἀλλὰ ἔλθηι ἐνταῦθα καὶ ὁμολογοῦντος αὐτοῦ τὸ πταῖσμα καὶ ἀναθεματίζοντος διδόαμεν ὑπὲρ τῶν προλαβόντων συγγνώμην. καὶ ὑπὲρ τῶν μελλόντων ἡμᾶς ἀσφαλίζηται καὶ τὴν ἁγίαν σύνοδον ὅτιπερ ὁμοίως φρονεῖ ταῖς ἐκθέσεσιν τῶν ἁγίων πατέρων ἡμῶν καὶ παρὰ ταύτας τοῦ λοιποῦ οὔτε διδάσκει τινὰς οὔτε ἐπί τινων διαλέγεται. οὕτω χρή, παρακαλῶ σε. καὶ γὰρ πρὸ τοῦ εἰδέναι σε αὐτὸν οἶδα αὐτὸν καὶ πρὸ τοῦ σε γνῶναι ἐκεῖνος οἶδεν ἐμέ.

418 Ἀβράμιος ὁ πρεσβύτερος καὶ ἀρχιμανδρίτης εἶπεν· Οὕτως ἔχει, τῶν ποδῶν σου.

419 Καὶ μετὰ τὸ ἀναστῆναι ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Οἴδατε τὸν ζῆλον τοῦ κατηγοροῦντος ὅτι καὶ αὐτὸ τὸ πῦρ ψυχρὸν αὐτῶι φαίνεται διὰ τὸν ζῆλον τὸν ὑπὲρ τῆς εὐσεβείας. καὶ θεὸς οἶδεν, καὶ παρήινεσα καὶ παρεκάλεσα ὅτι μή· παρακαλῶ σε, ἔνδος. ὡς δὲ ἐπετίθει, τί εἶχον ποιῆσαι; ἆρτι ἐγὼ βούλομαι τὸν σκορπισμὸν ὑμῶν; μὴ γένοιτο· οὐχὶ μᾶλλον καὶ συναγαγεῖν ὑμᾶς; ἐχθρῶν ἐστιν τὸ σκορπίζειν, πατέρων δὲ τὸ συγκροτεῖν.

420 Τῆι ἕξῆς ἡμέραι, ἥτις ἐστὶν ἑπτακαιδεκάτη τοῦ Νοεμβρίου μηνός, αὖθις συνεδρευούσης τῆς ἁγίας συνόδου ἐν τῶι σηκρήτωι τοῦ ἐπισκοπείου, Ἀέτιος διάκονος καὶ νοτάριος εἶπεν· Οἱ ἀποσταλέντες τῆι χθὲς ἡμέραι, ἥτις ἦν ἕξκαιδεκάτη τοῦ Νοεμβρίου μηνός, οἱ εὐλαβέστατοι πρεσβύτεροι Μέμνων σκευοφύλαξ καὶ Ἐπιφάνιος καὶ Γερμανὸς διάκονος ἐπὶ τῆι τρίτηι κλήσει πρὸς τὸν εὐλαβέστατον πρεσβύτερον καὶ ἀρχιμανδρίτην Εὐτυχῆ πάρεισιν ἀπαγγεῖλαι βουλόμενοι ἅπερ παρὰ τοῦ μνημονευθέντος ἀκηκόασιν διακονησάμενοι τοῖς ὑμετέροις γράμμασιν.

421 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Λεγέτω ἐν πρώτηι τάξει Μέμνων ὁ εὐλαβέστατος πρεσβύτερος ποίας τετύχηκεν ἀποκρίσεως παρὰ τοῦ πρεσβυτέρου καὶ ἀρχιμανδρίτου Εὐτυχοῦς ἐφ' οἷς ἀπέσταλται παρὰ τῆς ἁγίας συνόδου. L IIII 208

422 Ὁ εὐλαβέστατος πρεσβύτερος καὶ σκευοφύλαξ Μέμνων εἶπεν· Κατὰ τὴν κέλευσιν τῆς ὑμετέρας ἁγιωσύνης καὶ τῆς ἁγίας ὑμῶν συνόδου διαβάντες πρὸς τὸν εὐλαβέστατον πρεσβύτερον καὶ ἀρχιμανδρίτην Εὐτυχῆ ἐπιδεδώκαμεν αὐτῶι τὸ παρὰ τῆς ἁγίας ὑμῶν συνόδου γράμμα ἀπεσταλμένον αὐτῶι, λαβὼν δὲ καὶ ἀναγνοὺς εἶπεν ἡμῖν ὅτι ἀπέστειλα τὸν εὐλαβέστατον πρεσβύτερον καὶ ἀρχιμανδρίτην Ἀβράμιον πρὸς τὸν ἁγιώτατον καὶ ὁσιώτατον ἀρχιεπίσκοπον ἡμῶν καὶ τὴν ἁγίαν σύνοδον, ὥστε συνθέσθαι αὐτὸν εἰς M VI 717 πρόσωπον ἐμὸν πᾶσιν τοῖς ἐκφωνηθεῖσιν παρὰ τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίαι καὶ τῶν ἐν Ἐφέσωι καὶ τοῖς κατὰ τὸν μακάριον Κύριλλον πᾶσιν

423 Καὶ ἔτι τούτου λέγοντος ὁ θεοφιλέστατος ἐπίσκοπος Εὐσέβιος εἶπεν· Νῦν ἦλθεν συνθέσθαι; ἐγὼ οὐ περὶ [τῶν] μελλόντων κατηγόρησα, ἀλλα περὶ τῶν φθασάντων.

---

14 πρᾶξισ ε̄ ἐν κωνσταντινουπόλει M^{mg} πρᾶξισ πέμπτη τῶν ἐν κωνσταντινουπόλει B in textu 15 συνέλευσισ ἄλλη M^{mg}, post ἐπισκοπείου in textu PS

MBPSΦ$Λ^n$

3 ἀσφαλίζηται Φ$Λ^n$ ἀσφαλίζεται MBPS *sapiet* Φ 4 ταύτησ S οὔτε²] οὐδέ MP ἐπί τινων BΦ *ad aliquos* $Λ^n$ τινί MPS 5 σε om. S 6 ἐγνωκέναι σε B ἐκεῖνοσ BΦ$Λ^n$ ἐκεῖνον MPS 7 ἀβραάμιοσ M^{corr}P ὁ om. B 8 ἀναγνωσθῆναι B 9 αὐτὸ BPS αὐτῶ M ψυχρότερον B 9/10 διὰ τὸν ὑπὲρ εὐσεβείασ λόγον S 10 ὁ θ̄σ̄ B καὶ² MPSΦ om. B *quod* $Λ^n$ 11 σε om. SΦ ἐπετίθει B ἐπετίθη MPS 13 τὸ om. MP, corr. M 14 ἥ MPS ῑζ̄ S 15 σεκρέτω PS ἐπισκόπου P 16 ἦν BΦ ἐστὶν MPS$Λ^n$ 17 οἱ om. B ὁ σκευοφύλαξ B 17/18 γερμανὸσ διάκονοσ PS$Λ^n$Φ^r ὁ διάκονοσ γερμανὸσ B γερμανὸσ M 19 εὐτυχῆν MP, corr. M πάρησαν S ἀναγγεῖλαι B 19/20 διακονησαμένοισ S 23 ἀπεστάλη B 26 εὐτυχῆν MPS, corr. M τὰ S 27 σταλμένα γράμματα S ἀποσταλὲν B αὐτῶι om. SΦ^{ac} δ' αὐτὰ S 28 ἀβραάμιον MP 29 ἡμῶν ἀρχιεπίσκοπον B πρὸσ τὴν SΦ^a 31 πᾶσιν MPΦ$Λ^n$ om. BS 33 τῶν om. B ἐκατηγόρησα S

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 2/18/16 11:45 PM

μὴ γὰρ ἄρτι, ἐὰν ἐκδεδώκασιν αὐτῶι τινὲς ἔκθεσιν καὶ εἶπον ὅτι διὰ τὴν ἀνάγκην σύνθου ἢ ὑπόγραψον, ἤδη ἠττήθην ἐγώ;

424 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Οὐδεὶς οὔτε σοὶ συγχωρεῖ ἐκστῆναι τῆς κατηγορίας οὔτε ἐκείνωι τὸ μὴ ἀπολογήσασθαι ὑπὲρ τῶν παρωιχηκότων.

425 Ὁ θεοφιλέστατος ἐπίσκοπος Εὐσέβιος εἶπεν· Ἀξιῶ ταύτην τὴν φωνὴν ἐμοὶ μὴ προκρῖναι. ἐγὼ γὰρ ἀξιοπίστους μάρτυρας ἔχω ἐφ' ὧν τὰ διεστραμμένα ἐδίδασκεν καὶ κατήχει καὶ ἀντιλογίας ἐπειράθη, οὐχ ἅπαξ, οὐ δίς, ἀλλὰ καὶ πολλάκις ὑπομνησθεὶς παρ' ἐμοῦ ὥστε τὰ ὀρθὰ φρονεῖν οὐδὲ οὕτως ἠνέσχετο. ἐπεὶ εἰπὲ καὶ τοῖς ἐν φυλακῆι ἀπὸ τῆς σήμερον μὴ ληιστεύετε, καὶ πάντες ἐπαγγέλλονται.

426 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Οὐδὲν πρόκριμα οἶσει τῆι σῆι θεοσεβείαι εἰς τὴν παρὰ σοῦ τεθεῖσαν κατηγορίαν, κἂν μυριάκις ὑπόσχηται καθυπογράφειν τοῖς ἐκτεθεῖσι παρὰ τῶν ἁγίων πατέρων. καθὼς γὰρ καὶ ἤδη εἴρηται πολλάκις ἡμῖν, δεῖ αὐτὸν πρότερον ἐλεγχθῆναι ἐφ' οἷς κατηγορήθη, καὶ ἀπολογήσασθαι.

427 Καὶ ἔτι τούτων λεγομένων προσέθηκεν ὁ εὐλαβέστατος πρεσβύτερος καὶ σκευοφύλαξ Μέμνων· Ἔλεγεν δὲ ὅτι διὰ τὸ ἐν ἀρρωστίαι με ἐξετάζεσθαι, τούτου ἕνεκεν ἀπέστειλα τὸν εὐλαβέστατον πρεσβύτερον Ἀβράμιον. ὡς δὲ πολὺς ἐγινόμην ὅτι ὀφείλεις παραγενέσθαι καὶ ἀπαντῆσαι πρὸς τὴν ἁγίαν σύνοδον καὶ ἀπολογήσασθαι τοῖς ἐπαγομένοις σοι, ἔφη τοῦτο ὅτι περιμένω τὸν πάπαν Ἀβράμιον· ἴσως δυσωπήσει τὸν κύριν καὶ τὴν ἁγίαν σύνοδον. λέγω αὐτῶι· τί οὖν; ἡμεῖς μέλλομεν μένειν ἐνταῦθα ἕως οὗ ἔρχεται; λέγει· παρακαλῶ δυσωπηθῆναι τὸν κύριον τὸν ἀρχιεπίσκοπον καὶ τὴν ἁγίαν σύνοδον ὥστε ἐντὸς τῆς ἑβδομάδος ταύτης διορίαν μοι δοθῆναι, καὶ τῆι δευτέραι, ἐὰν ἦι θέλημα θεοῦ, εἰσέρχομαι καὶ ἀπολογοῦμαι τῶι τε κύρωι καὶ τῆι ἁγίαι συνόδωι.

428 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Λεγέτω καὶ ὁ εὐλαβέστατος πρεσβύτερος Ἐπιφάνιος τί ἀκήκοεν παρὰ τοῦ εὐλαβεστάτου πρεσβυτέρου καὶ ἀρχιμανδρίτου Εὐτυχοῦς.

429 Ὁ εὐλαβέστατος πρεσβύτερος Ἐπιφάνιος εἶπεν· Κατὰ τὴν κέλευσιν τῆς ὑμετέ-
M VI 720 ρας ἁγιωσύνης παραγενόμενος ἐγώ τε καὶ ὁ θεοσεβέστατος πρεσβύτερος καὶ σκευοφύλαξ Μέμνων ἅμα τῶι εὐλαβεστάτωι διακόνωι Γερμανῶι ἀποδεδώκαμεν τῶι εὐλαβεστάτωι
L IIII 209 πρεσβυτέρωι καὶ ἀρχιμανδρίτηι Εὐτυχεῖ τὸ γραφὲν αὐτῶι ὑπομνηστικὸν παρὰ τῆς ἁγίας [ὑμῶν] συνόδου. καὶ ἀναγνοὺς τοῦτο ἐκεῖνα εἶπεν ἅπερ κατέθετο ὁ θεοσεβέστατος πρεσβύτερος Μέμνων.

430 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Λεγέτω καὶ ὁ εὐλαβέστατος Γερμανὸς ὁ διάκονος ἅπερ ἀκήκοεν.

431 Ὁ εὐλαβέστατος διάκονος Γερμανὸς εἶπεν· Κατὰ τὴν κέλευσιν τῆς ὑμετέρας ἁγιωσύνης καὶ τῆς ἁγίας συνόδου παρεγενόμεθα πρὸς τὸν εὐλαβέστατον πρεσβύτερον καὶ ἀρχιμανδρίτην Εὐτυχῆ καὶ ταῦτα αὐτὸς εἶπεν ἡμῖν ἅπερ οἱ εὐλαβέστατοι πρεσβύτεροι κατέθεντο.

432 Ὁ θεοφιλέστατος ἐπίσκοπος Εὐσέβιος εἶπεν· Ἠξίωσα καὶ πρώην τὴν ὑμετέραν ἁγιωσύνην διὰ τὴν ἐπισύστασιν τὴν παρ' αὐτοῦ μελετωμένην, ὅτιπερ ταραχὴν ἐμβάλλει

MBPSΦΛⁿ

1 ἄρτι om. PS 3 οὐδὲ MPS 4 κἀκείνω S 5 ἐμοῦ PS 6 προκρίνειν MPS, corr. M τὰ om. PS 7 κατήχει καὶ om. S ἐπειράσθη S οὐ]οὐδὲ S καὶ om. SΦᵃΛⁿ 8 τὰ om. BS εἰπὲ om. PS ἐν τῆ PS 9 ληστεύεται S ἐπηγέλλοντο P 10 ποιήσει B 11 ὑπισχνεῖται MS ὑπισχνῆται P 13 δεῖ] δι' PS 15 με om. B ἕνεκα B 16 πρεσβύτερον] ἀρχιμανδρίτην S ἀβραάμιον M^corr P ἐγενόμην B 18 ἀβραάμιον M^corr P 19 λέγομεν B μέλλωμεν S ἐνταῦθα μένειν B οὗ om. B 20 ἁγίαν BΦΛⁿ om. MPS 21 τῆς om. M διωρίαν S 22 τῶι — συνόδωι om. S τῶ τε κυρῶ BΦ τῶ κυρῶ MP 26 παραγενόμενοι BS 27 ἀπεδώκαμεν S 29 ὑμῶν MPΦ om. BSΛⁿ 31/32 γερμανὸσ ὁ διάκονοσ [διάκων S] BSΦ διάκονοσ γερμανὸσ MP 34 πρεσβύτερόν τε MP 35 εὐτυχὴν S εὐτυχέα MP αὐτὸς om. B

haec eadem ΦΛⁿ *quae et* Φ

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 2/18/16 11:45 PM

καὶ τοῖς μοναστηρίοις, ὥστε ἀποσταλῆναι εἰς τὰ ἀσκητήρια ἐπὶ τῶι γνωσθῆναι ὅτι πάντας ἀνεσόβησεν ὡς ὀφείλοντας τόμωι τινὶ παρ' αὐτοῦ ἢ συνταγέντι ἢ οὐκ οἶδ' ὅπως εἰς αὐτὸν ἐλθόντι ὑπογράψαι. περὶ τούτου ἡ ὑμετέρα ἁγιωσύνη ἐκέλευσεν φανεροὺς τῶν εὐλαβεστάτων κληρικῶν διαβῆναι εἰς τὰ ἀσκητήρια. κελεύσατε καὶ τούτους παρεῖναι καὶ καταθέσθαι ἐπὶ τῆς πίστεως τῶν ὑπομνημάτων ἅπερ παρὰ τῶν μοναχῶν ἀκηκόασιν.

433 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Λεγέτωσαν οἱ νοτάριοι τίνες εἰσὶν οἱ ἀπεσταλμένοι εἰς τὰ ἐν τῆι πόλει μοναστήρια.

434 Οἱ νοτάριοι εἶπον· Οἱ εὐλαβέστατοι Πέτρος ὁ πρεσβύτερος καὶ Πατρίκιος ὁ διάκονος, καὶ πάρεισιν ἐνταῦθα.

435 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Λεγέτωσαν τί ἀκηκόασιν παρ' ἑκάστου τῶν εὐλαβεστάτων ἀρχιμανδριτῶν.

436 Ὁ εὐλαβέστατος πρεσβύτερος Πέτρος εἶπεν· Κατὰ τὴν κέλευσιν τῆς ὑμετέρας ἁγιωσύνης καὶ τῆς ἁγίας συνόδου φθάσαντες ἕως τοῦ μοναστηρίου τοῦ εὐλαβεστάτου πρεσβυτέρου καὶ ἀρχιμανδρίτου Μαρτίνου ἐπηρωτήσαμεν εἰ τόμον τινὰ πεμφθέντα παρὰ τοῦ εὐλαβεστάτου πρεσβυτέρου καὶ ἀρχιμανδρίτου Εὐτυχοῦς ἐδέξατο. καὶ ἀπεκρίνατο ἀπεστάλθαι μὲν πρὸς αὐτὸν τῆι παρασκευῆι τῆι παρελθούσηι, ἥτις ἐστὶ δωδεκάτη τοῦ Νοεμβρίου μηνός, διὰ Κωνσταντίνου διακόνου τινὸς ἀξιῶν ὑπογράψαι, καὶ οὐκ ἠνεσχόμην, εἰπὼν μὴ εἶναι ἐμὸν τὸ ὑπογράφειν, ἐπισκόπων δὲ μόνων. καὶ ἐξιὼν ἔλεγεν ὅτι εἰ μὴ νῦν συμπνεύσετέ μοι καὶ ταπεινώσει με ὁ ἐπίσκοπος, τελευταῖον καὶ ὑμῖν ἐπιθήσεται. ἐκεῖθεν ἐξελθόντες ἤλθομεν πρὸς τὸν εὐλαβέστατον πρεσβύτερον καὶ ἀρχιμανδρίτην Φαῦστον. M VI 721

437 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Τί δὲ περιέχειν ὁ εὐλαβέστατος πρεσβύτερος καὶ ἀρχιμανδρίτης Μαρτῖνος τὸν τόμον ἔλεγεν, ὧι καθυπογράψαι οὐχ εἵλετο;

438 Ὁ εὐλαβέστατος πρεσβύτερος Πέτρος εἶπεν· Ὡς ἔλεγεν, τὰ ἐν Ἐφέσωι γενόμενα.

439 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Ἀναγνοὺς καὶ καταμαθὼν ἢ ἀκηκοὼς μόνον τοῦτο πρὸς ἐκεῖνον ἀπεκρίνατο;

440 Ὁ εὐλαβέστατος πρεσβύτερος Πέτρος εἶπεν· Οὐκ ἀνέγνω μέν, ἔλεγεν δὲ ὅτι ταῦτά ἐστι τὰ τοῦ μακαρίου Κυρίλλου καὶ τῶν ἐν Ἐφέσωι ἐπισκόπων. ὑπεγέγραπτο δὲ καὶ ὁ τόμος καὶ τὴν ὑπογραφὴν ὑπέκρυπτεν. ὁμοίως [δὲ] καὶ ὁ εὐλαβέστατος πρεσβύτερος καὶ ἀρχιμανδρίτης Φαῦστος ἔλεγεν ἀπεστάλθαι πρὸς αὐτὸν τόμον διὰ Κωνσταντίνου καὶ Ἐλευσινίου, ὡς ὀφείλειν αὐτὸν ὑπογράψαι, καὶ ἀπήιτει τὴν δύναμιν τοῦ τόμου καὶ ἔλεγεν ἐκεῖνος ὅτι τῶν τριακοσίων δέκα καὶ ὀκτὼ ἐστιν ἡ ἔκθεσις καὶ τῶν ἐν Ἐφέσωι συλλεγέντων ἐπισκόπων. καὶ εἶπον αὐτοῖς, λέγει, ὅτι τὰ ἴσα ἐκείνων σώιζεται παρ' ἡμῖν καὶ δὸς ἡμῖν πρὸς ἐπίσκεψιν, μήποτε τινὰ προσθήκην ἔχει. καὶ οὐ κατεδέξαντο, ἀλλ' ἀνεχώρησαν. ἡμεῖς δὲ καὶ τέκνα τῆς ἐκκλησίας ἐσμὲν καὶ ἕνα πατέρα μετὰ τὸν L IIII 212

19—20 cf. infra 685
23—24 cf. infra 692

MBPSΦΛⁿ

1 καὶ om. S 2 ἀνεσόβησαν MPS ἀνεσόβει μὲν B *commouet* Φ *persuasum est* Λⁿ ἢ¹ om. BΦ 7 οἱ om. M 9 ὁ εὐλαβέστατοσ πρεσβύτεροσ πέτροσ B 13 πρεσβύτερος om. B 15 ἐπερωτήσαμεν MPS 16 εὐλαβεστάτου om. MP 17 ἀπεστάλη PS αὐτὸν om. PS ιβ̄ S 18 *Constantium* Λⁿ 19 ὑπογράψαι B ἐξιὼν BΦᵃᶜΛⁿ ἀξιῶν MPS ἀξίων Φʳ 20 συμπνεύσητέ MPS δὲ καὶ B ἐπιθήσηται PS 21 εὐλαβίστατον om. P 23—24 ὁ — τόμον] τὸν τόμον μαρτῖνοσ S 24 ὧι] καὶ S εἵλατο PS 26/27 τοῦτο μόνον B 28 μὲν om. B 29 ἐπισκόπων om. Φʳ ὑπογέγραπτο S 30 ὑπέκρυπτον B δὲ om. BΦᵃᶜΛⁿ 31/32 *Constantium* Λⁿ 33 τριακοσίων δεκαοκτὼ B τιη̄ S 34 εἰπὼν MPS, corr. M λέγει MPSΦʳ *dicens* Φᵃᶜ om. BΛⁿ 35 καὶ ὡσ B 36 ἀνεχώρησαν S τὸν om. S

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 2/18/16 11:45 PM

θεὸν τὸν ἀρχιεπίσκοπον ἔχομεν. καὶ ὁ κύριος Ἰὼβ λέγει· τόμον μὲν οὐκ ἀπέστειλεν πρὸς ἡμᾶς, φάσιν δὲ ὅτι ἐν ταῖς ἡμέραις ταύταις τόμον ἔχει σοι ἀποστεῖλαι ὁ ἀρχιεπίσκοπος ὥστε ὑπογράψαι, καὶ μὴ πεισθῆι αὐτῶι. ἀπήλθομεν δὲ καὶ πρὸς Μανουήλιον καὶ ἔφησεν μὴ ἀπεστάλθαι πρὸς αὐτόν. ὁμοίως δὲ καὶ πρὸς Ἀβράμιον, κἀκεῖνος ἔλεγεν μὴ πεπέμφθαι πρὸς αὐτὸν μήτε φάσιν μήτε τόμον.

441 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Λεγέτω καὶ Πατρίκιος ὁ διάκονος τί ἀκήκοεν παρὰ τῶν εὐλαβεστάτων πρεσβυτέρων καὶ ἀρχιμανδριτῶν.

442 Ὁ εὐλαβέστατος διάκονος Πατρίκιος εἶπεν· Ἀπεστάλην παρὰ τῆς ὑμετέρας ἁγιωσύνης καὶ τῆς ἁγίας ὑμῶν συνόδου μετὰ τοῦ εὐλαβεστάτου πρεσβυτέρου Πέτρου κἀκεῖνα ἤκουσα ἅπερ κατέθετο ὁ μνημονευθεὶς εὐλαβέστατος πρεσβύτερος.

443 Ὁ θεοφιλέστατος ἐπίσκοπος Εὐσέβιος εἶπεν· Ὁρᾶι ἡ ὑμετέρα ἁγιωσύνη τὰ πεπλημμελημένα Εὐτυχεῖ τῶι ἀρχιμανδρίτηι καὶ ὅτιπερ ἀλλότρια τῆς πίστεως ἐφρόνησεν. ταῦτα
M VI 724 γὰρ καὶ ὁ εὐλαβέστατος πρεσβύτερος καὶ ἔκδικος Ἰωάννης κατέθετο καὶ ὁ σὺν αὐτῶι ἀπεσταλμένος εὐλαβέστατος διάκονος Ἀνδρέας καὶ ὁ εὐλαβέστατος διάκονος Ἀθανάσιος ὁ τοῦ θεοφιλεστάτου ἐπισκόπου Βασιλείου, οἷα δὲ καὶ νῦν οἱ εὐλαβέστατοι ἀρχιμανδρῖται διὰ τῶν ἀποσταλέντων πρὸς αὐτοὺς εὐλαβεστάτων κληρικῶν ἐγνώρισαν τῆι ὑμετέραι ἁγιωσύνηι. τίς οὖν ἔτι λείπεται ἐκείνοι τόπος ἀπολογίας; δι' ὃ ἀξιῶ τὰ δοκοῦντα τοῖς ἁγίοις κανόσιν ἐντεῦθεν ἤδη καὶ ἐπ' αὐτῶι γενέσθαι. ὁ γὰρ ταραχὰς ἐμβάλλων καὶ ἀλλότρια φρονῶν τῆς πίστεως πῶς οὗτος ἐν ἱερεῦσιν θεοῦ ἢ ἐν ἀρχιμανδρίταις δίκαιός ἐστιν ἀριθμεῖσθαι; συνορᾶτε δὲ ὅτι καὶ ἐπιορκῶν ἐλήλεγκται. ὁ γὰρ εἰπὼν ὅτι κέκριταί μοι μὴ ἐξελθεῖν καὶ τάφος μοί ἐστιν τὸ μοναστήριον, οὗτος ἐπαγγέλλεται ἐλθεῖν πρὸς ὑπέρθεσιν ὁρῶν καὶ ἕτερά τινα τυρεύων ὥστε φυγεῖν τοὺς ἐλέγχους καὶ μὴ ὑπομεῖναι τιμωρίαν.

444 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Ἐξαρκεῖ μὲν πάντα τὰ κατατεθέντα κατὰ Εὐτυχοῦς τοῦ πρεσβυτέρου καὶ ἀρχιμανδρίτου δεῖξαι ἡμῖν ὅτι ἕτερα παρὰ τὴν ὀρθὴν πίστιν φρονεῖ καὶ τὴν ἐκκλησίαν διαταράξαι ἐσπούδασεν, ὥστε αὐτὸν ἐντεῦθεν ἤδη ὑποπεσεῖν τοῖς τῶν κανόνων ἐπιτιμίοις καὶ ἀλλοτριωθῆναι καὶ τῆς περικειμένης αὐτῶι ἀξίας ἱερατικῆς καὶ τοῦ προίστασθαι μοναστηρίου· ὑπὲρ δὲ πλείονος ἀκριβείας καὶ τὴν ἐξαιτηθεῖσαν παρ' αὐτοῦ διορίαν παρέχομεν αὐτῶι. οὕτως γὰρ ἀπαντήσας καὶ κατὰ πρόσωπον ἐλεγχθήσεται. εἰ δέ γε κατὰ τὴν ἰδίαν ἐπαγγελίαν μὴ ἀπαντήσει ὁ πρεσβύτερος καὶ ἀρχιμανδρίτης Εὐτυχὴς τῆι προσιούσηι δευτέραι, τουτέστιν τῆι εἰκάδι δευτέραι τοῦ ἐνεστῶτος μηνὸς Νοεμβρίου, ἀπαλλοτριωθήσεται εἰς τὸ παντελὲς καὶ τῆς ἀξίας τοῦ πρεσβυτέρου καὶ ξένος γενήσεται τοῦ προίστασθαι μοναστηρίου.

MBPSΦΛⁿ

2 φάσιν M φασὶ BPSΦΛⁿ 2/3 ἀρχιεπίσκοποσ MSΛⁿ *eps* Φ ἀρχιμανδρίτησ B 3 πεισθεὶσ S δὲ om. PS 4 ἀπεστάλθαι τί B ἀβραάμιον M^{corr}P 5 πεπομφέναι B 7 τῶν — ἀρχιμανδριτῶν] *Eutychen* Λⁿ 8 ὁ — διάκονος om. B ὑμῶν S 9 ἁγιότητοσ MPS καὶ παρὰ S τῆς om. P συνόδου ὑμῶν B 10 πέτροσ ὁ πρεσβύτεροσ B cf. Λⁿ 11 ὑμῶν S τά τε PS 12 ἐφρόνησεν om. PS 13 καὶ¹ BΦΛⁿ om. MPS 14 ὁ — διάκονος om. B 15 ὁ om. B 17 ἔτι λείπεται] ἐπιλείπεται B 18 αὐτὸν S ἐμβαλὼν MPS, corr. M 19 ἢ MBP καὶ SΦΛⁿ δίκαιόν MPS 25 ὑμῖν Λⁿ ὅτιπερ B 26 αὐτὸν om. B 27 ἀλλοτριωναι M, corr. M ἀλλοτριῶσαι PS καὶ om. BΦ^{ac} 28 τοῦ μοναστηρίου PS 29 καὶ PSΦ om. MBΛⁿ 30 γε] μὴ P om. S ἀπαντήσοι MP 31 προσειοῦσι S 31/32 εἰκάδι καὶ δευτέρη S δευτέρα καὶ εἰκάδι B 32 νοεμβρίου μηνὸσ B 33 *presbyterii* ΦΛⁿ καὶ τοῦ B τοῦ μοναστηρίου S

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 2/18/16 11:45 PM

Ἑτέρα πρᾶξις L III 213

445 Ἡμέραι σαββάτωι, ἥτις ἐστὶν εἰκὰς τοῦ Νοεμβρίου μηνός, συνεδρευούσης τῆς ἁγίας καὶ μεγάλης συνόδου ἐν τῶι σηκρήτωι τοῦ ἐπισκοπείου,

ὁ θεοφιλέστατος ἐπίσκοπος Εὐσέβιος εἶπεν· Ἐφ' οἷς ἐγγράφως ἠτιασάμην Εὐτυχῆ τὸν πρεσβύτερον καὶ ἀρχιμανδρίτην, παρακαλῶ τὴν ὑμετέραν ἁγιωσύνην ἀναγκαίους μοι ὄντας εἰς τὴν κινουμένην παρ' ἐμοῦ κατ' αὐτοῦ ὑπόθεσιν κελεῦσαι εἰς τὴν ἁγίαν ὑμῶν σύνοδον παραγενέσθαι τῆι προσιούσηι δευτέραι, εἰς ἣν κἀκεῖνος ἐπηγγείλατο παραγενέσθαι (εἰσὶν δὲ οἱ ἐπιζητούμενοι παρ' ἐμοῦ Ναρσῆς ὁ πρεσβύτερος καὶ σύγκελλος αὐτοῦ, Μάξιμος ἀρχιμανδρίτης ὁ φίλος αὐτοῦ, [καὶ] Κωνσταντῖνος διάκονος καὶ ἀποκρισιάριος τοῦ αὐτοῦ Εὐτυχοῦς, Ἐλευσίνιος διάκονος τῆς αὐτῆς μονῆς), ἐφ' ὧι τε παρόντων αὐτῶν γινομένης τῆς διαγνώσεως τὸ ἀληθὲς κατάδηλον γενέσθαι.

446 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Οἱ ἐπιζητηθέντες παρὰ τοῦ εὐλαβεστάτου M VI 725 ἐπισκόπου Εὐσεβίου κληθήτωσαν εἰς τὸ ἀπαντῆσαι τῆι ὡρισμένηι ἡμέραι.

447 Ὁ θεοφιλέστατος ἐπίσκοπος Εὐσέβιος εἶπεν· Περιηχήθην παρὰ τινῶν ὡς τῆς δευτέρας κλήσεως γενομένης παρὰ τῆς ἁγίας ὑμῶν συνόδου οἱ ἀποσταλέντες παρ' ὑμῶν εὐλαβέστατοι πρεσβύτεροι Μάμας καὶ Θεόφιλος ἐπήκουσαν τινὰ παρὰ Εὐτυχοῦς τοῦ πρεσβυτέρου καὶ ἀρχιμανδρίτου, ἅπερ ἐπὶ τῆς πράξεως τῶν ὑπομνημάτων οὐ κατέθεντο. καὶ ταῦτα δὲ εἰ φανείη, ἀπόδειξίς ἐστιν ἐναργὴς τοῦ φρονήματος αὐτοῦ. ἀξιῶ τοίνυν κληθέντας Μάμαν καὶ Θεόφιλον τοὺς πρεσβυτέρους προκειμένων τῶν ἁγίων εὐαγγελίων εἰπεῖν ἅπερ ἀκηκόασιν παρὰ Εὐτυχοῦς τοῦ πρεσβυτέρου καὶ ἀρχιμανδρίτου.

448 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Λεγέτωσαν οἱ νοτάριοι εἰ οἱ προρηθέντες εὐλαβέστατοι πρεσβύτεροι ἐνταῦθά εἰσιν.

449 Οἱ νοτάριοι εἶπον· Ὁ μὲν εὐλαβέστατος Θεόφιλος ὁ πρεσβύτερος πάρεστιν, ὁ δὲ εὐλαβέστατος πρεσβύτερος Μάμας οὐκ ἐστιν ἐνταῦθα.

450 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Ἐπήκουσας τῶν λεχθέντων παρὰ τοῦ θεοφιλεστάτου ἐπισκόπου Εὐσεβίου· δι' ὃ πρὸ ὀφθαλμῶν ἔχων τὸν φόβον τοῦ θεοῦ κατάθου σύμπαντα μετὰ ἀληθείας ἅπερ ἀκήκοας λέγοντος τοῦ πρεσβυτέρου Εὐτυχοῦς, ἡνίκα ἀπεστάλης πρὸς τὸ καλέσαι αὐτὸν παρά τε ἡμῶν καὶ τῆς ἁγίας συνόδου.

451 Ὁ εὐλαβέστατος πρεσβύτερος Θεόφιλος εἶπεν· Κατὰ κέλευσιν τῆς ὑμετέρας ἁγιωσύνης ἐγώ τε καὶ ὁ θεοσεβέστατος πρεσβύτερος Μάμας κατελάβομεν τὸ μοναστήριον τοῦ εὐλαβεστάτου πρεσβυτέρου καὶ ἀρχιμανδρίτου Εὐτυχοῦς καὶ ἐπιδεδώκαμεν αὐτῶι τὸ ὑπομνηστικὸν τῆς κλήσεως αὐτοῦ τὸ παρὰ τῆς ἁγίας συνόδου ἀποσταλὲν αὐτῶι. καὶ ἤρξατο θέλειν συζητεῖν ἡμῖν, τοῦ δὲ εὐλαβεστάτου πρεσβυτέρου Μάμα λέγοντος αὐτῶι ὅτιπερ οὐ διὰ τοῦτο ἤλθομεν τοῦ συζητῆσαι τῆι σῆι εὐλαβείαι, ἀλλὰ καλέσαι σε ἀπαντῆσαι εἰς τὴν ἁγίαν σύνοδον, ἤρξατο λέγειν ὁ αὐτὸς εὐλαβέστατος πρεσβύτερος καὶ ἀρχιμανδρίτης

---

1 πρᾶξισ ϛ̄ τῶν ἐν κωνσταντινουπόλει M^{mg}

451 cf. infra 698

MBPSΦΛ^{n}

1 ἑτέρα πρᾶξισ MSΦ πρᾶξισ ἕκτη τῶν ἐν κωνσταντινουπόλει συνελθόντων ἁγίων πρ̄ων B om. PΛ^{n} 2 ἡμέραι — μηνός om. S κβ̄ νοεμβρίου μηνὸσ ἡμέρα ξ̄ S^{mg} σαβάττω M 3 σεκρέτω BPS 4 εὐτυχῆν MP, corr. M 7/8 παραγίνεσθαι MP 9 μάξιμοσ ὁ B καὶ MPSΦ om. BΛ^{n} κωνσταντῖνοσ ὁ B *Constantius* Λ^{n} 10 ἐλευσῖνοσ S, cf. Φ 13 κληθήσονται PS 14 ἐπίσκοποσ om. B 15 ἡμῶν PS om. B ἡμῶν BS 16/17 παρὰ — ἀρχιμανδρίτου ἐπήκουσαν τινὰ B 18 δὲ om. PSΦ 19 μάμαντα MP 23 πρεσβύτεροσ θεόφιλοσ B 24 ἐνταῦθα om. S 25 λεγχθέντων M 29 ὁ — θεόφιλοσ BΦ θεόφιλοσ πρεσβύτεροσ MPS κατὰ τὴν PS 30 θεοφιλέστατοσ B τὴν μονὴν S 32 τὸ om. MP 33 θέλειν om. S πρεσβυτέρου om. B μάμαντοσ PS 34 ἤλθαμεν S τοῦ om. PS θεοσεβεία B σε om. B ὑπαντῆσαι MP om. S 35 ὁ — ἀρχιμανδρίτησ] εὐτυχῆσ S εὐλαβέστατος om. B ἀρχιμανδρίτησ εὐτυχὴσ BΛ^{n}

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 2/18/16 11:45 PM

παρόντος τοῦ πρεσβυτέρου Ναρσοῦ καὶ τοῦ ἀρχιμανδρίτου Μαξίμου καὶ ἑτέρων τινῶν μοναχῶν ὅτι ἐν ποίαι γραφῆι κεῖται δύο φύσεις; ἔπειτα δὲ τίς τῶν ἁγίων πατέρων ἐξέθετο
L IIII 216 δύο φύσεις τὸν θεὸν λόγον ἔχειν; ἡμῶν δὲ πρὸς ταῦτα ἀποκριναμένων αὐτῶι· καὶ αὐτὸς δεῖξον ἡμῖν ποῦ κεῖται τὸ ὁμοούσιον ἢ ποία γραφὴ λέγει τοῦτο, ἀπεκρίθη ὁ αὐτὸς εὐλαβέστατος Εὐτυχής· οὐ κεῖται παρὰ τῆι γραφῆι, εἰς τὴν ἔκθεσιν δὲ τῶν πατέρων κεῖται. πρὸς τοῦτο ὁ εὐλαβέστατος πρεσβύτερος Μάμας ἀποκρινάμενος εἶπεν· ὃν τρόπον τὸ ὁμοούσιον οὐ κεῖται παρὰ τῆι γραφῆι, ἀλλὰ παρὰ τῶν πατέρων ἐξετέθη, οὕτω καὶ περὶ δύο φύσεων οἱ αὐτοὶ ἅγιοι πατέρες ἐξέθεντο. εἶπον κἀγὼ πρὸς ταῦτα· τέλειός ἐστιν ὁ θεὸς λόγος ἢ οὔ; λέγει ὁ αὐτὸς πρεσβύτερος· τέλειος. λέγω ἐγώ·
M VI 728 τέλειος ἄνθρωπος ὁ σαρκωθεὶς ἢ οὔ; λέγει ὁ αὐτὸς πρεσβύτερος· τέλειος. λέγω· εἰ τοίνυν θεὸς τέλειος καὶ ἄνθρωπος τέλειος, τί κωλύει λέγειν ἡμᾶς ἐκ δύο φύσεων ἕνα υἱόν; δύο τέλεια ἕνα ἀποτελοῦσιν υἱόν. πρὸς ταῦτα ἀπεκρίνατο ὁ εὐλαβέστατος πρεσβύτερος καὶ ἀρχιμανδρίτης Εὐτυχής· μὴ γένοιτο ἐμὲ εἰπεῖν ἐκ δύο φύσεων τὸν Χριστὸν ἢ φυσιολογεῖν τὸν θεόν μου. εἴτε οὖν βούλονται καθελεῖν με εἴτε θέλουσι ποιεῖν τι κατ' ἐμοῦ, κατὰ συγχώρησιν θεοῦ ποιείτωσαν· ἐγὼ γὰρ ἐν τῆι πίστει ἣι παρέλαβον, ἐν αὐτῆι ἕστηκα καὶ τελειωθῆναι βούλομαι. ἅπερ ἀκήκοα παρ' αὐτοῦ, ταῦτά ἐστιν.

452 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Εἶπέ ἡμῖν τίνος ἕνεκεν τοιαῦτα περὶ τῆς πίστεως ἀκηκοὼς παρὰ τοῦ εὐλαβεστάτου Εὐτυχοῦς παραγενόμενος τῆι προτεραίαι ταῦτα παρεσιώπησας;

453 Ὁ εὐλαβέστατος Θεόφιλος πρεσβύτερος εἶπεν· Οἶδεν καὶ ἡ ὑμετέρα θεοφίλεια ὡς οὐ διὰ ταύτην ἀπεστάλημεν τὴν αἰτίαν, ἀλλὰ μόνον τοῦ καλέσαι τὸν πρεσβύτερον Εὐτυχῆ. δι' ὃ μὴ ἐρωτηθέντες περιττὸν ἡγησάμεθα ταῦτα εἰπεῖν περὶ ὧν οὐκ ἐνετάλθημεν.

454 Οἱ νοτάριοι εἶπον· Παρεγένετο καὶ Μάμας ὁ πρεσβύτερος, οὗ ἐμνημόνευσεν ὁ θεοφιλέστατος ἐπίσκοπος Εὐσέβιος.

455 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Ἀναγινωσκέσθω τῶι εὐλαβεστάτωι πρεσβυτέρωι Μάμαι τὰ κατατεθέντα παρὰ Θεοφίλου τοῦ εὐλαβεστάτου πρεσβυτέρου.

456 Καὶ μετὰ τὸ ἀναγνωσθῆναι ὁ θεοφιλέστατος πρεσβύτερος Μάμας εἶπεν· Εἰ περὶ ἀνθρώπου ἦν τὸ ζητούμενον, ὄνομα κληρικοῦ ἔχων οὐκ ἂν ἐψευσάμην· περὶ δὲ πίστεως λεγομένων, οὐκ ἂν ἀρνήσομαι οὐδὲ ψεύσομαι· μὴ γένοιτο. ἐπειδὴ ἀποστελλόμενοι οὐδὲν ἕτερον ἐνετάλθημεν παρὰ τῆς ἁγίας συνόδου ἢ μόνον τὸ ὑπομνηστικὸν δοῦναι καὶ ἀπόκρισιν λαβεῖν εἴτε ἔρχεται εἴτε μή, διὰ τοῦτο ἐν τῆι πρώτηι καταθέσει ἅπερ ἠθέλησεν ἐκεῖνος λαλῆσαι, περιττὰ ἐνόμισα εἶναι καταθέσθαι. ἀλλ' ἐπειδήπερ ἠρώτησεν ὁ θεοσεβέστατος ἐπίσκοπος Εὐσέβιος καὶ τὰ λαληθέντα καταθέσθαι, τὰ αὐτὰ κἀγὼ κατατίθεμαι ἅπερ καὶ ὁ εὐλαβέστατος πρεσβύτερος Θεόφιλος κατέθετο. καὶ γὰρ ἡμῶν ἡσυχαζόντων καὶ μὴ βουλομένων αὐτῶι περὶ μηδενὸς λαλῆσαι αὐτὸς ἐφιλονείκει λέγων περὶ τοῦ δόγματος ὡς ἐφρόνει. καὶ ἠρέμα κατέγνωμεν αὐτοῦ· ἔλεγεν γὰρ ὅτι ὁ θεὸς λόγος

13—14 adfert Timotheus Aelurus f. 56b

MBPSΦΛn

2 ὅτι om. B 3 τὸν θῦ λόγον ἔχειν δύο φύσεισ B ἀποκρινομένων P 6 ἀποκρινόμενοσ PS 8 τῶν δύο B 9 πρεσβύτεροσ εὐτυχὴσ B λέγω ἐγὼ BΦΛn εἶπον κἀγὼ MPS 10 λέγω MPΦΛn λέγω ἐγὼ BS 12 ὑποτελοῦσιν S 13 ἐκ δύο φύσεων εἰπεῖν BS εἰπεῖν γεγενῆσθαι B 16 ταύτη B ἅπερ οὖν S 17 εἰπὲ ἡμῖν] καὶ S τῆς om. S 18 ἀκούσασ B 19 κατεσιώπησασ S 20 πρεσβύτεροσ θεόφιλοσ B καὶ om. BS θεοφιλία S 21/22 εὐτυχῆν MP corr. M 24/25 θεοσεβέστατοσ B 27 μάμαντι BPS 30 λεγομένησ B ἀρνήσωμαι BP ψεύσωμαι BPcorr 33 εἶναι] ὑμῖν S 33—34 ἀλλ' — καταθέσθαι om. PS 33 ἐπειδὴ ἐπηρώτησεν B 34 θεοφιλέστατοσ B ταῦτα B ἐγὼ S 34/35 κατατίθημι MPS 35 καὶ om. B εἶπε καὶ κατέθετο B 35/36 ἡσυχασάντων B

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 2/18/16 11:45 PM

σαρκωθεὶς τὴν ἀνθρωπείαν φύσιν τὴν πεσοῦσαν ἦλθεν ἐγεῖραι. εὐθέως ἐπιλαβόμενος
εἶπον· ποίαν; πάλιν λέγει αὐτὸς ὅτι τὴν ἀνθρωπείαν φύσιν. ἔλεγον ἐγώ· σημειώσαί μοι τὴν ἀνθρωπείαν φύσιν, καὶ παρὰ ποίας φύσεως αὕτη ἀνηγέρθη. ἔλεγεν ὅτι M VI 729
ἐγὼ παρὰ τῆς γραφῆς οὐκ ἐδιδάχθην περὶ δύο φύσεων. εἶπον ἐγὼ ὅτι οὔτε περὶ
τοῦ ὁμοουσίου παρὰ τῆς γραφῆς ἐδιδάχθημεν, ἀλλὰ παρὰ τῶν ἁγίων πατέρων τῶν τὰς L IIII 217
γραφὰς καὶ νοησάντων εὐσεβῶς καὶ ἐκθεμένων πιστῶς. οὕτως οὖν παρελάβομεν καὶ 6
περὶ τοῦ ὁμοουσίου καὶ περὶ τοῦ ἐκ δύο φύσεων εἶναι τὸν Χριστὸν τὸν υἱὸν τοῦ θεοῦ.
ἔφησεν πρὸς ταῦτα ὅτι ἐγὼ θεότητα οὐ φυσιολογῶ οὔτε λέγω δύο φύσεις, μὴ γένοιτο.
καὶ εἰμὶ ἐνταῦθα, κἂν καθαιρεθῶ, τάφος μοι ἔστω τὸ μοναστήριον, καὶ ἐὰν συγχωρῆι θεὸς
παθεῖν μέ τι, ἥδιστα πάσχω· ἐγὼ γὰρ δύο φύσεις οὐχ ὁμολογῶ. διὰ δὲ τὴν αἰτίαν 10
ἣν προεῖπον, ἐπειδὴ οὔτε συζητῆσαι ἀπήλθομεν, ἀλλὰ μόνον ἀπόκρισιν δοῦναι καὶ
λαβεῖν, διὰ τοῦτο ταῦτα ἐν τῆι προτεραίαι οὐ κατεθέμεθα.

457 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Δῆλά ἐστιν τὰ παρὰ ἀμφοτέρων τῶν εὐλαβεστάτων πρεσβυτέρων κατατεθέντα· ὅθεν καὶ αὐτὰ ἀναλαμβανέσθω τῆι πίστει τῶν
ὑπομνημάτων. 15

458 Συναχθείσης αὖθις τῆς ἁγίας καὶ μεγάλης συνόδου, προκειμένων τῶν ἁγίων καὶ φρικτῶν εὐαγγελίων καὶ προεδρεύοντος τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου ἡμῶν Φλαβιανοῦ ἐν τῶι σηκρήτωι τοῦ ἐπισκοπείου, τῆι ὁρισθείσηι προθεσμίαι, ἡμέραι δευτέραι, ἥτις ἐστὶν
δευτέρα καὶ εἰκὰς τοῦ Νοεμβρίου μηνός,

Ἀστέριος πρεσβύτερος καὶ νοτάριος εἶπεν· Ἀπήντησεν ἡ κυρία ἡμέρα καὶ ὁ θεο- 20
φιλέστατος ἐπίσκοπος Εὐσέβιος πρὸ τῶν θυρῶν ἕστηκεν ζητῶν εἰσελθεῖν.

459 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Εἰσίτω.

460 Καὶ μετὰ τὸ εἰσελθεῖν ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Ἀπελθόντες Φιλάδελφος καὶ Βήρυλλος οἱ διάκονοι ἐπιζητήσουσι τὸν εὐλαβέστατον πρεσβύτερον καὶ ἀρχι-
μανδρίτην Εὐτυχῆ περὶ τὸ ἐπισκοπεῖον, εἴ γε κατὰ τὰς ἰδίας ὑποσχέσεις ἀπήντησεν, καὶ M VI 732
καλέσουσιν αὐτὸν εἰς τὸ συνέδριον. 26

461 Καὶ ἐν τῶι μεταξὺ ἐπανελθόντες οἱ προειρημένοι ἔφησαν ἐζητηκέναι μὲν αὐτὸν ἀνὰ πᾶσαν τὴν ἐκκλησίαν, μὴ εὑρηκέναι δὲ μήτε αὐτὸν μήτε τινὰ τῶν αὐτοῦ.

462 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Καὶ αὖθις Κρισπῖνος καὶ Ἰοβιανὸς οἱ διάκονοι ἀπελθόντες ζητήσουσιν αὐτὸν περὶ τὴν ἐκκλησίαν καὶ ὅπουπερ ἂν μάθωσιν εἶναι, καλέ- 30
σουσιν αὐτόν.

463 Οἱ δὲ ἀπελθόντες μετὰ τὸ ὑποστρέψαι εἶπον αὐτὸν μὲν μὴ εὑρηκέναι, μεμαθηκέναι

16—19 = infra 720

16 πρᾶξις ξ̄ ἐν κ̄ω̄ M^{mg} inscr. ἑβδόμη πρᾶξις τῶν ἐν κωνσταντινουπόλει συνελθόντων B

MBPSΦ, Λ^{n} [16—20 εἶπεν etiam in Coll. Nouar. 10, 95]

1 ἀνεγεῖραι MPS, corr. M 2 πάλιν om. S ὁ αὐτὸς B ὅτι om. BS φύσιν om. S
2/3 σημείωσαί — φύσιν om. SΦ^{ac} σημειωσαί μοι BΛ^{n} *fige in memoriam* Φ^{r} σημειωσάμενος MP
3 ἀνηγέρθη BΦ^{ac}Λ^{n} ἀνηρέθη MPSΦ^{r} ὅτι om. S 4 τῆς θείας B λέγω S οὐδὲ B
5 τοῦ om. B 6 καὶ^{1} om. B 8 ὅτι om. S 9 καὶ — ἐνταῦθα om. S ἐστὶ B
9/10 με ὁ θ̄ς̄ παθεῖν τί B 12 ἐν om. B 13/14 τῶν — πρεσβυτέρων om. PS εὐλαβεστάτων om. B cf. Φ^{c}
17 φρικτῶν] σεπτῶν B 18 σεκρέτω BPS 19 εἰκὰς δευτέρα MP μηνὸς νοεμβρίου S 20/21 εὐλαβέστατος B 22 εἰσιέτω B 24 *Cyrillus* Φ^{ac}Λ^{n} οἱ om. S ἐπιζητήσωσιν S 25 εὐτυχῆν MPS corr. M 27 ἐζητηκέναι μὲν] ἐζητήκαμεν S 29 Ἰοβιανὸς PS Ἰωβιανὸς M Ἰουβιανὸς B *iouinianus* Φ^{r} *diogenianus* Φ^{ac}Λ^{n} 30 τε τὴν B εἶναι MPΦ αὐτὸν εἶναι B εἶναι αὐτὸν S *eum esse* Λ^{n} 30/31 καλέσουσιν BSΦ^{ac}Λ^{n} καὶ καλέσουσιν MPΦ^{cr} 31 αὐτὸν [om. S] εἰς τὸ συνέδριον PS
32 οἱ δὲ — εἶπον] καὶ ἐν τῷ μεταξὺ ἐπανελθόντες οἱ προειρημένοι ἔφησαν P οἱ δὲ ἐπανελθόντες ἔφησαν S

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 2/18/16 11:45 PM

δὲ μετὰ πολλῆς βοηθείας στρατιωτῶν καὶ μοναχῶν καὶ ἐπαρχικῶν μέλλειν αὐτὸν παραγενέσθαι.

464 Καὶ τούτων λεγομένων καὶ ἐκδεχομένης τῆς ἁγίας συνόδου ὁ εὐλαβέστατος πρεσβύτερος καὶ ἔκδικος Ἰωάννης εἶπεν· Ἀπήντησεν ὁ εὐλαβέστατος πρεσβύτερος καὶ ἀρχιμανδρίτης Εὐτυχὴς μετὰ πολλοῦ πλήθους στρατιωτῶν καὶ μοναχῶν καὶ ταξεωτῶν τοῦ μεγαλοπρεπεστάτου καὶ ἐνδοξοτάτου ἐπάρχου τῶν πραιτωρίων καὶ οὐχ ἑτέρως αὐτὸν βούλονται ἀπολῦσαι ἵνα εἰσέλθῃ εἰς τὴν ἁγίαν ὑμῶν συνόδον, εἰ μὴ ἀντιφωνήσομεν ἀποκαθιστᾶν αὐτοῦ τὸ πρόσωπον· ἔστι δὲ καὶ Μάγνος ὁ θαυμασιώτατος σιλεντιάριος καὶ αὐτὸς ἅμα αὐτῶι πρὸ τῶν θυρῶν βουλόμενος εἰσελθεῖν ὡς ἀποσταλεὶς παρὰ τοῦ εὐσεβεστάτου καὶ φιλοχρίστου ἡμῶν βασιλέως.

465 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Εἰσίτωσαν.

466 Καὶ μετὰ τὸ εἰσελθεῖν ὁ θαυμασιώτατος σιλεντιάριος Μάγνος εἶπεν· Τῶν ποδῶν
L IIII 220 τῆς ἁγιωσύνης ὑμῶν, εἰ κελεύετε, δέξασθε τὴν ἀπόκρισιν τοῦ δεσπότου. φανερὰ γὰρ ὑμῖν ἐγγράφως ἐδήλωσεν, καὶ εἰ παρίσταται, ἀναγινωσκέσθω.

467 Ἡ ἁγία συνόδος εἶπεν· Ἀνάγνωθι τὰ παρὰ τοῦ εὐσεβεστάτου ἡμῶν βασιλέως προσταχθέντα, τέκνον.

Καὶ ἀνέγνω ὁ θαυμασιώτατος σιλεντιάριος Μάγνος οὕτως

468 Ἡμεῖς τῆς εἰρήνης φροντίζομεν καὶ τῶν ἁγίων ἐκκλησιῶν καὶ τῆς ὀρθοδόξου πίστεως καὶ φυλάττεσθαι θέλομεν τὴν ὀρθῶς καὶ θεοπνεύστως ἐκφωνηθεῖσαν πίστιν παρὰ τῶν πατέρων ἡμῶν τῶν ἐν Νικαίαι συναχθέντων τῶν τριακοσίων δέκα καὶ ὀκτὼ καὶ τῶν ἐν
M VI 733 Ἐφέσωι τῶν ἐπὶ τῆι καθαιρέσει Νεστορίου. τοῦτο οὖν θέλομεν μὴ σκάνδαλον εἰς τὴν προειρημένην ὀρθοδοξίαν βληθῆναι· ἐπειδὴ δὲ οἴδαμεν τὸν μεγαλοπρεπέστατον πατρίκιον Φλωρέντιον ὄντα πιστὸν καὶ μεμαρτυρημένον ἐπὶ τῆι ὀρθότητι, θέλομεν συνεῖναι αὐτὸν τῆι ἀκροάσει τῆς συνόδου, ἐπειδὴ λόγος περὶ πίστεώς ἐστιν.

469 Ἔτι τούτων ἀναγινωσκομένων ἡ ἁγία σύνοδος εἶπεν · Πολλὰ τὰ ἔτη τοῦ βασιλέως. μεγάλη ἡ πίστις τῶν βασιλέων. τῶν φυλάκων τῆς πίστεως πολλὰ τὰ ἔτη. τῶν ὀρθοδόξων βασιλέων πολλὰ τὰ ἔτη. τῶν εὐσεβεῖ τῶι ὀρθοδόξωι. τῶι εὐσεβεῖ βασιλεῖ. τῶι ἀρχιερεῖ βασιλεῖ. ἀκούετε ἅγιοι πατέρες. εὐχαριστοῦμεν τοῖς ὀρθοδόξοις βασιλεῦσιν.

470 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Τὸν κύριν Φλωρέντιον πιστὸν πάντες ἴσμεν καὶ μεμαρτυρημένον ἐπὶ ὀρθοδοξίαι καὶ βουλόμεθα αὐτὸν παρεῖναι· μάθωμεν δὲ καὶ παρὰ Εὐτυχοῦς τοῦ πρεσβυτέρου εἰ βούλεται αὐτὸν παρεῖναι.

471 Εὐτυχὴς πρεσβύτερος καὶ ἀρχιμανδρίτης εἶπεν· Ὃ δ' ἂν βούληται ὁ θεὸς καὶ ἡ ἁγιωσύνη ὑμῶν, ποιήσατε· ἐγὼ ἐμαυτὸν ὑμῖν παρατίθεμαι.

472 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Ἔλθηι καὶ ὁ μεγαλοπρεπέστατος πατρίκιος Φλωρέντιος. καταξίωσον οὖν, τέκνον ὁ σιλεντιάριος, σκῦλαι αὐτὸν.

MBPSΦ, Λ^{n} [praeter 25 ἡ ἁγία — 29; 469 = Coll. Nouar. 10, 96]. uersione Φ^{a} in 18—24 utitur Liberatus 11 p. 64 Garn.

1 βίασ S μοναχόντων B 1/2 παραγίνεσθαι B 3 λεγομένην S λελεγμένων B 5 καὶ²] καὶ ἐπαρχικῶν καὶ B 7 ἀντιφωνήσωμεν MP 7/8 ἀποκαθιστάναι S 8 σελεντιάριοσ S 9 καὶ αὐτὸς om. S βουλόμενοσ πρὸ τῶν θυρῶν S 11 εἰσιέτωσαν B 13 δέξασθαι MPΦΛ^{n}, corr. M ὑμῖν om. ΦΛ^{n} 14 *mandarunt* Λ^{n} 15 ἀναγινωσκέσθω B εὐσεβοῦσ B 16 τέκνον ὑπὸ τῆς σῆσ θαυμασιότητοσ B 17 οὕτωσ SΛ^{n} ὅτι MBP *ita quoniam* Φ 18 καὶ¹ om. $\Lambda^{n}\Phi^{ac}$ *dei ecclesiis* Φ^{r} 20 τῶν² om. BPS δεκαοκτὼ B 23 ἐν S 24 τῆσ πίστεωσ PS 26 φυλάκων] *oboedientium* Λ^{n} 26—28 πολλὰ — βασιλεῖ¹] τῶν ὀρθοδόξων αὐγούστων S 27 τῶι εὐσεβεῖ² om. B 30 κύριον MP 31 τῇ ὀρθοδοξίᾳ B 33 βούλεται MS

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 2/18/16 11:45 PM

473 Ὁ θαυμασιώτατος σιλεντιάριος Μάγνος εἶπεν· Καὶ κελεύσατέ τινα μετ' ἐμοῦ πεμφθῆναι κληρικόν, μή πως ἀμφιβάλῃ περὶ τούτου ὅτι ἡ ἁγιωσύνη ὑμῶν [οὐκ] ἀπέστειλεν.

474 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Εἰ ἐκέλευσεν ὁ εὐσεβέστατος ἡμῶν βασιλεὺς ἡμᾶς πέμψαι, ἐπέμψαμεν ἄν· ἐπειδὴ δὲ οὐκ ἐκέλευσεν, αὐτὸς μόνος διάβηθι πρὸς τὴν αὐτοῦ μεγαλοπρέπειαν.

475 Καὶ μετὰ τὸ ἐλθεῖν τὸν μεγαλοπρεπέστατον καὶ ἐνδοξότατον ἀπὸ ἐπάρχων καὶ ὑπάτων καὶ πατρίκιον Φλωρέντιον ἡ ἁγία σύνοδος εἶπεν· Στήτωσαν εἰς μέσον ὅ τε κατηγορῶν καὶ ὁ κατηγορούμενος καὶ ἀναγινωσκέσθω ἄνωθεν ἡ γενομένη πρᾶξις ἐπὶ τῆι κατὰ τὸν θεοφιλέστατον ἐπίσκοπον Εὐσέβιον καὶ τὸν εὐλαβέστατον πρεσβύτερον καὶ ἀρχιμανδρίτην Εὐτυχῆ ὑποθέσει, ἐφ' ὧι τε ὁδηγηθέντας ἡμᾶς ἐκ τῶν προτέρων πέρας δοῦναι τοῖς ἤδη κινηθεῖσιν τῶι τε δικαίωι καὶ τοῖς ἁγίοις κανόσιν συμβαῖνον.

476 Καὶ παρελθὼν εἰς μέσον Ἀέτιος διάκονος καὶ νοτάριος ἀνεγίνωσκεν τὴν γεγενημένην πρᾶξιν τῶν ὑπομνημάτων. καὶ ἐν τῶι ἀναγινώσκειν φθάσαντος αὐτοῦ εἰς τὸ μέρος τῆς δευτέρας ἐπιστολῆς τοῦ τῆς θείας μνήμης Κυρίλλου τῆς γραφείσης πρὸς τοὺς θεοφιλεστάτους τῆς Ἀνατολῆς ἐπισκόπους, ἐν ἧι περιείχετο τὰ ῥήματα ταῦτα· ὁμολογοῦμεν τοιγαροῦν τὸν κύριον ἡμῶν Ἰησοῦν τὸν Χριστὸν τὸν υἱὸν τοῦ θεοῦ τὸν μονογενῆ, θεὸν τέλειον καὶ ἄνθρωπον τέλειον ἐκ ψυχῆς λογικῆς καὶ σώματος, πρὸ αἰώνων μὲν ἐκ τοῦ πατρὸς γεννηθέντα κατὰ τὴν θεότητα, ἐπ' ἐσχάτου δὲ τῶν ἡμερῶν τὸν αὐτὸν δι' ἡμᾶς καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν ἐκ Μαρίας τῆς παρθένου κατὰ τὴν ἀνθρωπότητα, ὁμοούσιον τῶι πατρὶ κατὰ τὴν θεότητα καὶ ὁμοούσιον ἡμῖν κατὰ τὴν ἀνθρωπότητα. δύο γὰρ φύσεων ἕνωσις γέγονεν, δι' ὃ ἕνα Χριστόν, ἕνα κύριον ὁμολογοῦμεν. κατὰ ταύτην τὴν τῆς ἀσυγχύτου ἑνώσεως ἔννοιαν ὁμολογοῦμεν τὴν ἁγίαν παρθένον θεοτόκον διὰ τὸ τὸν θεὸν λόγον σαρκωθῆναι καὶ ἐνανθρωπῆσαι καὶ ἐξ αὐτῆς τῆς συλλήψεως ἑνῶσαι ἑαυτῶι τὸν ἐξ αὐτῆς ληφθέντα ναόν. M VI 736 p. 108, 31—109, 5 L. IIII 221

477 Ὁ θεοφιλέστατος ἐπίσκοπος Εὐσέβιος εἶπεν· Οὗτος, τῶν ποδῶν ὑμῶν, τοῦτο οὐχ ὁμολογεῖ οὐδὲ συνέθετό ποτε τούτοις, ἀλλ' ἐναντία τούτων ἐφρόνησεν καὶ ἐλάλησεν πρὸς ἕκαστον τῶν συντυγχανόντων αὐτῶι καὶ κατήχει.

478 Ὁ μεγαλοπρεπέστατος καὶ ἐνδοξότατος ἀπὸ ἐπάρχων καὶ ὑπάτων καὶ πατρίκιος Φλωρέντιος εἶπεν· Εἰ παρίσταται τῆι ὑμετέραι ὁσιότητι, ἐρωτάσθω ὁ πάπας Εὐτυχὴς εἴ γε συντίθεται τούτοις.

479 Ὁ θεοφιλέστατος ἐπίσκοπος Εὐσέβιος εἶπεν· Ἔνδοτε, ἀναγνωσθῆι πᾶσα ἡ πρᾶξις τῶν ὑπομνημάτων. ἀρκεῖ γάρ μοι ἡ πρᾶξις εἰς ἔλεγχον· καὶ γὰρ ἐμοὶ ἐληλεγμένος ἐστίν. οὐδὲ γὰρ ἄρτι ἐὰν σύνθηται λαβών ποθεν ἔκθεσιν, ἐγὼ πρόκριμα ὀφείλω ὑπομεῖναι. ἐγὼ ἀπέδειξα αὐτὸν καὶ διὰ τῶν καταθέσεων τῶν πρὸς αὐτὸν ἀποσταλέντων παρὰ τῆς ἁγίας συνόδου καὶ διὰ μαρτύρων ὁσιωτάτων ἐπισκόπων δύναμαι πάλιν τὰ αὐτὰ ἀποδεῖξαι, εἴ γε ἀρνήσοιτο. ἔστιν γὰρ ὁ κύριος Μελίφθογγος καὶ ὁ κύριος Ἰοβιανὸς καὶ ὁ κύριος Ἰουλιανός, εἰδότες ἀκριβῶς.

480 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Οὐδεὶς οὔτε σοὶ συγχωρεῖ, ἐπίσκοπε Εὐσέβιε,

---

MBPSΦΛⁿ

1 καὶ om. BS 1/2 πεμφθῆναι μετ' ἐμοῦ B 2/3 ὅτι — ἀπέστειλεν om. S 2 οὐκ M^corr B om. MPΦΛⁿ 4 ἡμῶν om. B 5 ἡμᾶς om. Φ 7 εἰσελθεῖν BPS 8 πατρικίων MP ἐν τῶι μέσωι B 9 γινομένη S 11 εὐτυχῆν PS ὑπόθεσιν P 12 ἐπὶ τοῖς P τῶι — συμβαῖνον MPBSΛⁿ om. Φ 13/14 γενομένην S 15 μέρος] μέσον B θείας MP ὁσίας B 16 περιεῖχεν MP 17 ἰν χν S 19 ἐσχάτων BS 24 τῆς om. B 25 συλληφθέντα B ναὸν BΦΛⁿ ἄνθρωπον MPS 28 καὶ κατήχησεν B διδάσκων S 29 πατρικίων MP 30 ἁγιωσύνη B ἐρωτάσθω om. S 31 γε] τε PΦ om. S 32 ἀναγνωσθῆναι PS 33 καὶ] ἤδη BΛⁿ 34 συντεθῆται S 35 καὶ om. B αὐτῶν M 36 ὁσίων S 37 Ἰοβιανὸς] *Iouinus* Λⁿ et Rusticus in adnotatione *Iohannes* Φ

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 2/18/16 11:45 PM

μὴ ἐλέγξαι αὐτὸν οὔτε τὸν πρεσβύτερον Εὐτυχῆ ἐκ τοῦ παραχρῆμα δέχεταί τις συντιθέμενον, ἐὰν μὴ ἐλεγχθῇ τί πρότερον ἐφρόνει.

481 M VI 737 Ὁ θεοφιλέστατος ἐπίσκοπος Εὐσέβιος εἶπεν· Δέδοικα αὐτοῦ τὴν περιδρομήν. ἐγὼ πένης εἰμί, ἀκτήμων· ἐξορίαν μοι ἀπειλεῖ, χρήματα ἔχει· ἀναζωγραφεῖ μοι ἤδη τὴν Ὄασιν.

482 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Κἂν μυριάκις ταῦτα λέγῃς ἐπιμένων, ἡμεῖς τῆς ἀληθείας οὐδὲν προτιμῶμεν.

483 Εὐσέβιος ἐπίσκοπος εἶπεν· Ἐὰν ἁλῶ ἐγὼ συκοφάντης, ἀφαιρεθῶ τῆς ἀξίας.

484 Ὁ μεγαλοπρεπέστατος καὶ ἐνδοξότατος ἀπὸ ἐπάρχων καὶ ὑπάτων καὶ πατρίκιος Φλωρέντιος εἶπεν· Πεῦσις προσενεχθῆι τῶι πρεσβυτέρωι Εὐτυχεῖ πῶς πιστεύει καὶ τί λέγει, καὶ τότε πάλιν ἐρωτάσθω διὰ τί νῦν ταῦτα λέγων πρότερον ἄλλως ἐφρόνει.

485 Εὐσέβιος ἐπίσκοπος εἶπεν· Καθὼς προεῖπον, προκρίματός μοι μὴ γινομένου ἀπὸ τῆς νῦν αὐτοῦ καταθέσεως ἐρωτάσθω. ἐγὼ γὰρ ἀπὸ τῶν ἤδη πραχθέντων ὑπομνημάτων ἤλεγξα αὐτὸν οὐκ ὀρθῶς φρονοῦντα.

486 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Οὐκ ἔσται σοι πρόκριμα ἀπὸ τοῦ νῦν αὐτὸν κατατίθεσθαι· ἡ γὰρ ἤδη γεγενημένη πρᾶξις τὴν ἰδίαν ἰσχὺν ἔχει.

487 Εὐσέβιος ἐπίσκοπος εἶπεν· Συντίθεται τούτοις τοῖς ἀναγνωσθεῖσιν ἄρτι τοῖς τοῦ μακαρίου Κυρίλλου καὶ ὁμολογεῖ δύο φύσεων ἕνωσιν γεγενῆσθαι ἐν ἑνὶ προσώπωι καὶ μιᾶι ὑποστάσει ἢ οὔ;

488 L IIII 224 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Ἤκουσας, πρεσβύτερε Εὐτυχῆ, τί ὁ κατήγορός σου λέγει· λέγε τοίνυν εἰ ἐκ δύο φύσεων ἕνωσιν ὁμολογεῖς.

489 Εὐτυχὴς πρεσβύτερος εἶπεν· Ναὶ ἐκ δύο φύσεων.

490 Εὐσέβιος ἐπίσκοπος εἶπεν· Ὁμολογεῖς δύο φύσεις, κύρι ὁ ἀρχιμανδρίτης, μετὰ τὴν ἐνανθρώπησιν καὶ ὁμοούσιον ἡμῖν εἶναι τὸν Χριστὸν λέγεις κατὰ σάρκα ἢ οὔ;

491 Ἡ ἁγία σύνοδος εἶπεν· Ἆρον καῦσον Εὐσέβιον. οὗτος ζῶν καῆι. οὗτος εἰς δύο γένηται. ὡς ἐμέρισεν, μερισθῆι.

492 Διόσκορος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Ἀνεκτὸς ὑμῖν ἐστιν οὗτος ὁ λόγος μετὰ τὴν ἐνανθρώπησιν δύο φύσεις εἰπεῖν;

493 Ἡ ἁγία σύνοδος εἶπεν· Ἀνάθεμα τῶι λέγοντι.

494 M VI 740 Διόσκορος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Ἐπειδὴ καὶ τῶν φωνῶν ὑμῶν χρείαν ἔχω καὶ τῶν χειρῶν, εἴ τις οὐ δύναται βοῆσαι, τὴν χεῖρα ἐκτεινάτω.

495 Ἡ ἁγία σύνοδος εἶπεν· Εἴ τις λέγει δύο, ἀνάθεμα.

496 Καὶ ἐν τῶι ἀναγινώσκεσθαι οἱ Ἀνατολικοὶ καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκοποι ἐβόησαν· Ταῦτα οὐδεὶς εἶπεν. ταῦτα Διόσκορος εἶπεν. ταῦτα οἱ Αἰγύπτιοι εἶπον.

10—11 cf. infra 721 12—13 cf. infra 727 17—32 adfert Timotheus Aelurus f. 57ª 25 ἡ ἐπὶ διοσκόρου M^{mg} τῆσ ἐν ἐφέσω δευτέρασ ἐπὶ διοσκόρου B^{mg} 26 post μερισθῆ in textu ἡ ἐπὶ διοσκόρου P 33 οἱ [om. B^{mg}] ἐν χαλκηδόνι [καλχηδόνι MPS] $M^{mg}B^{mg}$ post ἀναγινώσκεσθαι PS

MBPSΦ, $Λ^{n}$ [praeter 33 — p. 141, 4; 491—495 = Coll. Nou. 10, 100—104]

1 εὐτυχῆν MPS, corr. M 2 ὅτι B 4 ἤδη om. S 5 Ὄασιν] νόησιν PS 6 λέγεισ M 9 ἐπάρχων καὶ om. MP καὶ 3 om. B 10 προσηνέχθη PS εὐτυχῆ S 10/11 καὶ τί λέγει om. $Λ^{n}$ 11 νῦν] τοίνυν BS ἄλλα B ἐφρόνεισ S *asserebat* $Λ^{n}$ 12 μὴ om. S γενομένου B 13 αὐτοῦ om. M 15—17 Οὐκ — εἶπεν om. PS 15 ἔσται $MΦ^{r}Λ^{n}$ ἔστι $BΦ^{ac}$ 17 τούτοις om. S ἄρτι ἀναγνωσθεῖσι S τοῖς om. S 20 ὁ — ἤκουσας] ἤκουσασ οὖν S ὁ — ἀρχιεπίσκοπος] Φλωρέντιος Tim. 21 λέγε — ὁμολογεῖς om. S Tim. λέγε τοίνυν] λεγέτω νῦν $Λ^{n}$ 23 κῦρι ἀρχιμανδρῖτα B 24 κατὰ σάρκα λέγεισ B λέγεισ S 28 καὶ μετὰ $Λ^{n}$ 31 εἴ] ἡ M 32 δύο λέγει S 34 οὐδεὶσ εἶπε ταῦτα B

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 2/18/16 11:45 PM

497 Οἱ εὐλαβέστατοι ἐπίσκοποι Αἰγύπτιοι εἶπον· Ταῦτα καὶ τότε εἴπομεν καὶ νῦν λέγομεν.

Κωνσταντῖνος ὁ καθωσιωμένος σηκρητάριος τοῦ θείου κονσιστωρίου ἀπὸ τοῦ αὐτοῦ σχεδαρίου ἀνέγνω

498 Εὐτυχὴς πρεσβύτερος εἶπεν· Ἐγὼ οὐκ ἦλθον διαλεχθῆναι, ἀλλὰ ἦλθον πεῖσαι τὴν ὁσιότητα ὑμῶν ὅπως φρονῶ. γέγραπται γὰρ ἐν τῶι χάρτηι τούτωι τὸ ὅπως φρονῶ, καὶ κελεύσατε αὐτὸν ἀναγνωσθῆναι.

499 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Αὐτὸς ἀνάγνωθι.

500 Εὐτυχὴς πρεσβύτερος εἶπεν· Οὐ δύναμαι.

501 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Διὰ τί; σὺ οὐκ ἐξέθου ἢ ἄλλου ἐστὶν ἡ ἔκθεσις; εἰ σή ἐστιν, ἀνάγνωθι αὐτός.

502 Εὐτυχὴς πρεσβύτερος εἶπεν· Ἐμὴ μέν ἐστιν ἡ ὑπαγορία, ἡ δὲ ὑπαγορία ἴση ἐστὶν τῶν ἁγίων πατέρων.

503 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Ποίων πατέρων; εἰπὲ δι' ἑαυτοῦ· τί χρείαν ἔχεις χάρτου;

504 Καὶ ἐν τῶι ἀναγινώσκεσθαι Ἰωάννης ἐπίσκοπος Ἡφαίστου εἶπεν· Ὅτε μὲν ἀπῆν καὶ οὐκ ἠλπίζετο εἰς τὸ συνέδριον παραγενέσθαι, πᾶσα αὐτῶι φιλανθρωπία κατεπηγγέλλετο τῶι δοκεῖν· ἐπειδὴ δὲ παραγέγονεν, τότε πάσης ἀπανθρωπίας εἰς πεῖραν ἄγεται.

505 Εὐτυχὴς πρεσβύτερος εἶπεν· Οὕτω πιστεύω· προσκυνῶ τὸν πατέρα μετὰ τοῦ υἱοῦ καὶ τὸν υἱὸν μετὰ τοῦ πατρὸς καὶ τὸ ἅγιον πνεῦμα μετὰ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ. ὁμολογῶ δὲ τὴν ἔνσαρκον αὐτοῦ παρουσίαν γεγενῆσθαι ἐκ τῆς σαρκὸς τῆς ἁγίας παρθένου καὶ ἐνανθρωπῆσαι αὐτὸν τελείως διὰ τὴν σωτηρίαν ἡμῶν. οὕτως ὁμολογῶ ἐπὶ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος καὶ τῆς ὑμετέρας ἁγιωσύνης.

506 Διόσκορος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Καταδεχόμεθα ταύτην τὴν φωνήν.

507 Ἡ ἁγία σύνοδος εἶπεν· Αὕτη ἡ πίστις τῶν πατέρων.

508 Διόσκορος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Ἐπειδὴ λέγει ἡ θεοσέβεια ὑμῶν αὕτη ἡ πίστις τῶν πατέρων, ποία πίστις; ἣν ἐξέθετο τίς;

509 Ἡ ἁγία σύνοδος εἶπεν· Εὐτυχής· ὁ γὰρ Εὐσέβιος ἀσεβής ἐστιν.

510 Διόσκορος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Ἠκούσατε τῆς πίστεως Εὐτυχοῦς τοῦ ἀρχιμανδρίτου, ἰδοὺ πᾶσιν ὑμῖν ὁ σκοπὸς αὐτοῦ εὐσύνοπτος ἐγένετο.

---

5 τῆσ ἐν κωνσταντινουπόλει B^{mg} 16 ἐπι διοσκόρου M^{mg} τῆσ ἐν ἐφέσω δευτέρασ συνόδου B^{mg} 20 ἐπι φλαβιανοῦ M^{mg} ἐν κωνσταντινουπόλει B^{mg} ἐκθεσισ πίστεωσ εὐτυχοῦσ B^{mg} σημ̄ ὅτι ἐπὶ ταύτηι τῆι ἐκθέσει τῆσ ὁμολογίασ ἐδέξατο διόσκοροσ εὐτυχῆ ἅμα πάσηι τῆ συνόδω M^{mg} 25 ἐπὶ διοσκόρου M^{mg} ἐν τῆ ληστρικῆ συνόδω B^{mg}

5—15. 20—24 = infra 736

MBPSΦ, Λ^{n} [praeter 1—4; 14—31 = Coll. Nou. 10, 106—111]

1 αἰγύπτου B καὶ^{1} om. B 3 τοῦ — κονσιστωρίου om. B 4 σχιδαρίου P 5 ὁ εὐτυχὴσ P 6 ὑμῶν ὁσιότητα S σὴν ὁσιότητα P ὁσιότητα ὑμῶν P^{mg} χάρτηι τούτωι] αὐτῶ χάρτη S 6/7 τὸ — φρονῶ om. S 6 τὸ om. B 7 αὐτὸ S 10 σὺ οὐκ SΦΛ^{n} σὺ οὖν P αὐτὸσ M^{corr}B 11 αὐτό S 12 μέν om. B ἡ ὑπαγορία — ὑπαγορία P et infra 736 ἡ ὑπαγορία ἢ ὑπαγορία ΦΛ^{n} ἡ ὑπαγορία ἢ S ἡ ἔκθεσισ ἡ δὲ ὑπαγορία M^{corr}B ἴση MBPSΦΛ^{n} αὐτη infra 736 13 τῶν MPS τῆ τῶν B 14 πατέρων om. S διὰ σεαυτοῦ infra 736 16 καὶ — ἀναγινώσκεσθαι om. MPS 17/18 τῶ δοκεῖν κατεπηγγέλλετο S ἐπηγγέλλετο B 18 *quia putabatur non adesse* Λ^{n} τὸ M ἐπεὶ S παρεγένετο B τότε om. PS 20 προσκυνῶν MPΦ 31 ἡμῖν B

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 2/18/16 11:45 PM

511 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Ὁμολογεῖς ὁμοούσιον τῶι πατρὶ κατὰ τὴν
L IIII 225 M VI 741 θεότητα καὶ ὁμοούσιον τῆι μητρὶ κατὰ τὴν ἀνθρωπότητα τὸν αὐτὸν ἕνα υἱὸν τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν;

512 Εὐτυχὴς πρεσβύτερος εἶπεν· Ἐγὼ ἐπειδὴ παρεθέμην ἐμαυτὸν τῆι ἁγιωσύνηι ὑμῶν, εἶπον ὅπως φρονῶ περὶ αὐτοῦ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος· τί ποτε ἄλλο, μηκέτι με ἐξετάζετε.

513 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Νῦν ὁμολογεῖς ἐκ δύο φύσεων;

514 Εὐτυχὴς πρεσβύτερος εἶπεν· Ἐπειδὴ ὁμολογῶ θεόν μου καὶ κύριόν μου κύριον οὐρανοῦ καὶ γῆς, ἕως σήμερον φυσιολογεῖν ἐμαυτῶι οὐκ ἐπέτρεπον, ὁμοούσιον δὲ ἡμῖν ἕως νῦν οὐκ εἶπον πρὸ τούτου, ὁμολογῶ.

515 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Οὐ λέγεις ὁμοούσιον τῶι πατρὶ κατὰ τὴν θεότητα καὶ ὁμοούσιον ἡμῖν τὸν αὐτὸν κατὰ τὴν ἀνθρωπότητα;

516 Εὐτυχὴς πρεσβύτερος εἶπεν· Ἕως σήμερον οὐκ εἶπον τὸ σῶμα τοῦ κυρίου καὶ θεοῦ ἡμῶν ὁμοούσιον ἡμῖν, τὴν δὲ ἁγίαν παρθένον ὁμολογῶ εἶναι ἡμῖν ὁμοούσιον καὶ ὅτι ἐξ αὐτῆς ἐσαρκώθη ὁ θεὸς ἡμῶν.

517 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Ὁμοούσιος οὖν ἡμῖν ἐστιν ἡ παρθένος, ἐξ ἧς ἐσαρκώθη ὁ δεσπότης Χριστός;

518 Εὐτυχὴς πρεσβύτερος εἶπεν· Εἶπον ὅτι ἡ παρθένος ὁμοούσιος ἡμῖν ἐστιν.

519 Ὁ θεοφιλέστατος ἐπίσκοπος Βασίλειος εἶπεν· Εἰ ἡ μήτηρ ἐστὶν ἡμῖν ὁμοούσιος, καὶ αὐτός· υἱὸς γὰρ ἀνθρώπου ἐκλήθη. εἰ οὖν ἡ μήτηρ αὐτοῦ ὁμοούσιος ἡμῖν ἐστιν, καὶ αὐτὸς κατὰ σάρκα ὁμοούσιος ἡμῖν ἐστιν.

520 Εὐτυχὴς πρεσβύτερος εἶπεν· Ἐπειδὴ νῦν λέγετε, πᾶσιν στοιχῶ.

521 Ὁ μεγαλοπρεπέστατος καὶ ἐνδοξότατος ἀπὸ ἐπάρχων καὶ ὑπάτων καὶ πατρίκιος Φλωρέντιος εἶπεν· Τῆς μητρὸς ὁμοουσίου ἡμῖν οὔσης πάντως καὶ ὁ υἱὸς ὁμοούσιος ἡμῖν ἐστιν.

522 Εὐτυχὴς πρεσβύτερος εἶπεν· Ἕως σήμερον οὐκ εἶπον· ἐπειδὴ γὰρ σῶμα θεοῦ αὐτὸ ὁμολογῶ (προσέσχες;), οὐκ εἶπον σῶμα ἀνθρώπου τὸ τοῦ θεοῦ σῶμα, ἀνθρώπινον δὲ τὸ σῶμα καὶ ὅτι ἐκ τῆς παρθένου ἐσαρκώθη ὁ κύριος. εἰ δὲ δεῖ εἰπεῖν ἐκ τῆς παρθένου καὶ ὁμοούσιον ἡμῖν, καὶ τοῦτο λέγω, κύρι, πλὴν τὸν υἱὸν τοῦ θεοῦ μονογενῆ, κύριον οὐρανοῦ καὶ γῆς, συνδεσπόζοντα καὶ συμβασιλεύοντα τῶι πατρί, μεθ' οὗ καὶ συγκαθέζεται καὶ συνυμνεῖται. οὔτε γὰρ λέγω τὸ ὁμοούσιον ἀρνούμενος τοῦ εἶναι αὐτὸν υἱὸν τοῦ θεοῦ. πρότερον μὲν οὐκ ἔλεγον, λέγω δέ σοι ὅ τι, νομίζω, ἐν ταῖς ἀρχαῖς οὐκ ἔλεγον, νῦν δὲ ἐπειδὴ ἡ ὁσιότης ὑμῶν εἶπεν τοῦτο, λέγω.

523 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Οὐκοῦν κατὰ ἀνάγκην, οὐ κατὰ γνώμην τὴν ἀληθῆ πίστιν ὁμολογεῖς;

1 ἐπὶ φλαβιανοῦ M^{mg} ἐν κωνσταντινουπόλει B^{mg}
1—3 cf. infra 756
26 ἐπειδὴ — 32 θεοῦ. p.143, 7—13 adfert Timotheus Aelurus f. 56b

MB, P [usque ad 13 σήμερον], p [inde a 13 οὐκ], SΦ$Λ^a$

2 θεότητα τὸν υἱὸν B 6 με om. PS ἐξετάζετε BΦ$Λ^a$ ἐξέταζε MPS 8 καὶ κύριόν μου om. $Λ^a$ κν μου καὶ B κύριον^a BΦ$Λ^a$ om. MPS καὶ κύριον M^{mg} 9 ἐμαυτὸν S ἐπέτρεπον PS$Λ^a$ ἐπιτρέπω MBΦ 13/14 καὶ θεοῦ om. pS 14 ἡμῶν om. B εἶναι om. S ὁμοούσιον ἡμῖν pS 16—18 om. $Λ^a$ 16 καὶ ἐξ αὐτῆσ B 19 ὁμοούσιοσ ἡμῖν ἐστὶ B ἐστὶν ὁμοούσιοσ M 20 αὐτός] αὐτὸσ ὁ υἱόσ S αὐτοῦ pSΦ$Λ^a$ om. MB 21 ἐστιν om. S 22 πᾶσιν] κἀγὼ S 23 ἀπὸ ὑπάτων p πατρικίων Mp 24 εἶπεν ἐπεὶ S 27 πρόσεχε MpS, corr. M 29 καὶ^1 om. $Λ^a$ ὁμοούσιοσ pS κύριοι B om. S 31 οὐδὲ B τὸ om. MpS, corr. M 32 οὖν οὐκ B ὅ τι νομίζω] νομίζω ὅτι S *quia sic aestimo quia* Φ^r 33 οὐκ om. $Λ^a$

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 2/18/16 11:45 PM

524 Εὐτυχὴς πρεσβύτερος εἶπεν· Ἄρτι, κύρι, οὕτως ἔχε· ἕως τῆς ὥρας ταύτης ἐφο- M VI 744
βούμην εἰπεῖν, ἐπειδὴ οἶδα τὸν κύριον θεὸν ἡμῶν, καὶ φυσιολογεῖν ἐμαυτῷ οὐκ ἐπέτρεπον· ἐπειδὴ δὲ ἡ ὁσιότης ὑμῶν ἐπιτρέπει καὶ διδάσκει, λέγω.

525 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Οὐχ ἡμεῖς καινοτομοῦμεν, ἀλλ' οἱ πατέρες ἐξέθεντο καὶ καθὼς ἡ ἐκτεθεῖσα πίστις παρ' αὐτῶν ἔχει, οὕτως πιστεύοντες τούτοις ἐμ- 5
μεῖναι ἅπαντας βουλόμεθα καὶ μηδένα καινοτομεῖν.

526 Ὁ μεγαλοπρεπέστατος καὶ ἐνδοξότατος πατρίκιος Φλωρέντιος εἶπεν· Ὁμοούσιον καὶ ἐκ δύο φύσεων μετὰ τὴν ἐνανθρώπησιν τὸν κύριον ἡμῶν τὸν ἐκ τῆς παρθένου λέγεις ἢ οὔ;

527 Εὐτυχὴς πρεσβύτερος εἶπεν· Ὁμολογῶ ἐκ δύο φύσεων γεγενῆσθαι τὸν κύριον 10
ἡμῶν πρὸ τῆς ἑνώσεως, μετὰ δὲ τὴν ἕνωσιν μίαν φύσιν ὁμολογῶ.

528 Διόσκορος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Συντιθέμεθα τούτοις καὶ ἡμεῖς πάντες. L IIII 228

529 Ἡ ἁγία σύνοδος εἶπεν· Συντιθέμεθα.

530 Καὶ ἐν τῶι ἀναγινώσκεσθαι οἱ Ἀνατολικοὶ καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπί-
σκοποι ἐβόησαν· Ταῦτα οὐδεὶς εἶπεν. ἀνάθεμα τῶι εἰπόντι. ὁ φονεὺς ταῦτα εἶπεν. 15
ταῦτα οἱ Αἰγύπτιοι εἶπον. ταῦτα τοῦ Φαραώ εἰσιν. ἀνάθεμα τοῖς εἰποῦσιν. ταῦτα Διοσκόρου εἰσίν. ταῦτα τοῦ φονέως εἰσίν. μετὰ ταῦτα τί ζητοῦμεν; τὰς φωνὰς τῶι βασιλεῖ. πολλὰ τὰ ἔτη τοῦ βασιλέως. πολλὰ τὰ ἔτη τῆς αὐγούστας. πολλὰ τὰ ἔτη τῆς συγκλήτου.

531 Εὐστάθιος ὁ εὐλαβέστατος ἐπίσκοπος Βηρυτοῦ εἶπεν· Καὶ ὁ σκοπὸς τοῦ εὐσε- 20
βεστάτου βασιλέως καὶ ὁ σκοπὸς τῆς εὐσεβεστάτης αὐγούστης καὶ ὁ σκοπὸς ὁ ὑμέτερος ἑνῶσαι βούλεται τὰς ἐκκλησίας. ἵνα τοίνυν μὴ μετὰ τὸ ἐξελθεῖν ἐντεῦθεν ἡμᾶς ἄρ-
ξωνται τινὲς λέγειν ὅτι ἐδογματίσθη δύο φύσεις λέγειν μετὰ τὴν ἕνωσιν μεμερισμένας

532 Καὶ ὡς ἔλεγεν, Βασίλειος ὁ εὐλαβέστατος ἐπίσκοπος Σελευκείας Ἰσαυρίας εἶπεν· Γνωρίζομεν τὰς δύο φύσεις, οὐ διαιροῦμεν. οὔτε διηρημένας οὔτε συγκεχυμένας 25
λέγομεν.

533 Οἱ ἐνδοξότατοι ἄρχοντες καὶ ἡ ὑπερφυὴς σύγκλητος εἶπον· Διέξιθι τὰ λοιπά.
Κωνσταντῖνος ὁ καθωσιωμένος σηκρητάριος τοῦ θείου κονσιστωρίου ἀπὸ τοῦ αὐτοῦ σχεδαρίου ἀνέγνω

534 Ἡ ἁγία σύνοδος εἶπεν· Δεῖ σε σαφῶς ὁμολογῆσαι καὶ ἀναθεματίσαι πᾶν τὸ ὑπε- 30
ναντίον τῶν νῦν ἀναγνωσθέντων δογμάτων.

535 Εὐτυχὴς πρεσβύτερος εἶπεν· Εἶπον τῆι ὁσιότητι ὑμῶν ὅτι πρὸ τούτου οὐκ ἔλεγον, M VI 745
νῦν δὲ ἐπειδὴ τοῦτο διδάσκει ἡ ὁσιότης ὑμῶν, λέγω καὶ ἀκολουθῶ τοῖς πατράσιν. οὔτε

---

10 σημ̄ ὅτι καὶ ἐπὶ ταύτη τῇ ὁμολογίᾳ δέχεται διόσκορος εὐτυχέα καὶ ἐπαινεῖ [ἐπαινοι M] ἅμα πάσῃ τῇ συνόδῳ M^{mg} 12 ἐπὶ Διοσκόρου M^{mg} ἐν ἐφέσῳ δηλονότι B^{mg} 24 οἱ ἐν χαλκηδόνι [καλχιδόνι M] M^{mg} ἐν τῇ χαλκηδόνων συνόδῳ B^{mg} 30 ἐν κωνσταντινουπόλει B^{mg} inscr. ἐπὶ φλαβιανοῦ MpS

MBpSΦ, $Λ^{n}$ [praeter 14—29]

1 κύρι om. S ἔχε $Φ^{ar}$ ἔχω $M^{corr}BΦ^{c}$ ἔσχεν p εἶχεν S ἔχει $Λ^{n}$ 2 ἐπειδὴ δὲ M^{corr} κ̄ν̄ τὸν θν S ἐν αὐτῷ p 4 ἀλλ' ὡσ B 5 παρ' αὐτῶν πίστισ S 5/6 ἐμμένειν B 8 τὸν^{2} om. S 12 ὑμεῖσ B 14 ἀναγνωσθῆναι B 15 ἐβόησαν BΦ εἶπον MpS 16/17 ἀνάθεμα — φονέως εἰσίν] ταῦτα τοῦ φονέωσ εἰσὶ ταῦτα διοσκόρου εἰσίν ἀνάθεμα τοῖσ εἰποῦσι ταῦτα B 18 αὐγούστησ BpS 21 ὁ σκοπὸς om. $SΦ^{ac}$ ὁ σκοπὸς om. S ἡμέτεροσ B 22 μὴ om. p ἐντεῦθεν om. B 23 λέγειν om. pS 24 Ἰσαυρίας om. MpS 25 γνωρίζομεν τὰς om. B 27 εἶπεν Mp 28 τοῦ — κονσιστωρίου om. B 29 σχιδαρίου p 31 δόγμα $Λ^{n}$ 33 καὶ οὐκ B

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 2/18/16 11:45 PM

δὲ ἐν ταῖς γραφαῖς εὗρον σαφῶς τοῦτο οὔτε οἱ πατέρες εἶπον πάντες. ἐὰν δὲ ἀναθεματίσω, οὐαί μοί ἐστιν, ὅτι τοὺς πατέρας μου ἀναθεματίζω.

536 Καὶ ἀναστᾶσα ἡ ἁγία σύνοδος ἐπεβόα λέγουσα· Ἀνάθεμα αὐτῷ.

537 Καὶ μετὰ ταῦτα ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Λεγέτω ἡ ἁγία σύνοδος τίνος ἐστὶν ἄξιος ὁ παρὼν μήτε ὁμολογῶν σαφῶς τὴν ὀρθὴν πίστιν μήτε συνθέσθαι τῷι φρονήματι τῆς παρούσης ἁγίας συνόδου βουλόμενος, ἀλλ' ἐπιμένων τῆι διεστραμμένηι καὶ πονηρᾶι αὐτοῦ κακονοίαι.

538 Ὁ θεοφιλέστατος ἐπίσκοπος Ἀμασείας Σέλευκος εἶπεν· Ἄξιος μέν ἐστιν οὗτος καθαιρέσεως, ἐν δὲ τῆι φιλανθρωπίαι μόνον τῆς ὑμετέρας κεῖται ἁγιωσύνης.

539 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Εἰ μὲν ὁμολογήσας τὸ οἰκεῖον πταῖσμα ἐπείσθη ἀναθεματίσαι τὸ ἴδιον δόγμα καὶ συνθέσθαι ἡμῖν ἑπομένοις ταῖς ἐκθέσεσιν τῶν ἁγίων πατέρων, εἰκότως ἠξιοῦτο συγγνώμης· ἐπειδὴ δὲ ἐπιμένει τῆι ἑαυτοῦ παρανομίαι, ὑποπεσεῖται τοῖς τῶν κανόνων ἐπιτιμίοις.

540 Εὐτυχὴς πρεσβύτερος εἶπεν· Λέγω μὲν ταῦτα, ἐπειδὴ καὶ ὑμεῖς νῦν ἐκελεύσατε, οὐκ ἀναθεματίζω δέ. ὃ γὰρ λέγω, μετὰ ἀληθείας λέγω.

541 Ὁ μεγαλοπρεπέστατος καὶ ἐνδοξότατος ἀπὸ ἐπάρχων καὶ ὑπάτων καὶ πατρίκιος Φλωρέντιος εἶπεν· Δύο φύσεις λέγεις καὶ ὁμοούσιον ἡμῖν; εἰπέ.

542 Εὐτυχὴς πρεσβύτερος εἶπεν· Ἐγὼ ἀνέγνων τοῦ μακαρίου Κυρίλλου καὶ τῶν ἁγίων πατέρων καὶ τοῦ ἁγίου Ἀθανασίου ὅτι ἐκ δύο μὲν φύσεων εἶπον πρὸ τῆς ἑνώσεως, μετὰ δὲ τὴν ἕνωσιν καὶ τὴν σάρκωσιν οὐκέτι δύο φύσεις εἶπον, ἀλλὰ μίαν.

543 Ὁ μεγαλοπρεπέστατος καὶ ἐνδοξότατος ἀπὸ ἐπάρχων καὶ ὑπάτων καὶ πατρίκιος Φλωρέντιος εἶπεν· Ὁμολογεῖς δύο φύσεις μετὰ τὴν ἕνωσιν; εἰπέ. ἐὰν μὴ εἴπηις, καθαιρῆι.

544 Εὐτυχὴς πρεσβύτερος εἶπεν· Ἀναγνωσθῆναι κελεύσατε τὰ τοῦ ἁγίου Ἀθανασίου,
L IIII 229 ἵνα γνῶτε ὅτι οὐδὲν τοιοῦτον λέγει.

545 Ὁ θεοφιλέστατος ἐπίσκοπος Βασίλειος εἶπεν· Ἐὰν μὴ δύο φύσεις μετὰ τὴν ἕνωσιν εἴπηις, σύγκρασιν λέγεις καὶ σύγχυσιν.

546 Καὶ ἀναστὰς ὁ αὐτὸς Βασίλειος ἐπίσκοπος Σελευκείας Ἰσαυρίας εἶπεν· Ταύτην ἣν λέγουσίν με εἰρηκέναι φωνὴν ἐγὼ οὐκ εἶπον αὐταῖς λέξεσιν. οὐκ οἶδα ταῦτα εἰρη-
M VI 748 κώς, εἰρηκότος δὲ τοῦ μονάζοντος ἐκ δύο φύσεων λέγω τὸν κύριον Ἰησοῦν Χριστόν, μετὰ δὲ τὴν ἕνωσιν μίαν φύσιν καὶ μὴ προσθέντος σεσαρκωμένην καὶ ἐνανθρωπήσασαν [ταῦτα] οἶδα εἰρηκὼς ὅτι ἐὰν εἴπηις ἐκ δύο φύσεων, μετὰ δὲ τὴν ἕνωσιν εἴπηις μίαν καὶ ἐὰν μὴ προσθῆις σεσαρκωμένην καὶ ἐνανθρωπήσασαν, ὑπονοῆι σύγχυσιν λέγειν καὶ σύγκρασιν· ἐὰν δὲ προσθῆις σεσαρκωμένην καὶ ἐνανθρωπήσασαν, τὰ αὐτὰ τοῖς πατράσιν ἡμῶν

---

26 ἐπὶ διοσκόρου B^{mg} [falso] 28 ἐπὶ διοσκόρου M^{mg} ἐν χαλκηδόνι B^{mg} [falso]
4—17. 18—23 = infra 771. 775
24—27 = infra 777. 545. 546 cf. 168. 176. 788. 791. 850
26—30 εἰρηκώς adfert Timotheus Aelurus f. 56^{b}. 57^{a}

MBpSΦ, Λ^{n} [545—548 = Coll. Nou. 10, 119—122]

3 αὐτῷ μετὰ ἀνάγκης οὐκ ἔνι πίστις B 4 καὶ μετὰ ταῦτα om. BS 9 τῆ φιλανία δὲ B κεῖται τῆς ὑμετέρας B 10 ἴδιον B 11 ἑπόμενος B 14 λέγω μὲν] λέγομεν p 16 πατρικίων Mp 17 Φλωρέντιος om. B εἰπέ] εἶναι Λ^{n} 19 ἁγιωτάτου B 21 πατρικίων Mp 24 μακαρίου B 26 ἐπίσκοποσ σελευκείασ B τὴν om. p 28 ὁ αὐτὸς om. B Σελευκείας om. MpΛ^{n} 29 οἶδα] *intellego* Λ^{n} 29/30 εἰρηκώς om. Φ 30 χν πρὸ τῆς ἑνώσεως B 31 ταῦτα MpS om. BΦΛ^{n} 32 φύσεων πρὸ τῆς ἑνώσεως B εἴπηις om. B ἐὰν om. B 33/34 ὑπονοῆι — ἐνανθρωπήσασαν om. S 33 καὶ^{2}] ἢ B

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 2/18/16 11:45 PM

λέγεις, δῆλον γὰρ ὅτι κατὰ τὴν ἔκθεσιν τῶν πατέρων [ὅτι] ἄλλο μέν τί ἐστιν ἡ θεότης αὐτοῦ, τουτέστιν τοῦ ἑνὸς κυρίου Ἰησοῦ Χριστοῦ, καὶ ἄλλο τι ἡ σὰρξ αὐτοῦ ἡ ἐκ μητρός.

547 Ἰουβενάλιος ἐπίσκοπος Ἱεροσολύμων εἶπεν· Αὕτη οὖν ἡ φωνὴ παραπεποίηται;

548 Βασίλειος ἐπίσκοπος Ἰσαυρίας εἶπεν· Οὐ μέμνημαι οὐδὲ οἶδα εἰρηκώς.

549 Ὁ μεγαλοπρεπέστατος καὶ ἐνδοξότατος Φλωρέντιος εἶπεν· Ὁ μὴ λέγων ἐκ δύο φύσεων καὶ δύο φύσεις οὐ πιστεύει ὀρθῶς.

550 Καὶ ἀναστᾶσα ἡ ἁγία σύνοδος [ἅπασα] ἐπεβόα· Μετὰ ἀνάγκης οὐκ ἔστιν πίστις. πολλὰ τὰ ἔτη τῶν βασιλέων. τῶν ὀρθοδόξων βασιλέων πολλὰ τὰ ἔτη. ἡ πίστις ὑμῶν ἀεὶ νικᾶι. οὐ συντίθεται, τί αὐτὸν πείθεις;

551 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Διὰ πάντων πεφώραται Εὐτυχὴς ὁ πάλαι πρεσβύτερος καὶ ἀρχιμανδρίτης ἔκ τε τῶν ἤδη πεπραγμένων καὶ τῶν οἰκείων αὐτοῦ νῦν καταθέσεων τὴν Οὐαλεντίνου καὶ Ἀπολιναρίου κακοδοξίαν νοσῶν καὶ ταῖς ἐκείνων δυσφημίαις ἀμεταθέτως ἀκολουθῶν, ὃς γε οὐδὲ τὴν ἡμετέραν αἰδεσθεὶς παραίνεσίν τε καὶ διδασκαλίαν συνθέσθαι τοῖς ὀρθοῖς δόγμασιν κατεδέξατο· ὅθεν ἐπιδακρύσαντες καὶ στενάξαντες ἐπὶ τῇι παντελεῖ ἀπωλείαι αὐτοῦ ὡρίσαμεν διὰ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ ὑπ' αὐτοῦ βλασφημηθέντος ἀλλότριον αὐτὸν εἶναι παντὸς ἱερατικοῦ τάγματος καὶ τῆς πρὸς ἡμᾶς κοινωνίας καὶ τοῦ προεστάναι μοναστηρίου, εἰδότων ἐκείνων πάντων τῶν μετὰ ταῦτα διαλεγομένων αὐτῶι ἢ συντυγχανόντων ὡς ὑπεύθυνοι ἔσονται καὶ αὐτοὶ τῶι τῆς ἀκοινωνησίας ἐπιτιμίωι ὡς μὴ ἀποστάντες τῆς πρὸς αὐτὸν ὁμιλίας.

552 1 Φλαβιανὸς ἐπίσκοπος Κωνσταντινουπόλεως [νέας] Ῥώμης ὁρίσας ὑπέγραψα

2 Σατορνῖνος ἐπίσκοπος Μαρκιανουπόλεως ὁρίσας ὑπέγραψα M VI 749

3 Βασίλειος ἐπίσκοπος Σελευκείας Ἰσαυρίας ὁρίσας ὑπέγραψα

4 Σέλευκος χάριτι Χριστοῦ ἐπίσκοπος Ἀμασείας τοῦ Ἑλενοπόντου ὁρίσας ὑπέγραψα

5 Εὐλάλιος ἐπίσκοπος Χαλκηδόνος ὁρίσας ὑπέγραψα

6 Τιμόθεος ἐπίσκοπος ὁρίσας ὑπέγραψα

7 Δωρόθεος ἐπίσκοπος ἐλέει θεοῦ Νεοκαισαρείας ἀναγνοὺς καὶ συναινέσας ὑπέγραψα

8 Αἰθέριχος ἐπίσκοπος Σμύρνης ὥρισα· εἴ τις ἄλλο φρονεῖ ἕνεκεν τῆς πίστεως ἔξωθεν τῶν ὁρισθέντων παρὰ πάσης τῆς ἁγίας σύνοδου τῆς κατὰ Νίκαιαν, ἀνάθεμα ἔστω

9 Καλλίνικος ἐπίσκοπος Ἀπαμείας τῆς Βιθυνίας ὁρίσας ὑπέγραψα L IIII 231

10 Κεκρόπιος ἐλέει θεοῦ ἐπίσκοπος Σεβαστοπόλεως ὁρίσας ὑπέγραψα

11 Μελίφθογγος ἐλέει θεοῦ ἐπίσκοπος τῆς κατὰ ἡλιούπολιν ἁγίας τοῦ θεοῦ ἐκκλησίας ὁρίσας ὑπέγραψα

---

5 ἐπὶ φλαβιανοῦ M^{mg} ἐν κωνσταντινουπόλει B^{mg} 10 εὐτυχοῦσ καθαίρεσισ inscr. M καθαίρεσισ εὐτυχοῦσ $M^{mg}B^{mg}$ 14 σημ τὰ τῆσ καθαιρέσεωσ ῥήματα p^{mg}

5—6 = infra 777 7—9 = infra 783 10—20 = infra 825

3—4. 10—19 adfert Timotheus Aelurus f. 57a

MBpSΦΛn

1 γὰρ MpS δὲ B om. ΦΛn ὅτι¹ erasit M ὅτι² om. BΛnΦa 2 καὶ ἄλλο] ἄλλο δέ B αὐτοῦ om. B τῆσ μητρὸσ ἣ ἐσάρκωσεν ἑαυτόν καὶ ἐφθάρη ἐν τῶ χάρτη μέροσ B cf. infra 791 3 οὖν om. S 5 πατρίκιοσ φλωρέντιοσ B 7 ἅπασα MBPSΦΛn, cf. Rusticum 783 adnotantem: hic Graeci codices male habent *omnis sancta synodus;* nam in praecedentibus, ubi ipsa actio prius inserta est, non habet ipsum *omnis* ἐστιν] ἕνι B 8 τῶν ὀρθοδόξων βασιλέων om. MS πολλὰ τὰ ἔτη om. S 9 ὑμῶν MΦΛn ἡμῶν BpS cf. infra 783 11 οἰκείων B et 825 ἰδίων MpS 14 ὀρθοδόξοισ B 17 ἐκείνων] *hoc* Φ 20 Ῥώμησ Φ νέασ ῥώμησ MpS om. BΛn ἐπίσκοποσ om. inde a 21 S, inde a 22 B 23 χάριτι χριστοῦ om. BS τοῦ om. S inde a 23 ὁρίσας ὑπέγραψα et cetera omnia praeter ipsa episcoporum ciuitatumque nomina om. B 24 om. Λn καλχηδόνοσ MpS 25. 26 post 28 coll. Λn 26. 30. 31 etc. ἐλέει θῦ om. S 30 σεβαστουπόλεωσ M^{corr} 31/32 μελίφθογγοσ τῆσ κατὰ ἡλιούπολιν B om. Φa 31 postulatur Ἰουλιόπολιν

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 2/18/16 11:45 PM

12 Λογγῖνος ἐλέει θεοῦ ἐπίσκοπος Χερσονήσου ὁρίσας ὑπέγραψα
13 Τρύφων ἐπίσκοπος τῆς Χίου πόλεως τῶν Νήσων τοῦ θεοῦ ἐκκλησίας ὁρίσας ὑπέγραψα χειρὶ ἐμῇι
14 Παῦλος ἐπίσκοπος τῆς Ἀπολλωνιατῶν πόλεως ἁγίας ἐκκλησίας ὁρίσας ὑπέγραψα. ὁ ἑαυτὸν δείρας, οὐδεὶς αὐτοῦ φείδεται
15 Σάβας ἐπίσκοπος Πάλτου ὁρίσας ὑπέγραψα χειρὶ ἐμῇι
16 Ἰοβιανὸς ἐπίσκοπος Διβέλτου ὁρίσας ὑπέγραψα
17 Ἰουλιανὸς ἐλάχιστος ἐπίσκοπος τῆς Κῶ ὁρίσας ὑπέγραψα
18 Σαβινιανὸς ἐπίσκοπος τῆς κατὰ Τερμισσὸν καὶ Εὐδοκιάδα καὶ Ἰοβίαν ἁγίας τοῦ θεοῦ ἐκκλησίας ὁρίσας ὑπέγραψα
19 Εὐστόχιος ἐλέει θεοῦ ἐπίσκοπος τῆς ἁγίας ἐκκλησίας Δοκιμίου ὁρίσας ὑπέγραψα
20 Πιόνιος ἐλάχιστος ἐπίσκοπος τῆς κατὰ Τρωάδα ἁγίας τοῦ θεοῦ ἐκκλησίας ὁρίσας ὑπέγραψα
21 Κοσσίνιος ὁ ἐλάχιστος ἐπίσκοπος πόλεως Ἱεροκαισαρείας ὁρίσας ὑπέγραψα
22 Ἰωάννης ὁ ἐλάχιστος ἐπίσκοπος πόλεως Ὑρκανῶν ὁρίσας ὑπέγραψα
M VI 752 23 Διαφερόντιος ἐπίσκοπος πόλεως Ὄλβης ὁρίσας ὑπέγραψα
24 Ἰουλιανὸς ἐπίσκοπος πόλεως Μουστίνης ὁρίσας ὑπέγραψα
25 Ῥωμανὸς ἐπίσκοπος Εὐδοξιουπόλεως ὁρίσας ὑπέγραψα
26 Εὐδόξιος ⟨ἐπίσκοπος πόλεως⟩ Βοσπόρου ⟨ὑπέγραψα⟩ ὁρίσας διὰ τοῦ πρεσβυτέρου Βασιλίσκου
27 Θωμᾶς ὁ ἐλάχιστος ἐπίσκοπος Βαλεντινιανουπόλεως ὁρίσας ὑπέγραψα
28 Αὐρήλιος ἐπίσκοπος τῆς ὀππιτανῶν ὑπέγραψα
29 Τιμόθεος ἐπίσκοπος ἀριμουπόλεως ὁρίσας ὑπέγραψα
30 Γενέθλιος ἐπίσκοπος Ἀργείων ὑπέγραψα
31 Ἀνδρέας πρεσβύτερος καὶ ἀρχιμανδρίτης ὑπέγραψα τῆι καθαιρέσει Εὐτυχοῦς διὰ τοῦ πρεσβυτέρου Τιμοθέου
32 Φαῦστος πρεσβύτερος καὶ ἀρχιμανδρίτης ὑπέγραψα τῆι καθαιρέσει Εὐτυχοῦς τοῦ πάλαι πρεσβυτέρου καὶ ἀρχιμανδρίτου
33 Μαρτῖνος πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τοῦ μακαρίου Δίου ὑπέγραψα τῆι καθαιρέσει Εὐτυχοῦς τοῦ πάλαι πρεσβυτέρου καὶ ἀρχιμανδρίτου διὰ τοῦ ἀδελφοῦ Φιλίππου
34 Μανουήλιος πρεσβύτερος καὶ ἀρχιμανδρίτης ὑπέγραψα τῆι καθαιρέσει Εὐτυχοῦς
35 Πέτρος πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τοῦ μακαρίου Θαλασσίου ὑπέγραψα
L IIII 232 τῆι καθαιρέσει Εὐτυχοῦς τοῦ πάλαι πρεσβυτέρου καὶ ἀρχιμανδρίτου διὰ Θεοδώρου μοναχοῦ

MBpSΦΛ[n]

1 χερσονήσσου MΦ[a] 2/3 τρύφων χίου πόλεωσ τῶν νησίων B 4 παῦλοσ ἀπολλωνιέων B ἐκκλησίασ ὧν p 5 ὁ γὰρ S 6 σάββασ B 7 ἰοβιανὸσ λιβέλτου B ἰοβινὸσ MpΦΛ[n] τοβιβιανὸσ S διβέλτου p δυβέλτου S δηβελτοῦ M 8 ἰουλιανὸσ τῆσ κῶ B 9/10 σαβινιανὸσ τῆσ κατὰ τέρμισον καὶ εὐδοκιάδα B 9 σαβιανὸσ pS ἰοβίαν καὶ εὐδοκιάδα S 11 εὐστόχιοσ [= Λ[n]] δοκιμίου B εὐτύχιοσ MpSΦ 12/13 πιόνιοσ B 14 εὐσίγνιοσ ἱεροκαισαρείασ B κοσσίνιοσ p κοσσίγνιοσ MSΦ[r] 15 ἰωάννησ λυκαόνων B πόλεωσ om. pS 16 διαφεράντιοσ [= Λ[n]] ὀλόησ B διαφερέντιοσ MpSΦ 17 ἰουλιανὸσ παλαιστίνησ B μουστίνησ M μωστίνησ p μοστίνησ S 18 ῥωμανὸσ εὐδοξιουπόλεωσ B 19/20 om. S εὐδόξιοσ βοσπόρου B Εὐδόξιος — ὑπέγραψα om. Mp suppleui ex ΦΛ[n] ὁρίσας om. p 21—p. 147, 31 om. B 21 βαλεντιανουπόλεωσ pS 22 *Popitanae* Λ[n] ὁρίσασ ὑπέγραψα S *his gestis subscripsi* Φ[r] post 22 habet *Secundinus episcopus Nouensis his gestis subscripsi Ianuarius episcopus ciuitatis Macrianae subscripsi* Λ[n] 23 om. pS ἀριμουπόλεωσ MΦ *priscopoleos* Λ[n], *latet* Πριμουπόλεωσ 24 ἄργουσ pS 25/26 om. Λ[n] 27 *archimandrites monasterii beati Dionysii* Λ[n] 29—31 om. Λ[n] 32/33 ὑπέγραψα — ἀρχιμανδρίτης om. p 33—35 ante 32 coll. Λ[n]

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 2/18/16 11:45 PM

36 Ἰὼβ πρεσβύτερος καὶ ἀρχιμανδρίτης ὑπέγραψα τῇι καθαιρέσει Εὐτυχοῦς διὰ τοῦ διακόνου μου Ἀνδρέου

37 Ἀντίοχος πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τοῦ μακαρίου Θεοτέκνου ὑπέγραψα τῇι καθαιρέσει Εὐτυχοῦς

38 Ἀβράμιος πρεσβύτερος καὶ ἀρχιμανδρίτης ὑπέγραψα τῇι καθαιρέσει Εὐτυχοῦς

39 Θεόδωρος μονάζων καὶ ἀρχιμανδρίτης ὑπέγραψα τῇι καθαιρέσει Εὐτυχοῦς

40 Θεόδωρος πρεσβύτερος καὶ ἀρχιμανδρίτης τῶν Αἰγυπτίων ὑπέγραψα τῇι καθαιρέσει Εὐτυχοῦς

41 Πιέντιος πρεσβύτερος καὶ ἀρχιμανδρίτης τοῦ μαρτυρίου τῶν νηπίων ὑπέγραψα τῇι καθαιρέσει Εὐτυχοῦς

42 Φλαβιανὸς ἀρχιμανδρίτης μονῆς τοῦ ἁγίου Ἑρμάου ὑπέγραψα τῇι καθαιρέσει Εὐτυχοῦς M VI 753

43 Εὐσέβιος πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς Ἠλία ὑπέγραψα τῇι καθαιρέσει Εὐτυχοῦς

44 Εὐσέβιος πρεσβύτερος καὶ ἀρχιμανδρίτης μονῆς τοῦ ἁγίου Εὐλογίου ὑπέγραψα διὰ Θεοδούλου διακόνου μου τῇι καθαιρέσει Εὐτυχοῦς

45 Τρύφων ἀρχιμανδρίτης ὑπέγραψα τῇι καθαιρέσει Εὐτυχοῦς

46 Ἰάκωβος διάκονος καὶ ἀρχιμανδρίτης τῶν Σύρων ὑπέγραψα διὰ Ζωτικοῦ μονάζοντός μου τῇι καθαιρέσει Εὐτυχοῦς

47 Ἐλπίδιος πρεσβύτερος καὶ ἀρχιμανδρίτης ὑπέγραψα τῇι καθαιρέσει Εὐτυχοῦς

48 Παῦλος πρεσβύτερος καὶ ἀρχιμανδρίτης τοῦ αἰθρίου ὑπέγραψα τῇι καθαιρέσει Εὐτυχοῦς

49 Κάρωσος πρεσβύτερος καὶ ἀρχιμανδρίτης ὑπέγραψα τῇι καθαιρέσει Εὐτυχοῦς

50 Ἀστέριος πρεσβύτερος καὶ ἀρχιμανδρίτης τῆς μονῆς τοῦ μακαρίου Λαυρεντίου ὑπέγραψα τῇι καθαιρέσει Εὐτυχοῦς

51 Καλλίνικος μονάζων καὶ ἀρχιμανδρίτης μονῆς τῶν Θεοδότου ὑπέγραψα τῇι καθαιρέσει Εὐτυχοῦς

52 Γερμανὸς πρεσβύτερος καὶ ἀρχιμανδρίτης ὑπέγραψα τῇι καθαιρέσει Εὐτυχοῦς διὰ Γλυκερίου διακόνου

53 Μάρκελλος ὁ ἐλάχιστος πρεσβύτερος καὶ ἀρχιμανδρίτης ὑπέγραψα τῇι καθαιρέσει Εὐτυχοῦς χειρὶ ἐμῇι

Ὅλοι $\overline{\text{νγ}}$ ὑπέγραψαν

553 Εὐτυχὴς ἀρχιμανδρίτης εἶπεν· Τινὰ τῶν ὑπομνημάτων τῶν ἀναγνωσθέντων παρεποιήθη καὶ ἔστιν τὰ ἐπὶ τούτοις πεπραγμένα καὶ ἀξιῶ ταῦτα ἀναγνωσθῆναι.

554 Ἰουβενάλιος ἐπίσκοπος Ἱεροσολύμων εἶπεν· Ὑποδεχθέντα ἀναγινωσκέσθω καὶ ἐμφερέσθω τοῖς πραττομένοις ὑπομνήμασιν.

Ἰωάννης πρεσβύτερος καὶ πρῶτος νοταρίων ἀνέγνω

32 post εἶπεν inscr. ἐπὶ διοσκόρου MpS ἐν ἐφέσῳ B^{mg}

MBpS, Λ^{a} [usque ad 26 = Coll. Nouar. 2, 161; inde a 32 = Coll. Nouar. 10, 124 sq.]

2 μου om. S 5 ἀβραάμιοσ p 11 *Claudius archimandrita subscripsi* Λ^{a} ἑρμάου M ἑρμείου p *Hermylli* Φ 14/15 om. Λ^{a} post 16 coll. S 17 καὶ om. M τῶν om. S 20 αἰθρίου pΦ^{cr} ἑθρίου M^{corr} *aetherii* Φ^{a} 26—31 om. Λ^{a}, sed cf. Coll. Nouar. 10, 123 31 om. S πεντήκοντα τρεῖσ p 32 ὁ ἀρχιμανδρίτησ p πρεσβύτεροσ καὶ ἀρχιμανδρίτησ BΛ^{a} ὑπομνημάτων] ἀναγνωσμάτων S 32/33 παραπεποίηται B 34 ἀναγνωσθῶσι B

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 2/18/16 11:45 PM

555 Ἀντίγραφον ὑπομνημάτων γενομένων Εἰδοῖς Ἀπριλλίαις ἐν Κωνσταντινουπόλει
L. IIII 234 Φλαυίου Πρωτογένους καὶ τοῦ δηλωθησομένου ὑπάτου, θείαι κελεύσει, καθεζομένων
d. 13. m. Apr. 449 ἐν τῇι μειζοτέραι στοᾶι τῆς ἁγιωτάτης ἐκκλησίας

1 Φλαβιανοῦ τοῦ εὐλαβεστάτου ἐπισκόπου ταύτης τῆς ἐνδόξου πόλεως
M VI 756 2 Φλωρεντίου τοῦ μεγαλοπρεπεστάτου ἀπὸ ἐπάρχων πόλεως καὶ ἀπὸ ἐπάρχων πραιτωρίων τὸ ἕκτον καὶ ἀπὸ ὑπάτων καὶ πατρικίου
3 Θαλασσίου τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Καισαρέων πόλεως ἐπαρχίας Καππαδοκίας
4 Εὐσεβίου τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Ἀγκυρανῶν πόλεως
5 Σελεύκου τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Ἀμασέων πόλεως
6 Βασιλείου τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Σελευκέων πόλεως ἐπαρχίας Ἰσαυρίας
7 Ἀλεξάνδρου τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Τομέων πόλεως ἐπαρχίας Σκυθίας
8 Μαρινιανοῦ τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Συναδέων πόλεως
9 Μελιφθόγγου τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Ἰουλιουπολιτῶν πόλεως
10 Ἀκακίου τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Ἀριαραθηνῶν πόλεως
11 Πρόκλου τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Ἀδραηνῶν πόλεως
12 Δανιηλίου τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Καδοηνῶν πόλεως
13 Σάβα τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Παλτηνῶν πόλεως
14 Λογγίνου τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Χερσονησιτῶν πόλεως
15 Ἰωάννου τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Βυρκαληνῶν πόλεως ἐπαρχίας Καρίας
16 Παυλίνου τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Θεοδοσιουπολιτῶν πόλεως ἐπαρχίας Ἀσίας
17 Θωμᾶ τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Θεοδοσιουπολιτῶν πόλεως ἐπαρχίας Φρυγίας Πακατιανῆς
18 Τιμοθέου τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Ἀρκηνῶν πόλεως ἐπαρχίας Παλαιστίνης
19 Εὐσεβίου τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Δορυλαέων πόλεως ἐπαρχίας Φρυγίας Σαλουταρίας
20 Παύλου τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Ἀπολλωνιατῶν πόλεως ἐπαρχίας Βιθυνίας
21 Εὐδοξίου τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Βοσπορηνῶν πόλεως
22 Εὐστοχίου τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Δοκιμηνῶν πόλεως

---

1 τὰ πραχθέντα μετὰ τὴν καθαίρεσιν εὐτυχοῦσ ἐν κωνσταντινουπόλει, ἀναγνωσθέντα δὲ ἐν ἐφέσωι ἐπὶ διοσκόρου M^mg

---

MBpSΦΛ^n

1 ιδοῖσ M ἀπριλίαισ M 2 φλαυβίου Mp, corr. M 4 εὐλαβεστάτου MpSΦ^acΛ^n ἁγιωτάτου BΦ^r 6 καὶ^2 om. Λ^n πατρικίων Mp 9 sq. hinc inde semper om. τοῦ εὐλαβεστάτου B 10 πόλεως om. B 11 τῆς — ἐπαρχίας] σελευκείασ B 12 ταμέων S ἐπαρχίας om. B 13 μαρινιανοῦ MpΦ μαριανοῦ BS *marino* Λ^n τῆς — πόλεως] συνάδων B 14 τῆς — πόλεως] ἡλιουπόλεωσ B Ἰουλιουπολιτῶν M^corr ἰουλιοπολιτῶν MS Ἰλιοπολιτῶν p 15 τοῦ — πόλεως] ἀριαραθίασ B ἀριαραθηνῶν p ἀριαθηνῶν S ἀριαθητῶν M ἀριαθιτῶν M^corr 16—p. 149, 18 om. Λ^n 16 τῆς — πόλεως] ἀδριανουπόλεωσ B cf. Φ Ἀδραηνῶν scripsi ἀδριανῶν p ἀνδριανῶν S ὁσροηνῶν M in ras. 17 δανιὴλ B τῆς om. B καλοηνίασ B 18 σάββα B τῆς — πόλεως] παλαιστηνοῦ B 19 τῆς — πόλεως] χερσονησιωτῶν B χερσοννησιτῶν p 20 *hyrcanopolitanus* Φ^a *byreadenupolitanus* Φ^cr πόλεως ἐπαρχίας om. B 21 τοῦ — πόλεως] θεοδοσιουπόλεωσ B 23 τῆς — ἐπαρχίας] θεοδοσιουπόλεωσ B 25/26 τοῦ — Παλαιστίνης] ἀρκηνῶν παλαιστηνοῦ B 25 ἀρκινῶν M σαρκηνῶν S σαρακηνῶν pΦ 27 τοῦ — ἐπαρχίας] δορυλλαίου B 29 τοῦ — ἐπαρχίας] ἀπολλωνιτῶν πόλεωσ B 31 τοῦ — πόλεως] βοσπόρου B 32 εὐτυχίου S τοῦ — πόλεως] δοκιμίου B

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 2/18/16 11:45 PM

23 Τιμοθέου τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Πριμουπολιτῶν πόλεως
24 Πέτρου τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Θεοδοσιουπολιτῶν πόλεως ἐπαρχίας Ἀρμενίας
25 Σεκουνδίνου τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Νοβηνσίων πόλεως
26 Κανδιδιανοῦ τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Ἀντιοχέων πόλεως ἐπαρχίας Πισιδίας L IIII 235 M VI 757 6
27 Ἰουλιανοῦ τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Κῶ
28 Λογγίνου τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Τυμανδηνῶν πόλεως ἐπαρχίας Πισιδίας
29 Γεροντίου τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Βασιλινουπολιτῶν πόλεως 10
30 Περγαμίου τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Ἀντιοχέων πόλεως ἐπαρχίας Πισιδίας
31 Παύλου τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Ἀνθηδονιτῶν πόλεως
32 Νατίρα τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Γαζαίων πόλεως
33 Εὐφρατᾶ τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Ἐλευθεροπολιτῶν πόλεως ἐπαρχίας Κρήτης 15
34 Τρύφωνος τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Χίου πόλεως
35 Αὐρηλίου τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Ἀδραμυτηνῶν πόλεως

παρόντος Μάμα τοῦ περιβλέπτου κόμητος καὶ προξίμου τοῦ θείου σκρινίου τῶν λιβέλλων καὶ τῶν θείων κογνιτιόνων 20

556 Μακεδόνιος ὁ περίβλεπτος τριβοῦνος καὶ ῥεφερενδάριος εἶπεν· Τῇ πρὸ ἓξ Εἰδῶν Ἀπριλλίων ἀπὸ θείων μανδάτων ἐκελεύσθην τοὺς εὐλαβεστάτους ἐπισκόπους τὴν πίστιν τῶν πρώην γενομένων ὑπομνημάτων περὶ τῆς αἰτίας ἥτις μεταξὺ Φλαβιανοῦ τοῦ εὐλαβεστάτου ἐπισκόπου καὶ Εὐτυχοῦς τοῦ ἀρχιμανδρίτου κινεῖται, ἐκζητηθῆναι· ὅπερ ἐν τῶι παρόντι ὡσαύτως γενέσθαι ἡ βασιλικὴ ἐκέλευσεν αὐθεντία. d. 8. m. Apr. a. 449 25

557 Φλαύιος Φλωρέντιος ὁ μεγαλοπρεπέστατος ἀπὸ ἐπάρχων πόλεως καὶ ἀπὸ ἐπάρχων πραιτωρίων τὸ ἔκτον καὶ ἀπὸ ὑπάτων καὶ πατρίκιος εἶπεν· Τὰ πραχθέντα ἐπὶ τῆι καταθέσει τοῦ περιβλέπτου ῥεφερενδαρίου παρούσης τῆς ἁγίας συνόδου ἀναγινωσκέσθω.

Καὶ ὁπότε προηνέχθη τὸ σχεδάριον ἀπὸ τοῦ θείου σκρινίου τῶν λιβέλλων καὶ τῶν θείων κογνιτιόνων, παρὰ Ἰωάννου τοῦ καθωσιωμένου ἐκσκέπτορος τοῦ αὐτοῦ θείου σκρινίου ἀνεγνώσθη 30

MB, p [usque ad 11/12 Πισιδίας], P[inde a 13 Παύλου], SΦΛ[n]

1 τοῦ — πόλεως] πριμουπόλεωσ B cf. Φ τριμουπολιτῶν MpS 2 τοῦ — ἐπαρχίας] θεοδοσιουπόλεωσ B θεοδοσιουτῶν S 4 τοῦ — πόλεως] νικεσσίου B Νοβηνσίων scripsi cf. p. 150, 23 νοκηνσίων MpS *nocensianae* Φ[cr] *nocissianae* Φ[a] 5 κανδιανοῦ p 5/6 τοῦ — Πισιδίας] ἀντιοχείασ πισσιδίασ B 7 τοῦ — τῆς om. B τῆσ πόλεωσ κῶ S 8/9 τοῦ — Πισιδίας] στύμμα πισσιδίασ B 8 στυμανδηνῶν pS 10 τοῦ — πόλεως] βασιλινουπόλεωσ B βασιλοπολιτῶν S 11. 12 τοῦ — Πισιδίας] ἀντιοχείασ τριμιταρίασ B cf. Φ[a] 13 τῆς — πόλεως] ἀνθηδόνοσ B 14 νατηράτου B νατήρου P νατίρου S τοῦ — πόλεως] γάζησ B γαζείων MP[corr] 15 εὐφράτου BS τοῦ — πόλεως] ἐλευθεροπόλεωσ B 17 τοῦ — πόλεωσ] χίου B 18 ἀβρηλίου B τοῦ — πόλεως] ἀδραμυτηνοῦ B ἀδραμυτινῶν P ἀδραμητινῶν S 19 παρόντος om. S μάμαντοσ PS πρωξίμου BP 21 τριβοῦνος om. B τῆι om. S ἰδῶν M 22 ἀπριλίων M, corr. M 23 γενομένων om. S 24 κεκίνηται B 26 φλάβιοσ S φλαύβιοσ P φλαβιανὸσ M ὁ μεγαλοπρεπέστατος om. B πόλεως — ἐπάρχων om. B 27 καὶ[2] BΦ om. MPS 28 ἀναγνωσθήτω B 29 προσηνέχθη BS σχιδάριον P 30 ἐκσκέπτοροσ M[corr] ἐσκέπτοροσ S ἐκσκέπτωροσ P ἐξκέπτοροσ M ἐξσκέπτοροσ B

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 2/18/16 11:45 PM

558 Φλαυίου Πρωτογένους τοῦ λαμπροτάτου καὶ τοῦ δηλωθησομένου ὑπάτου πρὸ
d. 8. m. Apr. a. 449 ἓξ εἰδῶν Ἀπριλλίων, ἐν Κωνσταντινουπόλει, θείαι κελεύσει, καθεζομένων ἐν τῷι ἁγίωι τῆς καθολικῆς ἐκκλησίας βαπτιστηρίωι

1 Θαλασσίου τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Καισαρέων πόλεως Καππαδοκίας
2 καὶ Εὐσεβίου τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Ἀγκυρανῶν πόλεως
3 Κωνσταντίνου τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Μελιτηνῶν πόλεως
M VI 760 4 Βασιλείου τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Σελευκέων πόλεως ἐπαρχίας Ἰσαυρίας
5 Σατορνίνου τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Μαρκιανουπόλεως
6 Μαρινιανοῦ τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Συναδηνῶν πόλεως
7 Πατρικίου τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Τυανέων πόλεως
8 Τρύφωνος τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Χίου πόλεως
9 Σελεύκου τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Ἀμασέων πόλεως
L IIII 238 10 Κανδιδιανοῦ τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Ἀντιοχέων πόλεως ἐπαρχίας Πισιδίας
11 Τιμοθέου τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Ἀρκηνῶν πόλεως
12 Νατίρα τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Γαζαίων πόλεως
13 Εὐσταθίου τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Παρνασηνῶν πόλεως
14 Παύλου τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Ἀνθηδονέων πόλεως
15 Θωμᾶ τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Θεοδοσιουπολιτῶν πόλεως
16 Εὐστοχίου τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Δοκιμηνῶν πόλεως
17 Γεροντίου τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Βασιλινουπολιτῶν πόλεως
18 Ἀκύλα τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Αὐροκλέων πόλεως
19 Σεκουνδίνου τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Νοβησίων πόλεως
20 Ἀκακίου τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Ἀριαραθηνῶν πόλεως
21 Ἰουλιανοῦ τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Κῶ
22 Πρόκλου τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Ἀδραηνῶν πόλεως
23 Εὐδοξίου τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Βοσπορηνῶν πόλεως
24 Σάβα τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Παλτηνῶν πόλεως
25 Τιμοθέου τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Πριμοπολιτῶν πόλεως
26 Παυλίνου τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Θεοδοσιουπολιτῶν πόλεως ἐπαρχίας Ἀσίας

MBPSΦΛⁿ

1 φλαυβίου MP φλαβίου McorrS 2 ἓξ MBPSΛⁿ πέντε BΦ ιδῶν M ἀπριλίων M, corr. M ἁγιωτάτω B 3 τῆς — ἐκκλησίας om. B 4 τῆς — πόλεως] καισαρείας B 5 καὶ om. BS τοῦ — πόλεως] ἀγκύρας B 6 τοῦ — πόλεως] μελιτηνῆσ B μελιτινῶν MP μελητινῶν S 7 τοῦ — ἐπαρχίας] σελευκείασ B 8—p. 151, 2 om. Λⁿ 8 σατορνίλου M σατορνιλίου S τοῦ — τῆς om. B μαρκιανῶν S 9 μαριανοῦ S τοῦ — πόλεως] συνάδων B 10 τοῦ — πόλεως] τυάνων B τυάνων S 11 τοῦ — πόλεως] χίου B 12 τοῦ — πόλεως] ἀμασείων B 13 κανδιανοῦ S 13/14 τοῦ — Πισιδίας] ἀντιοχείασ πισσιδίασ B 15 τοῦ — πόλεως] ἀρκίνου B σαρακηνῶν P σαρκηνῶν S, cf. Φ 16 νατηρᾶτου B νατήρα P νατήρου S τοῦ — πόλεως] γάζησ B γαζέων MPS, corr. P 17 τοῦ — πόλεως] παρνασοῦ B 18 τοῦ — πόλεως] ἀνθηδόνοσ B 19 τοῦ — πόλεως] θεοδοσιουπόλεωσ B θεοδοσιουτῶν S 20 εὐτυχίου S τοῦ — πόλεως] δοκιμίου B δοκημηνῶν MPS, corr. M 21 τοῦ — πόλεως] βασιλινουπόλεωσ B 22 τοῦ — πόλεως] ἀβροκλέου B 23 Ἰουλιανοῦ PS τοῦ — πόλεως] νοβισσίου B νισιβίων P νισιβόων S 24 τοῦ — πόλεως] ἀριαράθου B ἀριαθηνῶν S 25 τοῦ — τῆς om. B 25/26 Κῶ — τῆς om. M κῶ πόλεωσ P 26 τοῦ — πόλεως] ἀδραμύτου B Ἀδραηνῶν scripsi *hadrainae* Φr *adrianae* Φac ἀδραμυτηνῶν MP ἀδραμητινῶν S 27 τοῦ — πόλεως] βοσπόρου B βοσπορινῶν McorrS 28 σάββα B τοῦ — πόλεως] παλλήνου B 29 τοῦ — πόλεως] πριμοπόλεωσ B τριμολιτῶν S 30 τοῦ — ἐπαρχίας] θεοδοσιουπόλεωσ B

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 2/18/16 11:45 PM

27 Παύλου τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Ἀπολλωνιέων πόλεως
28 Λογγίνου τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Τυμανδηνῶν πόλεως

559 Μακεδόνιος ὁ περίβλεπτος τριβοῦνος καὶ ῥεφερενδάριος εἶπεν· Εὐτυχὴς ὁ εὐλαβέστατος ἀρχιμανδρίτης προσενεχθείσης δεήσεως τῇι βασιλικῇι θειότητι ἐδίδαξεν πρώην ἑαυτὸν εὑρηκέναι, καὶ τὰ λοιπά, ἅτινα ἐν τῶι θείωι σκρινίωι ἐμφέρονται. M VI 761

560 Ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Ἡ δέησις τοῦ εὐλαβεστάτου μοναχοῦ Εὐτυχοῦς προενεχθεῖσα ἀναγινωσκέσθω καὶ ὁ λαμπρότατος τριβοῦνος νοτάριος καὶ ῥεφερενδάριος διδάξει εἴ τινες προσεδρεύουσιν ὑπὲρ τοῦ προσώπου πράττοντες τοῦ αὐτοῦ εὐλαβεστάτου μοναχοῦ.

561 Καὶ πρὶν ἢ ἀναγνωσθῆναι, Μακεδόνιος ὁ λαμπρότατος νοτάριος καὶ ῥεφερενδάριος εἶπεν· Προσεδρεύουσιν οἵτινες ὑπὲρ τοῦ προσώπου τοῦ μοναχοῦ δύνανται λέγειν.

562 Ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Τί ἀρέσκει περὶ τούτου τοῖς εὐλαβεστάτοις ἐπισκόποις;

563 Εὐσέβιος ἐπίσκοπος τῆς Δορυλαέων εἶπεν· Εἰ δι' ἐντολέως λέγει, κελεύσατέ με ἀναχωρῆσαι.

564 Ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Ὅπερ ἐκέλευσεν ἡ βασιλικὴ αὐθεντία, παντὶ τρόπωι παραφυλακτέον ἐστίν· δι' ὃ εἰ συγκατατίθενται οἱ εὐλαβέστατοι ἐπίσκοποι ἵνα εἰσδεχθῶσιν οὗτοι οἵτινες ὑπὲρ τοῦ προσώπου τοῦ εὐλαβεστάτου μοναχοῦ πράττειν ἕτοιμοί εἰσιν, εἴπωσιν.

565 Μελίφθογγος ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· Τοιαύτης κατηγορίας γινομένης ἀκόλουθόν ἐστιν παρεῖναι τὸν κατηγορούμενον, εἰ καὶ τὰ μάλιστα οὐκ ἀκινδύνως γίνονται αἱ τοιαῦται κατηγορίαι. οὐδὲ γὰρ ἁπλῶς οὐδὲ ὡς ἔτυχεν, περὶ τῶν τυχόντων ἐστὶν τὸ δοκιμαζόμενον. ἐπεὶ οὖν ὁ εὐσεβέστατος βασιλεὺς ἐκ παππώιας παραδόσεως συγκροτεῖν εἴωθεν τὴν ὀρθόδοξον πίστιν καὶ τοὺς κανόνας μηδ' ὅλως παρατιτρώσκεσθαι, ἀξιοῦμεν ἀνενεχθῆναι αὐτῶι, καὶ εἰ κελεύει ἐγκληματικὴν δίκην ἀγωνίσασθαι ἄλλον ὑπὲρ ἄλλου, καὶ τοῦτο προσδεχόμεθα, εἰ καὶ τὰ μάλιστα οἰκουμενικὴ ἐκελεύσθη γενέσθαι σύνοδος καὶ πεφύλακται τὰ καιριώτερα τῶν πραγμάτων ἐν ἐκείνηι τῆι συνόδωι καὶ μετεστάλησαν πολλοὶ καὶ δίκαιόν ἐστιν τὰ θεσπισθέντα παρὰ τοῦ εὐσεβεστάτου βασιλέως εἰς πέρας ἀχθῆναι. L IIII 239

566 Ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Τί ἑαυτῶι περὶ τούτου ὁ λαμπρότατος τριβοῦνος νοτάριος καὶ ῥεφερενδάριος ἐνταλθὲν εἶναι γινώσκει, κατάθηται.

567 Μακεδόνιος ὁ λαμπρότατος τριβοῦνος νοτάριος καὶ ῥεφερενδάριος εἶπεν· Ὁ εὐσεβέστατος δεσπότης ἡμῶν γνοὺς ὡς καθήιρηται ὁ προλεχθεὶς ἀνήρ, ἐκέλευσεν ὑπὲρ αὐτοῦ ἐκ παντὸς τρόπου τοὺς ἀποσταλέντας εἰσελθόντας ἐπιγνῶναι ἀναγινωσκομένων τῶν χαρτῶν τὰ παρ' αὐτοῦ εἰρημένα πρὸς αὐτὸν καὶ τὰ παρ' αὐτοῦ πρὸς τὸν ἁγιώτατον ἀρχιεπίσκοπον. M VI 764

MBPSΦΛ^{a}

1 τοῦ — πόλεως] ἀπολλωνέως B Ἀπολλωνιέων scripsi ἀπολλωνέων PS ἀπολλωναίων M 2 τοῦ — πόλεως] μανδ spat. v spat. B μανδηνῶν MPS cf. Φ 4 ἀρχιμανδρίτης MPSΦ^{rl}Λ^{a} πρεσβύτερος καὶ ἀρχιμανδρίτης BΦ^{ac} προσενεχθεὶς ἐκ δεήσεως PS 4/5 πρώην ἑαυτὸν] πάντας τὸν ἑαυτὸν [αὐτὸν S] PS εὑρηκέναι M^{mg}BΦΛ^{a} ἐπιδεηθῆναι MPS τὰ — ἅτινα] τὸ ὁποῖά τινα [τινι S] PS 7 προενεχθεῖσα BΛ^{a} προσενεχθεῖσα MPSΦ νοτάριος τριβοῦνος S τριβοῦνος B 12 τί] εἰ B περὶ τούτου om. B 13 ἐπισκόποις εἰπάτωσαν B 14 ὁ εὐλαβέστατος ἐπίσκοπος BΦ^{ac} δορυλλαέων P δορυλλαίων B δορυλλέων S ἐνπόλεως PS 17 δι' ὃ εἰ] εἰ οὖν S 20 γενομένης B 24 εἴωθεν] βούλεται B *uulnerare, sed magis custodire inuulneratos* Λ^{a} 26 σύνοδος γενέσθαι B 27 χρὴ πεφυλάχθαι B καιριώτατα S 31 ὁ νοτάριος S om. B ἐνταλθέντα MPS, corr. M 32 ὁ om. P 34/35 τῶν — εἰρημένα] τῶν παρ' αὐτοῦ εἰρημένων ἐν τοῖς χάρταις S 35 αὐτοῦ] *episcopo* Φ 36 ἐπίσκοπον MP, corr. M

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 2/18/16 11:45 PM

568 Ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Ἁπλοῦν ἐστιν ὅπερ αἰτεῖται, καὶ διὰ τοῦτο ἐκεῖνοι εἰσέλθωσιν καὶ ἐπὶ τῇι αὐτῶν παρουσίαι ἡ δέησις ἀναγινωσκέσθω.

569 Καὶ ὁπότε εἰσῆλθον καὶ εἰς τὸ μέσον ἔστησαν Κωνσταντῖνος Ἐλευσίνιος καὶ Κωνστάντιος οἱ εὐλαβέστατοι μοναχοί, Μακεδόνιος ὁ λαμπρότατος τριβοῦνος νοτάριος τὸ ἅγιον εὐαγγέλιον προσφέρων εἶπεν· Χρὴ πάντα τὰ κελευσθέντα παρὰ τῆς αὐτῶν εὐσεβείας εἰπεῖν με. ἐκέλευσεν τοίνυν τοὺς τὸ τηνικαῦτα παρόντας ἁγιωτάτους ἐπισκόπους μεθ' ὅρκου εἰπεῖν εἰ ἀληθεῖς εἰσιν τῶν ὑπομνημάτων ἀναγινωσκομένων αἱ καταθέσεις αἱ παρὰ ἑκατέρου τοῦ μέρους προενεχθεῖσαι.

570 Βασίλειος ὁ εὐλαβέστατος ἐπίσκοπος τῆς Σελευκέων ἐκκλησίας εἶπεν· Μέχρι νῦν ὅρκον οὐκ ἴσμεν προσενεχθέντα ἐπισκόποις, ἀλλὰ καὶ ἐντέταλται ἡμῖν παρὰ τοῦ
Mt. 5, 34—36 σωτῆρος Χριστοῦ μὴ ὀμόσαι μήτε ἐν τῶι οὐρανῶι, ὅτι θρόνος ἐστὶν τοῦ θεοῦ, μήτε ἐν τῆι γῆι, ὅτι ὑποπόδιόν ἐστιν τῶν ποδῶν αὐτοῦ, μήτε εἰς τὴν κεφαλὴν τὴν ἑαυτοῦ τινὰ ὀμόσαι, ὅτι οὐδεὶς δύναται τρίχα τῶν ὑπὸ τοῦ θεοῦ δημιουργηθεισῶν αὐτὸς ποιῆσαι. ἕκαστος δὲ ὡς θυσιαστηρίωι παρεστὼς τὸν τοῦ θεοῦ φόβον ἔχων πρὸ ὀφθαλμῶν καὶ τὸ ἑαυτοῦ συνειδὸς φυλάττων καθαρὸν τῶι θεῶι τῶν ὄντων αὐτῶι ἐν μνήμηι οὐδὲν ἔχει παραλεῖψαι.

571 Ὁ μεγαλοπρεπέστατος πατρίκιος Φλωρέντιος εἶπεν· Ὡς ἅπαξ εἴρηται, τῶν δεήσεων ἡ ἀνάγνωσις παρακολουθήσει.

Καὶ διὰ τοῦ αὐτοῦ καθωσιωμένου ἐκσκέπτορος ἀνεγνώσθη

572 Τοῖς εὐσεβεστάτοις καὶ πιστοτάτοις φιλοχρίστοις βασιλεῦσιν ἡμῶν Θεοδοσίωι καὶ
L IIII 242 Οὐαλεντινιανῶι τοῖς αἰωνίοις αὐγούστοις παρὰ Εὐτυχοῦς ἀρχιμανδρίτου. Πάντων μοι μετὰ τὸν θεὸν καὶ σωτηρίας καὶ τῆς ἀληθείας φανέρωσις γέγονεν ἡ εὐσέβεια ὑμῶν ἐν οὐδενὶ πράγματι παραλείψασα τῶν τε περὶ τῆς πίστεως ἕνεκα καὶ τῶν κατ' ἐμοῦ συκοφαντιῶν τὴν ἔρευναν ποιουμένη. τὸ γὰρ ὑπόμνημα τὸ σκαιωρηθὲν παρὰ τοῦ εὐλαβεστάτου ἐπισκόπου Φλαβιανοῦ κατ' ἐμοῦ ἀνέγνων τῆι χθὲς ἡμέραι καὶ εὗρον ἐναντία τῶν πεπραγμένων κείμενα ἐν τῶι χάρτηι. οὔτε γὰρ ἃ πρὸς ἐμὲ εἴρηκεν, ἔκειτο ἐν αὐτῶι οὔτε ἃ ἐγὼ ἐλάλησα, ἔταξαν ἐν τῶι αὐτῶι ὑπομνήματι. δέομαι τοίνυν τῆς ὑμετέρας γαληνότητος συνήθως τῆς ὀρθοδόξου πίστεως ἀντεχομένης καὶ τῆς ὑπολήψεως τῆς ἐμῆς βραχύτητος καταξιῶσαι θεσπίσαι τοὺς θεοφιλεστάτους ἐπισκόπους τοὺς τὸ τηνικαῦτα
M VI 765 συνεδρεύσαντας καὶ τοὺς νοταρίους τοῦ αὐτοῦ εὐλαβεστάτου ἐπισκόπου Φλαβιανοῦ καὶ τοὺς ἀποσταλέντας πρός με παρ' αὐτοῦ τοὺς εὐλαβεστάτους κληρικοὺς καὶ καλοῦντας ἀπαντῆσαι εἰς τὸ συνέδριον καὶ τὸν εὐλαβέστατον διάκονον Ἀθανάσιον τοῦ εὐλαβεστάτου ἐπισκόπου Βασιλείου συνελθεῖν παρόντος τοῦ ἁγιωτάτου ἐπισκόπου Θαλασσίου,

---

572 adfert Timotheus Aelurus f. 53b. 54a ita inscriptam: Δέησις Εὐτυχοῦς ἀρχιμανδρίτου ἥτις ἐπεδόθη τῶι φιλοχρίστωι βασιλεῖ Θεοδοσίωι καὶ ἐκίνησεν αὐτὸν ὥστε τὴν ἁγίαν σύνοδον ἐν Ἐφέσωι συναγεῖραι

MBPSΦΛn

2 τῆσ — παρουσίασ B 3 ἐλευσῖνοσ SΦac 4 λαμπρὸσ B νοτάριος om. B 5 προφέρων Φ *proferatur* Λn 5/6 εὐσεβείασ MΦΛn ἐξουσίασ B βασιλείασ S 7 ἀληθὲσ S 8 ἑκάστου B τοῦ om. BS προεινεχθεῖσαι Λn προσενεχθεῖσαι MBPSΦ 9 πόλεωσ S 10 τοῦ νῦν B οὐκ ἴσμεν ὅρκον B προενεχθέντα Λn ἐπισκόπω B 11 ὁμόσαι ὅλωσ B 12 τῶν ποδῶν αὐτοῦ BΛn *pedum dei* Φ τοῦ θῦ MPS 13 τὴν om. BS αὐτοῦ BS τρίχα om. B τοῦ om. B 13/14 δημιουργηθέντων B 14 αὐτὸς om. B ποιῆσαι τί B 19 ἐκσκέπτωροσ PS ἐξσκέπτοροσ B ¦ ἀνεγνώσθη οὕτωσ S 20 inscr. Ἴσον λιβέλλου δοθὲν τοῖσ εὐσεβεστάτοισ καὶ φιλοχρίστοισ βασιλεῦσι παρὰ εὐτυχοῦσ ἀρχιμανδρίτου B εὐλαβεστάτοισ MPS πιστοτάτοισ καὶ B ἡμῶν BΛnΦ om. MPS 22 τὸν om. S 23 τε om. B 25 ἐπισκόπου om. BΛn ἐχθὲσ M 26 ἐν om. MPS 29 βραδυτῆτοσ MPS, corr. M θεοσεβεστάτουσ P τηνικάδε B 30 εὐλαβεστάτου om. B Tim. 31 παρ' — τοὺς om. B 32 θεοφιλεστάτου B 33 συνεισελθεῖν B

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 2/18/16 11:45 PM

ὥστε αὐτοὺς ἐρωτηθέντας εἰπεῖν μετὰ ἀληθείας ἐγγράφως ἅπερ ἴσασιν. καὶ τούτου τυχὼν συνήθως ὑμνῶν εὐχαριστήσω τῶι δεσπότηι καὶ θεῶι τῶν ὅλων Χριστῶι καὶ τῆι ὑμετέραι εὐσεβείαι διὰ παντός.

573 Ὁ αὐτὸς καθωσιωμένος ἐκσκέπτωρ εἶπεν· Ἔστιν καὶ θεία ὑποσημείωσις ἐν τῆι ἀναγνωσθείσηι δεήσει τοῦ θειοτάτου καὶ εὐσεβεστάτου ἡμῶν βασιλέως.

574 Ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Μετὰ προσκυνήσεως ἀναγινωσκέσθω. Καὶ διὰ τοῦ αὐτοῦ καθωσιωμένου ἐκσκέπτορος ἀνεγνώσθη

575 Κατατιθέσθω παρὰ τοῖς εὐλαβεστάτοις ἐπισκόποις οἵτινες πρώην συνῆλθον, οὐ μὴν ἀλλὰ καὶ παρὰ τῶι εὐλαβεστάτωι ἐπισκόπωι Θαλασσίωι, ἵνα παρὰ τούτοις παρόντων πάντων περὶ ὧν ἡ δέησις λαλεῖ, τοῦ πράγματος ἡ ἀλήθεια ἐκζητηθείη.

576 Ὁ εὐλαβέστατος ἐπίσκοπος Φλαβιανὸς εἶπεν· Οἱ εὐλαβέστατοι διάκονοι καὶ νοτάριοι Ἀστέριος καὶ Ἀέτιος, Νόννος, Ἀσκληπιάδης καὶ Προκόπιος παρέστωσαν.

577 Καὶ ὁπότε εἰς [τὸ] μέσον ἔστησαν Ἀστέριος Ἀέτιος Νόννος Ἀσκληπιάδης Προκόπιος οἱ νοτάριοι τοῦ εὐλαβεστάτου ἐπισκόπου Φλαβιανοῦ, ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Παρόντων πάντων τὰ ὑπομνήματα κατὰ τάξιν ἀναγινωσκέσθω.

578 Καὶ πρὶν ἢ προενεχθῶσιν, Ἀέτιος ὁ εὐλαβέστατος διάκονος καὶ νοτάριος εἶπεν· Οὐκ ἴσμεν, τῶν ποδῶν ὑμῶν, διὰ τί ἐκλήθημεν.

579 Ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Οἱ εὐλαβέστατοι διάκονοι καὶ νοτάριοι τοῦ εὐλαβεστάτου ἐπισκόπου Φλαβιανοῦ τὰ ὑπομνήματα τὰ ἐν τούτωι τῶι πράγματι τελεσθέντα προενέγκωσιν ἀναγνωσθησόμενα.

580 Ἀέτιος διάκονος καὶ νοτάριος εἶπεν· Οὔτε τὴν αἰτίαν ἴσμεν ἐφ' ἧι πάρεσμεν, οὔτε δι' ὃ ἀπαιτούμεθα ὑπομνημάτων πρᾶξιν· τούτου ἕνεκεν ἀναβαλλόμεθα καὶ ἀξιοῦμεν γνῶναι ἐφ' ὧι τε καὶ ἱστάμεθα καὶ ἀποκρίνεσθαι ὀφείλομεν.

581 Ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Ἅτινα ἐν τῆι δίκηι Εὐτυχοῦς τοῦ μονάζοντος πραχθέντα παρηκολούθησεν, ἐπιζητοῦμεν δημοσιευθῆναι.

582 Ἀέτιος διάκονος καὶ νοτάριος εἶπεν· Αἰτίασις γὰρ τίς ποτε καθ' ἡμῶν τοιαύτη ἀνέκυψεν; L IIII 243

583 Ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Τὸ πρᾶγμα ἀναζητηθῆναι ἐκελεύσθη καὶ διὰ τοῦτο τῶν ὑπομνημάτων ἡ προκομιδὴ ἀναγκαία ἐστίν. διὰ τί τοίνυν ὑπερθέσει καὶ πανουργίαι κέχρησαι;

584 Ἀέτιος διάκονος καὶ νοτάριος εἶπεν· Ὁ τὴν ἀρχὴν τῆς ἐξετάσεως τῶι πράγματι παρέχων καὶ τὴν αἰτίαν δότω ἡμῖν καιρὸν τοῦ ἀπολογεῖσθαι ἢ προενέγκαι ἢ μὴ προενέγκαι. M VI 768

585 Ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Ὑμεῖς τὰ ὑπομνήματα ἐξελάβετε· παρ' ὑμῶν τοίνυν ταῦτα προενεκτέα εἰσίν.

MBPSΦΛ[a]

1 μετὰ ἀληθείας om. S 2 ἀνυμνῶν B καὶ[1] om. B 4 ἐξσκέπτωρ B 5 εὐλαβεστάτου MP 7 ἐξσκέπτοροσ B ἐκσκέπτωροσ PS 8 τοῖσ εὐλαβεστάτοισ ἐπισκόποισ MPS cf. ΦΛ[a] τῶν εὐλαβεστάτων ἐπισκόπων M[coer]B 9 τοῦ εὐλαβεστάτου ἐπισκόπου θαλασσίου B τούτωι Λ[a] 9/10 πάντων παρόντων B 12 καὶ[1] om. S 12/13 καὶ[3] — Ἀσκληπιάδης om. P 13 τὸ MS om. B καὶ προκόπιοσ B 16 προενεχθῶσιν BΛ[a] προσενεχθῶσιν MPSΦ 19/20 τὰ ἐν — τελεσθέντα ὑπομνήματα S τὰ ὑπομνήματα ἐν — τελεσθέντα MP 20 προσενέγκαντεσ ἀναγνώσατε S προενέγκωσιν BΛ[a] προσενέγκωσιν MPΦ 22 δι' ὃ MPS δὲ οὗ ἕνεκα B *pro quo* Φ *quare* Λ[a] δὲ ὧ M[corr] 23 ἀποκρίνασθαι PS 25 πραχθέντα om. S παρηκολούθησαν P 27 γέγονεν ἡ ἀνέκυψεν B 29 καὶ om. SP ἀναγκαία ἐστὶ τῶν — προκομιδή B προσκομιδή Φ 29/30 ὑπερθέσεσι MPS, corr. M 32 ἢ] καὶ B om. Λ[a] προενέγκαι BΦ[r]Λ[a] προσενέγκαι MPSΦ[ac] 33 προενέγκαι BΦ[r]Λ[a] προσενέγκαι MPSΦ[ac] 35 προενεκτέα BΛ[a] προσενεκτέα MSΦ προσενέγκαι ἃ P ἐστὶν B

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 2/18/16 11:45 PM

586 Ἀέτιος διάκονος καὶ νοτάριος εἶπεν· Τίς ἐστιν ὁ αἰτιώμενος;

587 Σέλευκος ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· Δεήσεις τοῦ ἀρχιμανδρίτου Εὐτυχοῦς ἀνεγνώσθησαν ἡμῖν περιέχουσαι ὡς ἐντυχόντος τοῖς ὑπομνήμασι καὶ ἐπισημηναμένου μὴ κεῖσθαι ἐν αὐτοῖς τὰ πεπραγμένα ἐν τῇ ἁγίαι συνόδωι. δίκαιον οὖν ἡμῖν τοῦτο καταφαίνεται προκομισθῆναι ἐκεῖνα τὰ ὑπομνήματα οἵσπερ ἔφησεν ἐντετυχηκέναι, καὶ ἐξ αὐτῶν τὴν ἐξέτασιν τοῦ πράγματος γενέσθαι.

588 Ὁ μεγαλοπρεπέστατος πατρίκιος πρὸς Ἀέτιον εἶπεν· Τῶν ὑπομνημάτων τῶν αὐθεντικῶν χρεία ἐστίν, ἐν οἷς αἱ ὑπογραφαὶ τῶν ἐπισκόπων περιέχονται· δι' ὅπερ ὡς πλειστάκις διελάλησα, ταῦτα παρὰ τῶν νοταρίων προκομισθῶσιν.

589 Ἀέτιος διάκονος καὶ νοτάριος εἶπεν· Καταξιώσει ἡ ἁγία καὶ μεγάλη σύνοδος καὶ ἡ ὑμετέρα μεγαλοπρέπεια καιρὸν ἡμῖν δοῦναι περὶ ὧν βουλόμεθα, λέγειν· οὐ γάρ ἐστιν ἡμῖν ἀκίνδυνον.

590 Ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Τὰ ὑπομνήματα πρῶτον ἁρμόζει δημοσιευθῆναι· μετὰ ταῦτα γὰρ εἴ τι διδάξαι ἐπιζητεῖς, ἄδειά σοι παρασχεθήσεται.

591 Ἀέτιος διάκονος καὶ νοτάριος εἶπεν· Οὐδὲν ἄτοπον οὐδὲ παρὰ τὸ δίκαιον ἐπιζητοῦμεν καὶ πρὸ πάντων ἐπίσταται ἡ ὑμετέρα μεγαλοπρέπεια καί, καθὼς εἶπον, ἐπειδὴ οὐ περὶ μικρῶν ἡμῖν ἐστιν ὁ κίνδυνος, περιηχήθημεν δὲ ὡς αἰτίασις γέγονεν καθ' ἡμῶν παρά τινος πρὸς τὸν εὐσεβέστατον καὶ φιλόχριστον καὶ παρὰ τοῦ δεσπότου θεοῦ ἡμῶν φρουρούμενον βασιλέα, ἀξιοῦμεν ταύτας καὶ ἐμφανεῖς ἡμῖν γενέσθαι καὶ τὰς αἰτίας μαθεῖν καὶ τὸ πρόσωπον στῆναι καὶ φανερὰν τὴν κατηγορίαν κατὰ φανερῶν προσώπων ποιήσασθαι, καὶ οὕτως ἀπολογησόμεθα καὶ ἑαυτοῖς συστησόμεθα θαρροῦντες τῇι δικαιοσύνηι τῇι ὑμετέραι.

592 Ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Καθ' ὑμῶν τέως οὐδὲν κατετέθη, ἀλλὰ τὰ ὑπομνήματα ζητοῦνται, ἅτινα, καθὼς πλειστάκις ἐρρέθη, παρ' ὑμῶν προκομιστέα ἐστίν.

593 Ἀέτιος διάκονος καὶ νοτάριος εἶπεν· Ἡ τῶν ὑπομνημάτων πρᾶξις ἄγει ἡμᾶς εἰς μέσον· οὔτε γὰρ παρὰ ἄλλων γεγένηται.

594 Ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Μή τινι ὑπονοίαι πληγεὶς ταῦτα προενέγκαι εὐλαβῆι;

595 Ἀέτιος διάκονος καὶ νοτάριος εἶπεν· Οὐδὲν τοιοῦτο παρ' ἐμοῦ εἴρηται οὔτε γέγονεν.

596 Ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Τὰ ὑπομνήματα προενεχθῶσι.

M VI 769 597 Καὶ πρὶν ἢ προενεχθῶσιν, ὁ εὐλαβέστατος ἐπίσκοπος ταύτης τῆς ἐνδόξου πόλεως εἶπεν· Οἴδατε ὅτι τότε συνηγμένης τῆς ἁγίας συνόδου καὶ τὰς παρ' ἑκατέρων φωνὰς ἐξειλήφατε ὑμεῖς καὶ ἴστε ἀκριβῶς τὰ γεγραμμένα παρ' ὑμῶν. καὶ εἰ ἀληθῆ ταῦτα, εἴπατε μετὰ ἀκριβείας καὶ φόβου θεοῦ· εἰ δὲ παραπεποίηνταί τινα, ὡς ἐπὶ τοῦ βήματος
L IIII 246 τοῦ Χριστοῦ μὴ ψεύσησθε καὶ τὸν παραποιήσαντα μὴ παρασιωπήσητε.

598 Τούτων οὕτως μεταξὺ λαληθέντων παρὰ τοῦ εὐλαβεστάτου ἐπισκόπου ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Τὴν πρόθεσιν τοῦ εὐλαβεστάτου ἐπισκόπου ἐπαινοῦμεν

MBPSΦΛ^{a}

2 εὐτυχοῦς ἀρχιμανδρίτου B 4 συνόδω καὶ ἐπιλαμβάνεται ἐν αὐτοῖσ τῶν πεπραγμένων ἐν τῇ ἁγία συνόδω B 5 ἔφη B 8 διόπερ ὡσ BΦ^{r}Λ^{a} διόπερ Φ^{ac} διὸ ἅπερ MPS 9 προσκομισθῶσιν S 10 μεγάλη καὶ ἁγία B 11 εὐλάβεια S 11/12 οὐ — ἀκίνδυνον om. S 14 καὶ μετὰ S γὰρ om. S 16 καὶ^{2} om. S 17 ἐστιν ἡμῖν B περιηχήθημεν δὲ om. Λ^{a} δὲ] γὰρ S om. Φ^{ac} 18 ἡμῶν om. B 20 κατηγορίαν] αἰτίαν B 21 καὶ^{1} — συστησόμεθα om. B 23 κατετέθη BΦ ἐτέθη MPS *propositum est* Λ^{a} 24 προσκομιστέα Φ 26 ἡμᾶσ ἄγει B 27 οὐδὲ B 28/29 προσενέγκαι PS 30 τοιοῦτον BPS *a me* Λ^{a}Φ ἐμοὶ MBPS οὐδὲ B 31 προσενεχθῶσιν MPSΦ^{ac} 32 προσενεχθῶσιν PSΦ πόλεωσ BΦ πόλεωσ φλαβιανὸσ MPS 33 φωνὰσ BΦΛ^{a} φωνὰσ ὅτι καὶ MPS 34 ἐγγεγραμμένα SΦ^{a} γενόμενα B 35 ἀκριβείας καὶ om. B παραπεποίηνται BS 37 μεταξὺ om. B 38 ἐπισκόπου ἐπαινοῦμεν BΦ^{ac}Λ^{a} ἐπιστάμεθα ἐπισκόπου MP ἐπισκόπου ἐπιστάμεθα S *episcopi nouimus* Φ^{r}

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 2/18/16 11:45 PM

ὅτι τῇι ἰδίαι συνειδήσει θαρρῶν ἀπεφήνατο τοὺς εὐλαβεστάτους νοταρίους τὰ ὑπομνήματα προενεγκεῖν καὶ τὴν ἀλήθειαν περὶ πάντων διδάξαι. δι' ὃ τὰ ὑπομνήματα, ὡς πλειστάκις εἴρηται, προενεχθῶσιν.

599 Ἀέτιος διάκονος καὶ νοτάριος εἶπεν· Ἡ παραίνεσις τοῦ ὁσιωτάτου καὶ ἁγιωτάτου ἡμῶν ἀρχιεπισκόπου τῇι γνώμηι ἀποδέδωκεν τῇι ἡμετέραι ὥστε τὸ ἀληθὲς ἐπὶ τῇι πράξει τῶν ὑπομνημάτων εἰπεῖν. εἰ τοίνυν λεγόντων ἡμῶν πίστεως ἐσόμεθα ἄξιοι, καὶ κατατιθέμεθα καὶ προκομίσομεν καὶ λέξομεν τὴν ἀλήθειαν.

600 Ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Τῶν ὑπομνημάτων ἡ ἀνάγνωσις γινέσθω.

601 Ἀέτιος διάκονος καὶ νοτάριος εἶπεν· Ἀξιῶ καὶ τὴν ἁγίαν σύνοδον τὴν τότε παροῦσαν ἐπιτρέψαι ἡμῖν προκομίσαι τὴν τῶν ὑπομνημάτων πρᾶξιν.

602 Ὁ εὐλαβέστατος ἐπίσκοπος Σέλευκος εἶπεν· Ἅπαξ τοῦ ὁσιωτάτου ἀρχιεπισκόπου ἡμῶν κελεύσαντος προκομισθῆναι τὴν πρᾶξιν τῶν ὑπομνημάτων, οὐδεμίαν δεῖ ἀναβολὴν περὶ τὴν προκομιδὴν γενέσθαι.

603 Καὶ ὁπότε παρὰ πάντων τῶν εὐλαβεστάτων ἐπισκόπων ἐρρέθη· Πάντες ταὐτὰ λέγομεν, ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Ἐν ὅσωι ἕκαστα κεφάλαια ἀναγινώσκεται, τί ἐν τούτοις καταψεκτέον τὸ μέρος τοῦ εὐλαβεστάτου μοναχοῦ δοκιμάζει, κατάθηται καὶ τὰ ἀντίγραφα ἅτινα παρ' ἑαυτοῖς ἔχει τὸ μέρος τοῦ αὐτοῦ εὐλαβεστάτου μοναχοῦ, προενεχθέντα τῇι ἀναγνώσει τῶν αὐθεντικῶν ὑπομνημάτων συγκριθήτωσαν.

604 Καὶ ὁπότε τὸ ἑκάτερον μέρος τὰ ὑπομνήματα προήνεγκεν, Ἀέτιος διάκονος καὶ νοτάριος εἶπεν· Εἰ κελεύει ἡ μεγαλοπρέπεια ὑμῶν, ἔχομέν τι εἰπεῖν. ἐμάθομεν ὡς διὰ τῶν δεήσεων ἀνεδίδαξεν ὁ εὐλαβέστατος Εὐτυχὴς πράξει ὑπομνημάτων ἐντετυχηκέναι κἀκεῖθεν τὰς αἰτίας τῶν αὐτῶι προσουσῶν δικαιολογιῶν εὑρηκέναι· ταύτην τὴν M VI 772 πρᾶξιν ἀξιοῦμεν

605 Οὗ λέγοντος ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Διὰ τοῦτο συγκρίνεσθαι τοῖς αὐθεντικοῖς ὑπομνήμασιν τὰ ἀντίγραφα εἴπομεν.

606 Ἀέτιος διάκονος καὶ νοτάριος εἶπεν· Ἀξιοῦμεν γνῶναι πότερον αὐθεντικά ἐστιν ἢ ἀντίγραφα ἢ τί τοιοῦτο παρὰ τινὸς αὐτῶι παρεσχέθη.

607 Ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Ὁ εὐλαβέστατος Κωνσταντῖνος εἰ ἃ προφέρει ἀντίγραφα, ἴσα εἰσὶν ἢ αὐθεντικά, διδάξει.

608 Κωνσταντῖνος διάκονος καὶ μονάζων εἶπεν· Ἴσα ἐστίν.

609 Ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Νῦν ἡ ἀνάγνωσις παρακολουθήσει.

610 Καὶ πρὶν ἢ ἀναγνωσθῆναι Ἀέτιος διάκονος καὶ νοτάριος εἶπεν· Ἀξιοῦμεν ἐντυχεῖν τῇι πράξει τῶν ὑπομνημάτων τῇι παρ' αὐτῶν προκομισθείσηι, ἵνα γνωρίσωμεν τίνος χεὶρ ἐστιν καὶ παρὰ τίνος δέδοται, εἰ ἐκδέδοται παρὰ νοταρίου. δέξασθε τὰς ἡμετέρας αἰτήσεις οὐκ ἀτόπους οὔσας.

611 Ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Εἰ τοῖς αὐθεντικοῖς ὑπομνήμασιν τὰ ἀντίγραφα οὐ συμφωνοῦσιν, τοῦτο τότε ἀξίως ἐπιζητηθείη.

MBSΦΛ^{n}

1 τοῖσ νοταρίοισ S 2 προσενεγκεῖν MPS 3 προσενεχθῶσιν MPSΦ 4 ἁγιωτάτου καὶ ὁσιωτάτου B 5 ὑμετέρα PS 7 προκομίσωμεν M προσκομίσωμεν S 10 προσκομίσαι S τάξιν S 11 εὐλαβεστάτου B ἐπισκόπου SΛ^{n} 12 προσκομισθῆναι S 13 ἐπὶ τῇ προκομιδῇ B 14 ὁπότε] *quasi si* Φ^{ac} *quasi* Φ^{r} ταῦτα B τὰ αὐτὰ MPS *ea* Λ^{n} *haec* Φ^{ac} *haec eadem* Φ^{r} 16 εἴ τί S 17 αὐτοῦ BPΦΛ^{n} om. MS 18 προσενεχθέντα BPSΦ συγκριθήτωσαν om. S 19 τὸ om. BS ἕκαστον BP προσήνεγκεν BΦ 20 κελεύει — ὑμῶν] κελεύει τε ὑμῖν S ἔχωμέν M 21 ἐδίδαξεν B πράξεισ PS 22 αὐτῶν MPS, corr. M προσόντων MPS ταύτην ἀναγνωσθῆναι B 26 γνῶναι πότερον MΛ^{n}Φ^{r} πρότερον γνῶναι εἰ B γνῶναι πρότερον PSΦ^{ac} 27 τοιοῦτον PS καὶ παρὰ τίνοσ B αὐτῶν S αὐτὰ B 29 προσφέρει S ἀντίγραφα om. BΦ αὐθεντικὰ εἰσὶν ἢ ἴσα B εἰσὶν ἢ αὐθεντικὰ PS 33 προσκομισθείση SΦ 34 καὶ] ἢ B ἐκδέδοται B ἢ PSΛ^{n} ἢ εἰ Φ 35 δεήσεισ B 37 ἐπιζητηθῆ B

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 2/18/16 11:45 PM

612 Ἀέτιος διάκονος καὶ νοτάριος εἶπεν· Οὐδὲν κωλύει· ἀεὶ ἐδικάσατε καὶ δικάζοντες διελάμψατε.

613 Ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Τῶν περιττῶν ἐαθέντων ἡ ἀνάγνωσις γινέσθω.

614 Καὶ διὰ Ἀστερίου τοῦ καθωσιωμένου ἐκσκέπτορος τὸ αὐθεντικὸν σχεδάριον τὸ
L IIII 247 ἀπὸ τῶν νοταρίων προενεχθὲν ἄλλου τὰ ἀντίγραφα ἅτινα ἐκ τοῦ μέρους Εὐτυχοῦς τοῦ εὐλαβεστάτου ἀρχιμανδρίτου, προενεχθέντα συγκρίνοντος ἀνεγνώσθησαν. καὶ ἀνεγνώσθη ἐξ ἀρχῆς ἡ πρώτη καὶ ἡ δευτέρα πρᾶξις, ἥτις καὶ ἐν τοῖς ὑπομνήμασιν ἐμφέρεται, οὕτως

615 Ὑπατείας Φλαυίου Ζήνωνος καὶ Ποστουμιανοῦ τῶν λαμπροτάτων τῇ πρὸ ἕξ
d. 8. m. Nou. a. 448 Εἰδῶν Νοεμβρίων, ἐν τῇ φιλοχρίστωι καὶ βασιλευούσηι Κωνσταντινουπόλει Ῥώμηι καὶ τὰ λοιπά

616 Καὶ μετὰ τὸ ἀναγνωσθῆναι τὴν πρώτην καὶ τὴν δευτέραν πρᾶξιν καὶ πληρωθῆναι τὰς καταθέσεις τῶν εὐλαβεστάτων ἐπισκόπων Ἀέτιος διάκονος καὶ νοτάριος εἶπεν· Ἀξιοῦμεν τὴν ἁγίαν καὶ μεγάλην σύνοδον ἐρωτηθῆναι ἐπακούσασαν τῶν ἰδίων φωνῶν καὶ τῆς πράξεως τῶν ὑπομνημάτων μή τι παραπεποίηται ἢ παρεφθάρη.

617 Ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Ἐν ὅσωι σιωπῶσιν, συγκατατίθεσθαι φαίνονται· ὅθεν καὶ δὴ τὰ λοιπὰ ἀναγινωσκέσθω.

618 Καὶ διὰ τοῦ αὐτοῦ καθωσιωμένου ἐκσκέπτορος ἀνεγνώσθη ἡ τρίτη πρᾶξις, ἣ καὶ ἐμφέρεται ἐν τοῖς ὑπομνήμασιν.

619 Καὶ ἀναγινωσκομένης τῆς καταθέσεως τοῦ εὐλαβεστάτου πρεσβυτέρου καὶ ἐκ-
M VI 773 δίκου Ἰωάννου Κωνσταντῖνος διάκονος καὶ μοναχὸς εἶπεν· Οὕτως οὐκ ἐλέχθη, τῶν ποδῶν ὑμῶν, ὡς ἔχει.

Ὁ αὐτὸς καθωσιωμένος ἐκσκέπτωρ ἐπαναληφθείσης τῆς ἀναγνώσεως ἀνέγνω

620 Εἰ δέ που τύχοι τι παρ' αὐτῶν ἔν τισιν λέξεσιν ἢ διασφαλθὲν ἢ διαπλανηθέν, τοῦτο μήτε διαβάλλειν μήτε καταδέχεσθαι, μόνας δὲ τὰς γραφὰς ἐρευνᾶν ὡς βεβαιοτέρας οὔσας τῆς τῶν πατέρων ἐκθέσεως

621 Καὶ ὁπότε ἀνεγνώσθη, Κωνσταντῖνος ὁ εὐλαβέστατος διάκονος καὶ μοναχὸς εἶπεν ὅτι διαφόρως μὲν ἐλάλησαν οἱ ἅγιοι πατέρες καὶ πάντα δέχομαι , εἰς κανόνα δὲ πίστεως οὐ δέχομαι.

622 Καὶ ὁπότε γογγυσμὸς καὶ θόρυβος ἀνεφύη, Κωνσταντῖνος ὁ εὐλαβέστατος διάκονος καὶ μονάζων εἶπεν· Τοῦτο παρακαλῶ ὥστε τοὺς ἐξελθόντας καὶ ἀκούσαντας παρὰ τοῦ ἀρχιμανδρίτου μετὰ τοῦ συνειδότος ὡς ἐπὶ τοῦ κυρίου ἃ ἤκουσαν, μετὰ ἀληθείας

10—12 = supra 223
25—27 = supra 359 p. 124, 22—24

MBPSΦΛⁿ

2 διελάμψετε M 3 περισσῶν B 5 αὐξονίου B ἐκσκέπτωροσ PS ἐξσκέπτοροσ M σχιδάριον P 6 προενεχθὲν MPΛⁿ προανεχθὲν S προσενεχθὲν M^{corr}BΦ ἀλλ' οὐ PSΦ^{ac} 7 ἀρχιμανδρίτου om. B προσενεχθέντα BPS 7/8 ἀνεγνώσθησαν καὶ ἀνεγνώσθη MP ἀνεγνώσθη B ἀνεγνώσθησαν S 10 φλαυβίου M φλαβίου M^{corr} φλαβιανοῦ PS *Flauiorum* ΛⁿΦ^{r} πουστουμιανοῦ P 11 ιδῶν M ἐν — Ῥώμηι om. B 13 πληρωθῆναι B 13/14 ἀναγνωσθῆναι B 15 ἐπακούσασαν ἐρωτηθῆναι S 16 ἢ παραπεποίηται B παρεφθάρη B παραπέφθαρται MPS παρέφθαρται M^{corr} 18 φέρονται MPS δὴ om. B 19 αὐτοῦ om. P ἐξσκέπτοροσ B ἐκσκέπτωροσ PS ἢ BΦΛⁿ om. MPS 24 ἐξσκέπτωρ B 25 τι om. PS διασφαλὲν S 32 μοναχὸσ BS

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 2/18/16 11:45 PM

εἴπωσιν προκρίματος μὴ γινομένου τῶι ἀρχιμανδρίτηι ἐκ τῆς ἐμῆς καταθέσεως. ἀξιῶ τοὺς παραγενομένους εὐλαβεστάτους κληρικοὺς καταθέσθαι ἅπερ ἤκουσαν παρ' αὐτοῦ, καὶ τὸν εὐλαβέστατον διάκονον Ἀθανάσιον.

623 Σέλευκος ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· Πρὸ τῆς καταθέσεως τοῦ ἀδελφοῦ Κωνσταντίνου οἱ εἰς πρόσωπον ἀποσταλέντες τοῦ τὰς δεήσεις προσανατείναντος ὑπ- 5
ἔσχοντο πάντα ἃ ἂν αὐτοὶ εἴπωσιν, στοιχεῖν τὸν ἀρχιμανδρίτην αὐτῶν, καὶ ἀξιοῦμεν τὴν ἐπὶ τῶι προκρίματι φωνὴν πρόκριμα τῆι πράξει τῶν ὑπομνημάτων μὴ ποιεῖν.

624 Κωνσταντῖνος διάκονος καὶ μονάζων εἶπεν· Ἀξιῶ ἐκεῖνο περιαιρεθῆναι τὸ εἰς τὸν κανόνα τῆς πίστεως, ὅτι ἐν θορύβωι μὴ εἰδὼς ἐλάλησα.

625 Σέλευκος ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· Ὅτι ἡσυχίας οὔσης πρὸ τοῦ θορύβου 10
ταύτην τὴν φωνὴν ὁ ἀδελφὸς Κωνσταντῖνος κατέθετο, μαρτυροῦσιν καὶ οἱ ἁγιώτατοι ἐπίσκοποι καὶ ἡ αὐτῶν ἐξουσία.

626 Ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Περὶ τῆς αἰτιάσεως ἑκατέρου μέρους τί σκεπτέον δοκιμάζουσιν, οἱ εὐλαβέστατοι ἐπίσκοποι Θαλάσσιος καὶ Εὐσέβιος καταξιώσουσιν εἰπεῖν. 15

627 Ὁ εὐλαβέστατος ἐπίσκοπος Θαλάσσιος εἶπεν· Οὐ δύναται ὁ ἀποσταλεὶς παρὰ τοῦ εὐλαβεστάτου μοναχοῦ τινὰ μὲν ὧν κατατίθεται αὐτὸς τῆι ἰδίαι φωνῆι, κατα- L IIII 250
δέχεσθαι, τινὰ δὲ μὴ καταδέχεσθαι.

628 Ὁ εὐλαβέστατος ἐπίσκοπος Εὐσέβιος τῆς Ἀγκυρανῶν πόλεως εἶπεν· Καὶ ἐμοὶ τὰ σύμφωνα δοκεῖ ὥστε τὸν τὸ πρόσωπον ἀναδεξάμενον τοῦ εὐλαβεστάτου ἀρχιμαν- 20
δρίτου Εὐτυχοῦς πάντα κύρια ἡγεῖσθαι τὰ παρὰ τῆς ἑαυτοῦ φωνῆς εἰρημένα καὶ μὴ μέρος μὲν βούλεσθαι κρατεῖν, μέρος δὲ τῶν εἰρημένων ἀνατρέπεσθαι.

629 Ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Οἱ εὐλαβέστατοι Ἰωάννης ὁ πρεσβύ-
τερος καὶ Ἀνδρέας ἅτινα γινώσκουσιν ἑαυτοὺς παρὰ Εὐτυχοῦς τοῦ εὐλαβεστάτου M VI 776
μοναχοῦ ἀκηκοέναι, μεμνημένοι τῆς ἰδίας ὑπολήψεως κατάθωνται. 25

630 Καὶ ὁπότε εἰς μέσον ἔστησαν Ἰωάννης ὁ εὐλαβέστατος πρεσβύτερος καὶ ἔκδικος τῆς ἁγίας ἐκκλησίας ταύτης τῆς ἐνδόξου πόλεως καὶ Ἀνδρέας ὁ εὐλαβέστατος διάκονος, Κωνσταντῖνος διάκονος εἶπεν· Οὐκ εἴπομεν ὅτι στοιχεῖ πάντα τῶι ἀρχιμανδρίτηι ὅσα λέγω.

631 Ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Αἱ φωναί σου ἐν τοῖς ὑπομνήμασιν περι- 30
έχονται.

632 Σέλευκος ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· Φθάσας ὁ μεγαλοπρεπέστατος ῥεφε- 567
ρενδάριος ὡς ἀπὸ τοῦ εὐσεβεστάτου καὶ φιλοχρίστου βασιλέως ἡμῶν κατέθετο εἰς πρόσωπον τοῦ ἀρχιμανδρίτου Εὐτυχοῦς ἀπεστάλθαι Κωνσταντῖνον καὶ τοὺς σὺν αὐτῶι ὀφείλοντας ἀναδέξασθαι τὰ εἰς αὐτὸν ἀναφερόμενα. 35

633 Ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Τὰ ῥήματα ὡσαύτως τὰ σὰ τοῖς ὑπομνήμασιν περιέχονται. καὶ προσέθηκεν· Ὁ εὐλαβέστατος πρεσβύτερος Ἰωάννης τίνα παρὰ Εὐτυχοῦς τοῦ μοναχοῦ ἤκουσεν, ἔκθηται.

634 Καὶ πρὶν ἢ καταθέσθαι, Μελίφθογγος ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· Ἐκ προ- 565

MBPSΦΛ^{n}

6 τούτοισ στοιχεῖν B 7 μὴ om. S 8 μοναχὸσ BS 9 τὸν om. B 10 ὁ om. M 17 κατέθετο B ὁ αὐτὸσ S 17/18 μὴ καταδέχεσθαι B καταδέχεσθαι — δὲ om. Λ^{n} 18 μὴ om. B 19 τῆσ ἀγκυρανῶν πόλεωσ εὐσέβιοσ B 20/21 ἀρχιμανδρίτου om. B 21 Εὐτυχοῦς om. Φ αὐτοῦ B 22 βουλεύεσθαι MPS δὲ BΦΛ^{n} δὲ θέλειν MPS εἰρημένων παρ' αὐτοῦ B 23 οἱ εὐλαβέστατοι Φ^{ac}Λ^{n} ὁ εὐλαβέστατοσ MBPΦ^{cr} 24 ἀνδρέασ MPSΦ^{r}Λ^{n} ἀνδρέασ ὁ εὐλαβέστατοσ διάκονοσ B *andreas diaconus* Φ^{ac} ἅτινα — ἑαυτούς] εἰ ἴσασι τί ἑαυτοῖσ B ἑαυτοὺς om. S 28 διάκονοσ καὶ μοναχὸσ B εἶπαμεν S 32 *uir clarissimus* Φ^{ac} 33 εὐσεβεστάτου καὶ om. B 34 Εὐτυχοῦς om. B 35 εἰς αὐτὸν] *similia his* [ἴσα αὐτῶν] Λ^{n} 37 ἰωάννησ ὁ πρεσβύτεροσ BΦ^{ac} ἅτινα B 38 τοῦ εὐλαβεστάτου μοναχοῦ BΦ 39 κατάθηται B om. S

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 2/18/16 11:45 PM

μηθείας τινὸς παρὰ τὰς ἀρχὰς εὐθὺς τῆς κατηγορίας ἐνισταμένης ἐμνημόνευσα καὶ εἶπον ὅτι οὐ περὶ τῶν τυχόντων ἡ κατηγορία γίνεται οὔτε δι' ἐντολέως τὸ τοιοῦτον ἐπικίνδυνον πρᾶγμα δοκιμάζεται ἢ ὀφείλει γενέσθαι, ἀλλὰ χρήιζομεν τῆς παρουσίας τοῦ κατηγορουμένου, τοῦτο καὶ τῶν νόμων βουλομένων. εἰ δὲ ἄρα παρίσταται τῶι εὐσεβεστάτωι βασιλεῖ δι' ἐντολέως ἐγκληματικὴν γυμνάζεσθαι δίκην καὶ κατηγορεῖν ἀκινδύνως καὶ παρασταίη, τοῦτο γνωρισθῆι αὐτῶι καὶ ἀνάγκη ἡμᾶς εἶξαι φιλοχρίστωι βασιλεῖ πάντα κελεύοντι.

635 Ὁ εὐλαβέστατος ἐπίσκοπος Σέλευκος εἶπεν· Βεβαίων ὄντων τῶν πραχθέντων καὶ τήμερον ἐκ τῆς καταθέσεως τοῦ μεγαλοπρεπεστάτου ῥεφερενδαρίου καὶ τῆς συναινέσεως τῶν ἁγιωτάτων ἐπισκόπων καὶ τοῦ μεγαλοπρεπεστάτου καὶ ἐκδοξοτάτου ἀπὸ ὑπάτων καὶ πατρικίου Φλωρεντίου, κατατιθέσθωσαν καὶ οἱ εὐλαβέστατοι ὁ πρεσβύτερος Ἰωάννης καὶ ὁ διάκονος Ἀνδρέας ἅπερ ἴσασιν.

636 Ἰωάννης ὁ εὐλαβέστατος πρεσβύτερος καὶ ἔκδικος εἶπεν· Τὰ μὲν κατατεθέντα παρ' ἐμοῦ καὶ ὑπαναγνωσθέντα τῆι ἁγίαι ταύτηι καὶ θεοφιλεστάτηι συνόδωι παρόντος καὶ τοῦ μεγαλοπρεπεστάτου καὶ τὰ πάντα ἐνδοξοτάτου ἀπὸ ὑπάτων καὶ πατρικίου Φλωρεντίου ὅτι γε δὴ ἀληθείας ὑπῆρχεν ἐντός, τοῦτο καὶ ὁ εὐλαβέστατος διάκονος

637 Οὗ λέγοντος Κωνσταντῖνος διάκονος εἶπεν· Ὅλα οὐκ ἀνεγνώσθη.

638 Ὁ αὐτὸς Ἰωάννης ὁ εὐλαβέστατος πρεσβύτερος καὶ ἔκδικος εἶπεν· Ναὶ ἴδε,
M VI 777 αὐτὸ λέγω.

639 Κωνσταντῖνος ὁ εὐλαβέστατος διάκονος καὶ μοναχὸς εἶπεν· Ἐγὼ εἶπον ἕνα λόγον ἐν θορύβωι καὶ ἐγράφη

640 Οὗ λέγοντος ὁ εὐλαβέστατος ἐπίσκοπος Θαλάσσιος εἶπεν· Ἤρκει μὲν καὶ ἡ ὑπόλ. IIII 251 ληψις Ἰωάννου τοῦ πρεσβυτέρου, ἐπειδὴ δὲ τὸ εὐαγγέλιον πᾶσιν προετέθη ἡμῖν, εὔλογόν ἐστιν καὶ αὐτὸν ἐφ' οἷς λέγει, ἐπὶ τοῦ εὐαγγελίου πιστώσασθαι.

641 Ὁ αὐτὸς Ἰωάννης ὁ εὐλαβέστατος πρεσβύτερος καὶ ἔκδικος ὑποζεύξας εἶπεν· Ὅτι γε δὴ ἀληθείας ἐντὸς ὑπάρχει, πρὸς οἷς ἔδοξεν ἐπαμφιβάλλειν, πλείονι δεσμῶι ἀληθείας κατέδησεν. καὶ τοῦτο ἡ θεοφιλὴς καὶ ἁγία σύνοδος ἔγνω ἀφ' ὧν τελευταῖον πρὸς ἀνατροπὴν εἶδεν τῶν οἰκείων λόγων· ἐπειδὴ δὲ δεῖ τελείαν ὑπανάγνωσιν γενέσθαι καὶ πεισθῆναί με ἀπὸ τῶν ἑπομένων ὥστε γνωρίσαι με τὰ κατατεθέντα παρὰ τοῦ εὐλαβεστάτου ἀρχιμανδρίτου Εὐτυχοῦς καὶ εἰ συμβαίνοντα εἶπεν τοῖς κατατεθεῖσιν τὸ τηνικαῦτα παρ' ἐμοῦ, ἢ ἀπαρνήσασθαι, εἴ γε ἄρα τύχοι μὴ ἐπιγνωσθὲν παρ' ἐμοῦ, ἀξιῶ τὴν ὑμετέραν θεοφίλειαν ὑπαναγνωσθῆναι καὶ πληρεστάτην γενέσθαι τὴν ἀνάγνωσιν, ὥστε σκοπῆσαί με διὰ πάντων διὰ τὸ σέβας τῶν ἁγίων εὐαγγελίων τὸ προτεθὲν παρὰ τῆς ὑμετέρας θεοφιλείας καὶ ἀκολουθῆσαι τῶι λόγωι τῆς ἀληθείας.

642 Ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Αὔθις Ἰωάννου τοῦ πρεσβυτέρου αἱ

MBPSΦ, Λ^n [usque ad 27 ἔγνω, ceteris usque ad p. 161, 21 omissis]

1 εὐθὺ MPS ἐνιστάμενοσ MPS 2 ἐμπολέωσ S τοιοῦτο M 3 χρήιζωμεν M 4 τούτων MPS, corr. M τοῦ νόμου MPS, corr. M 5 ἐμπολέωσ S δίκην γυμνάζεσθαι B κατηγορίαν B 6 παρασταίη MPS εἰ παρίσταται B *constituerit* Φ^{cr} *constiterit* Φ^a *conprobari* Λ^n, unde nescio an emendandum sit παραστῆναι τούτω B γνωρισθείη PS γνώρισον B 8 Σέλευκος] βασίλειοσ σελευκείασ MPS 9 *magnifici* Φ 10 καὶ ἐνδοξοτάτου om. B 11 ὁ πρεσβύτεροσ BS πρεσβύτεροι MP 14 ἁγία ταύτη $B\Lambda^n$ ἁγιωτάτη MPSΦ 15 ἐνδοξοτάτου τοῦ MP 17 διάκονοσ καὶ μονάζων B cf. Φ^{ac} 18/20 Ναὶ — μοναχὸς εἶπεν om. MPS 22 καὶ οὗ M ἡ om. P 22/23 ὑπόλημψισ M, corr. M 23 προετέθη πᾶσιν B πᾶσι προσετέθη S 24 ἐστιν om. S πιστώσασθαι ἐπὶ τοῦ εὐαγγελίου B 25 εἶπεν ὑποζεύξασ B 28 ἐπεὶ S δεῖ om. S ἀνάγνωσιν B 29 με om. S 30 εὐτυχοῦσ τοῦ ἀρχιμανδρίτου B 31 ἄρα om. B 32 ὑπανάγνωσιν B 33 τὸ¹ om. M προταθὲν M^{corr}

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 2/18/16 11:45 PM

φωναὶ ἐκ τῶν ὑπομνημάτων ἐπαναληφθῶσιν ὅπου ἑαυτὸν τινὰ παρὰ Εὐτυχοῦς ἀκηκοέναι κατέθετο.

Καὶ διὰ τοῦ αὐτοῦ καθωσιωμένου ἐκσκέπτορος πάλιν αἱ φωναὶ τοῦ αὐτοῦ εὐλαβεστάτου πρεσβυτέρου Ἰωάννου ἀνεγνώσθησαν

643 Ὁ εὐλαβέστατος πρεσβύτερος καὶ ἔκδικος Ἰωάννης εἶπεν· Πρώην τοῦ θεοφιλεστάτου ἐπισκόπου Εὐσεβίου προσελθόντος ἐν συνεδρίωι τῆι ὑμετέραι ἁγιωσύνηι καὶ αἰτιασαμένου τὸν εὐλαβέστατον πρεσβύτερον καὶ ἀρχιμανδρίτην Εὐτυχῆ καὶ βιβλίον ἔγγραφον ἐπιδεδωκότος τὸ καταδηλοῦν νοσεῖν αὐτὸν τὰ τῶν αἱρετικῶν πάθη καὶ ἐξαιτήσαντος προσκληθέντα αὐτὸν ἐπὶ τῆς ὑμετέρας ἁγιωσύνης ἀπολογήσασθαι ἐπὶ τοῖς ἐπαγομένοις αὐτῶι παρ' αὐτοῦ, πρόνοιαν ποιουμένη ἡ ὑμετέρα ἀπαραλόγιστος σοφία προσέταξεν διαβῆναι ἐμέ τε καὶ τὸν εὐλαβέστατον διάκονον Ἀνδρέαν πρὸς αὐτὸν ἐν τῆι μονῆι αὐτοῦ καὶ καλέσαι αὐτὸν ἀπολογησόμενον. τούτου δὲ γενομένου καὶ παραγενομένων ἡμῶν πρὸς αὐτὸν ἐν τῆι αὐτοῦ μονῆι τούς τε λιβέλλους αὐτῶι ὑπανέγνωμεν καὶ τὰ ἴσα τούτων δεδώκαμεν καὶ τὸν αἰτιασάμενον κατεδηλώσαμεν καὶ κατεμηνύσαμεν αὐτῶι τὴν κλῆσιν καὶ τὴν ἀπολογίαν τὴν ἐπὶ τῆς ὑμετέρασ ἁγιωσύνης. ὁ δὲ τὸ μὲν ὑπαντῆσαι καὶ ἀπολογήσασθαι παντελῶς ἀπηρνήσατο, εἰρηκὼς τοῦτο προωρίσθαι αὐτῶι καὶ ὅρωι τινὶ κεκρατηκέναι ἀπ' ἀρχῆς τὸ μηδαμῶς ἀλλαχόσε ἀποβαίνειν αὐτὸν τῆς ἑαυτοῦ συνοδίας, τρόπωι δέ τινι ὡς ἐν τάφωι διατρίβειν ἐν τῆι μονῆι. γνωσθῆναι δὲ τῆι ὑμετέραι ἁγιωσύνηι δι' ἡμῶν ἐξήιτησεν ὅτιπερ ὁ θεοφιλέστατος ἐπίσκοπος Εὐσέβιος ἐχθρὸς αὐτῶι πάλαι τυγχάνων λοιδορίας καὶ ὕβρεως χάριν ταύτην τὴν κατηγορίαν κατ' αὐτοῦ ἐποιήσατο. ἕτοιμον γὰρ αὐτὸν εἶναι ἔφασκεν ταῖς ἐκθέσεσιν τῶν ἁγίων πατέρων τῶν τε ἐν Νικαίαι καὶ ἐν Ἐφέσωι τὴν σύνοδον ποιησαμένων συντίθεσθαι καὶ ὑπογράφειν ταῖς ἑρμηνείαις αὐτῶν ὡμολόγει· εἰ δὲ που τύχοι τι παρ' αὐτῶν ἓν τισιν λέξεσιν ἢ διασφαλθὲν ἢ διαπλανηθέν, τοῦτο μήτε διαβάλλειν μήτε καταδέχεσθαι, μόνας δὲ τὰς γραφὰς ἐρευνᾶν ὡς βεβαιοτέρας οὔσας τῆς τῶν πατέρων ἐκθέσεως. μετὰ δὲ τὴν ἐνανθρώπησιν τοῦ θεοῦ λόγου, τουτέστιν μετὰ τὴν γέννησιν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μίαν φύσιν προσκυνεῖν καὶ ταύτην θεοῦ σαρκωθέντος καὶ ἐνανθρωπήσαντος. καὶ βιβλίον τι τοιοῦτον προκομίσας ὑπανεγίνωσκεν, προσετίθει δὲ ὅτι λοιδορίας τινός, ὡς ἔφη, λεχθείσης κατ' αὐτοῦ ὡς αὐτοῦ εἰρηκότος ὅτι γε δὴ ἐξ οὐρανοῦ τὴν σάρκα ὁ θεὸς λόγος κατενήνοχεν, αὐτὸς ἀνεύθυνος τυγχάνει τῆς τοιαύτης λοιδορίας. τὸ δὲ ἐκ δύο φύσεων ἑνωθεισῶν καθ' ὑπόστασιν γεγενῆσθαι τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν μήτε μεμαθηκέναι ἐν ταῖς ἐκθέσεσιν τῶν ἁγίων πατέρων μήτε καταδέχεσθαι, εἰ τύχοι τι αὐτῶι τοιοῦτο παρά τινος ὑπαναγινώσκεσθαι, διὰ τὸ τὰς θείας γραφάς, ὡς ἔλεγεν, ἀμείνονας εἶναι τῆς τῶν πατέρων διδασκαλίας. καὶ ταῦτα λέγων ὡμολόγει τέλειον θεὸν εἶναι καὶ τέλειον ἄνθρωπον τὸν γεννηθέντα ἐκ τῆς παρθένου Μαρίας μὴ ἔχοντα σάρκα ὁμοούσιον ἡμῖν· τοῦτο δὲ ἐμοὶ διαλεγόμενος εἶπεν.

Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Ταῦτα αὐτὸς μόνος ἐπήκουσας ἢ καὶ ὁ ἅμα σοι ἀποσταλεὶς διάκονος Ἀνδρέας;

---

643 = supra 359—361

MB, PS [usque ad 2 κατέθετο], Φ

1 ἀναληφθῶσιν S 3 ἐξσκέπτοροσ B αἱ om. M 6 εὐσεβίου τοῦ ἐπισκόπου B 7 ἀρχιμανδρίτου M εὐτυχῆν M, corr. M 11 διάκονον om. B 13 τε om. B 14 καὶ τὴν B 17 ἐξ B ἑαυτὸν B 18 ἐν² om. B 21 ἑαυτὸν B τε om. B 22 καὶ τῶν B 24 μήτε²] μὴ δὲ M μόνον B 27 τι τοιοῦτον p. 124, 27 τοιοῦτο M τι B 28 ὡσ ὅτι B ἔφη p. 124, 27 ἔφην MB λεχθείσησ B κατατεθείσησ M 29 γε B τε M 30 τοιαύτησ B τοσαύτησ M 31 τὸν χν̄ B ἐν om. B 35 τῆσ ἁγίασ B

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 2/18/16 11:45 PM

Ὁ εὐλαβέστατος πρεσβύτερος καὶ ἔκδικος Ἰωάννης εἶπεν· Ἐν ὧι ταῦτά μοι ἐνετέλλετο εἰς τὸ ἀναγαγεῖν τῆι ὑμετέραι ὁσιότητι, παρῆν καὶ ὁ εὐλαβέστατος Ἀνδρέας ὁ διάκονος.

644 Καὶ μετὰ τὸ ἀναγνωσθῆναι Ἰωάννης ὁ εὐλαβέστατος πρεσβύτερος καὶ ἔκδικος εἶπεν· Οἶδε καὶ ἡ ὑμετέρα μεγαλοπρέπεια καὶ ἡ θεοφιλεστάτη καὶ ἁγία σύνοδος ὅτι ἐπ' αὐτῶν τῶν λέξεών τινα ἔρχεσθαι ἀποστελλόμενον μήνυσιν κομίσαι πρός τινας οὐχ οἷόν τέ ἐστιν. οὔτε γὰρ τῶν πάνυ εὐδοκιμωτάτων ῥητόρων ἄν τις ποιήσειε τοῦτο τὸ τὰς ἀλλοτρίας λέξεις ποτὲ διαπορθμεύειν καὶ διακομίζειν τισί. τότε δὲ ἡνίκα ταῦτα ἐπυνθανόμην παρὰ τοῦ εὐλαβεστάτου ἀρχιμανδρίτου Εὐτυχοῦς, παρῆν καὶ ὁ εὐλαβέστατος
M VI 781 διάκονος Ἀνδρέας, ἔτι γε μὴν καὶ ὁ εὐλαβέστατος διάκονος Ἀθανάσιος, κἀγὼ δὲ κατ' ἐκεῖνο καιροῦ ὑπομνηστικὸν ποιήσας παρ' ἐμαυτῶι, ὡς ὠιόμην, τῶν παρ' ἐκείνου ῥηθέντων φυλάττω καὶ ἔχω παρ' ἐμαυτῶι. ἔδει δὲ καὶ αὐτὸν τὸν εὐλαβέστατον ἀρχιμανδρίτην Εὐτυχῆ παρεῖναι τοῖς πραττομένοις τήμερον τῆς καταθέσεως ἕνεκεν τῆς ἐμῆς. τοῦτο γὰρ δὴ καὶ παρὰ τῆι ὑμετέραι ἀπαραλογίστωι σοφίαι δοκιμάζεσθαι νενόμικα ὥστε αὐτὸν τὸν εἰρηκότα μοι παρόντα ἐνταῦθα πυνθάνεσθαι τῶν λεγομένων παρ' ἐμοῦ καὶ ἀντιπεῖν πρὸς τὰ παρ' ἐμοῦ λεγόμενα ἢ συντίθεσθαι αὐτοῖς. οὔτε γὰρ οἶμαι εὐλαβείας αὐτὸν ἐντὸς ὄντα τῶν εὐαγγελίων προκειμένων ἀναιρεῖν μου τοὺς λόγους τοὺς παρ' αὐτοῦ τηνικαῦτα ῥηθέντας, μάλιστα ἐπειδήπερ καὶ ὁ παρὼν εὐλαβέστατος διάκονος Κωνσταντῖνος πῆι μὲν συντίθεται τοῖς λεγομένοις παρ' ἐμοῦ, πῆι δέ, ὡς ὑπονοεῖ, ἄντικρυς βαίνει τῶν ῥηθέντων παρ' ἐμοῦ. καὶ ἀξιῶ μὴ πάνυ τῶν λέξεων αὐτῶν σαφῶς ἀπαιτουμένων παρ' ἐμοῦ τῶν ῥηθεισῶν παρ' ἐκείνου· οὐδὲ γὰρ ἂν ποίησαιτό τις τοῦτο τὸ αὐτολεξεὶ διαπορθμεῦσαι ῥήματά τινος, τὰ δὲ γραφέντα τότε ἐν τῶι ὑπομνηστικῶι κελεύσατε ἀναγνωσθῆναι.

645 Ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Τὸ ὑπομνηστικόν, ὅπερ ἐξαιτεῖς, ἀναγινωσκέσθω καὶ συγκριθῆι τῆι καταθέσει ἥτις ἐν τοῖς ὑπομνήμασι περιέχεται, ἵν' εἴ τι περὶ τὸν νοῦν ἢ περὶ τὰ ῥήματα διαφωνηθῆι, γνωσθῆι.

646 Καὶ πρὶν ἢ ἀναγνωσθῆναι Ἰωάννης ὁ εὐλαβέστατος πρεσβύτερος καὶ ἔκδικος εἶπεν·
L IIII 255 Ἀξιῶ πρότερον τὸν εὐλαβέστατον Ἀνδρέαν καὶ τὸν εὐλαβέστατον διάκονον Ἀθανάσιον παρόντας λέγειν εἴ γε συνάιδουσι τοῖς ὑπαναγνωσθεῖσιν ἤδη καὶ τηνικαῦτα παρ' ἐμοῦ κατατεθεῖσιν.

647 Ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Τέως ἡ ἀνάγνωσις παρακολουθήσει.
Καὶ ὁπότε προήνεγκε τὸ ὑπομνηστικὸν Ἰωάννης πρεσβύτερος καὶ ἔκδικος, διὰ τοῦ αὐτοῦ καθωσιωμένου ἐκσκέπτορος ἀνεγνώσθη

648 Πρώην τοῦ θεοφιλεστάτου Εὐσεβίου ἐν συνεδρίωι προσελθόντος τῆι ὑμετέραι ἁγιωσύνηι καὶ κατηγορήσαντος Εὐτυχοῦς τοῦ εὐλαβεστάτου πρεσβυτέρου καὶ ἀρχιμανδρίτου καὶ βιβλίον ἐπιδόντος κατ' αὐτοῦ τὸ καταδηλοῦν νοσεῖν αὐτὸν τὰ τῶν αἱρετικῶν πάθη καὶ ἐξαιτήσαντος τὸν μνημονευθέντα εὐλαβέστατον ἀρχιμανδρίτην μετακληθέντα ἀπολογήσασθαι τοῖς ἐπαγομένοις αὐτῶι παρ' αὐτοῦ, πρόνοιαν ποιουμένη τῆς ὀρθοδόξου πίστεως ἡ ἀπαραλόγιστος ὑμῶν σοφία διαβῆναι προσέταξεν ἐμέ τε καὶ τὸν εὐλαβέστατον διάκονον Ἀνδρέαν πρὸς αὐτὸν καὶ καλέσαι αὐτὸν ἀπολογησόμενον. τούτου δὲ γενομένου καὶ παραγενομένων ἡμῶν πρὸς αὐτὸν ἐν τῆι αὐτοῦ μονῆι καὶ ὑπαναγνόντων αὐτῶι τὴν
M VI 784 ἔγγραφον κατηγορίαν καὶ τὰ ἴσα δεδωκότων καὶ κατασημανάντων αὐτῶι τὸν αἰτιασάμενον, τὴν κλῆσιν καὶ τὴν ἀπολογίαν τὴν ἐπὶ τῆς θεοφιλοῦς ὑμῶν καὶ ἁγίας συνόδου, ὁ

MBΦ

15/6 *interrogatus contradiceret* Φ^{r} 22 δὲ om. B 24 ἐξαιτεῖ Φ 25 ἐν om. B 33 ἐξσκέπτοροσ B 38 πρόνοιαν δὲ M, corr. M 40 δὴ M

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 2/18/16 11:45 PM

μνημονευθεὶς Εὐτυχὴς τὸ μὲν ἐνταῦθα ἀπαντῆσαι καὶ ἀπολογήσασθαι τοῖς ἐπαγομένοις αὐτῶι παντελῶς ὑπερέθετο, εἰρηκὼς προωρίσθαι αὐτῶι τοῦτο καὶ ὅρωι τινὶ κεκρατηκέναι ἀπ' ἀρχῆς τὸ μηδαμῶς ἀλλαχόσε ἀποβαίνειν τῆς ἑαυτοῦ συνοδίας διὰ τὸ ὥσπερ ἐν τάφωι τινὶ διατρίβειν ἐν τῆι μονῆι, γνωρισθῆναι δὲ τῆι ὑμετέραι ὁσιότητι δι' ἡμῶν ἐξήιτει ὡς ἐχθρὸς ὢν αὐτῶι πάλαι ὁ θεοσεβέστατος ἐπίσκοπος Εὐσέβιος ὕβρεως χάριν καὶ λοιδορίας ταύτην κατ' αὐτοῦ τὴν κατηγορίαν ἐνεστήσατο. αὐτὸς γὰρ ἔπεσθαι ταῖς ἐκθέσεσι τῶν ἁγίων καὶ μακαρίων πατέρων τῶν ἐν Νικαίαι καὶ ἐν Ἐφέσωι σύνοδον ποιησαμένων καὶ καθυπογράφειν αὐτοῖς ἑτοίμως ἔχειν ἐπηγγείλατο. εἰ δέ που τύχοι, ὡς ἔφησε, περί τινας λέξεις ἢ διεσφάλησαν οἱ πατέρες ἡμῶν ἢ διεπλανήθησαν, ταῦτα τό γε ἐπ' αὐτῶι μήτε διαβάλλειν μήτε προσδέχεσθαι, ἐρευνᾶν δὲ μόνον τὰς θείας γραφὰς περὶ τῶν τοιούτων ὡς βεβαιοτέρας. ἔφη δὲ ὁ αὐτὸς λοιδορίας παρά τινων λεχθείσας, ὡς ὁ θεὸς λόγος ἐξ οὐρανῶν τὴν σάρκα κατενήνοχεν· ἀλλότριος ὑπάρχοι τῆς τοιαύτης λοιδορίας. μετὰ τὴν ἐνανθρώπησιν δὲ τοῦ θεοῦ λόγου, τουτέστι μετὰ τὴν γέννησιν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μίαν φύσιν προσκυνεῖν καὶ ταύτην θεοῦ σαρκωθέντος καὶ ἐνανθρωπήσαντος. καὶ περὶ τούτου βιβλίον προκομίσας ὑπανέγνωσκεν. τὸ γὰρ ἐκ δύο φύσεων μετὰ τὴν ἕνωσιν φυσιολογεῖν χρῆναι τὸν κύριον ἡμῶν Ἰησοῦν τὸν Χριστὸν οὔτε μεμαθηκέναι τοῖς ἐκθέσεσι τῶν ἁγίων πατέρων ἔφησεν οὔτε μὴν δέχεσθαι, εἴπερ καὶ τύχοι τοιοῦτον αὐτῶι τι παραναγινωσκόμενον, διὰ τὸ τὰς θείας γραφάς, καθὼς ἔφη, μηδεμίαν μνήμην πεποιῆσθαι περὶ φύσεων καὶ κρείττονας εἶναι τῶν διδασκαλικῶν ἐκθέσεων. καὶ ταῦτα λέγων προσετίθει θεὸν τέλειον καὶ ἄνθρωπον τέλειον ἐκ τῆς παρθένου γεγεννῆσθαι.

649 Ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν πρὸς Κωνσταντῖνον μοναχόν· Κατὰ τὴν ὑφὴν τοῦ ὑπομνηστικοῦ ἢ κατὰ τὴν ὑφὴν τῶν ὑπομνημάτων εἰρηκέναι τὸν εὐλαβέστατον μοναχὸν Εὐτυχῆ τοῖς κληρικοῖς φάσκεις; L IIII 258

650 Κωνσταντῖνος ὁ εὐλαβέστατος διάκονος καὶ μονάζων εἶπεν· Ὃ δ' ἂν κατάθωνται οἱ ἀκούσαντες, τοῦτο καταδέχεται ὁ ἀρχιμανδρίτης μετὰ τῆς ἀληθείας.

651 Ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Ἀνδρέας τίνα παρὰ τοῦ μοναχοῦ ἤκουσεν, εἴπηι, πρῶτον τῶν φωνῶν αὐτοῦ ἐκ τῶν ὑπομνημάτων ἀναγινωσκομένων. M VI 785

652 Καὶ πρὶν ἢ ἀναγνωσθῆναι Ἐλευσίνιος ὁ εὐλαβέστατος διάκονος καὶ μονάζων εἶπεν· Τὸ 'μὴ ἔχοντα σάρκα ὁμοούσιον ἡμῖν· τοῦτο δὲ ἐμοὶ διαλεγόμενος εἶπεν' ἐν τῶι προκομισθέντι παρ' αὐτοῦ ὑπομνηστικῶι οὐ κεῖται. p. 159, 35 31

653 Ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Τί πρὸς ταῦτα λέγει ὁ εὐλαβέστατος Ἰωάννης;

654 Ἰωάννης ὁ εὐλαβέστατος πρεσβύτερος καὶ ἔκδικος εἶπεν· Τὰς ἁγίας γραφὰς προέθηκεν ἡμῖν τοῖς ταπεινοῖς καὶ ἡ ὑμετέρα θεοφίλεια καὶ ἡ ὑμετέρα μεγαλοπρέπεια. καὶ ἃ ἔχει τὸ ὑπόμνημα, καὶ ἡ κατάθεσις αὕτη ἡ ἐν τῶι ὑπομνηστικῶι· εἰ καὶ συνέβη διαφωνεῖν εἰς τὰς λέξεις αὐτάς, οὐκ εἰμί 35

655 Οὗ λέγοντος ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Ἀλλ' οὐκ ἐστιν ὀλίγον ὅπερ ἐνηλλάχθαι λέγεται.

656 Ἰωάννης πρεσβύτερος καὶ ἔκδικος εἶπεν· Καὶ τίς δύναται τὰς ἀλλοτρίας λέξεις αὐτὰς διακονεῖν τινι; τὴν δὲ διάνοιαν αὐτὴν ἣν εἶπεν 40

657 Οὗ λέγοντος ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Τί τοίνυν τοῦτον ἐν τούτωι τῶι μέρει εἰρηκέναι διαβεβαιοῦσαι;

MBΦ, Λ^n [inde a 22]

9 ἔφησ B 11/12 λεχθείσασ MΦ λεχθείσησ B 18 εἴπερ M εἰ B εἰ γὰρ Φ 19 ποιεῖσθαι B 21 γεγενῆσθαι MB 29 *Eleusinus* $\Phi^{ac}\Lambda^n$ 31 οὐ κεῖται] οὐκ εἶπε Λ^n 41 ἣν om. Λ^n

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 2/18/16 11:45 PM

658 Ἰωάννης ὁ εὐλαβέστατος πρεσβύτερος καὶ ἔκδικος εἶπεν· Τί γάρ ἐστι τὸ ἀμφιβαλλόμενον; περὶ τοῦ ὁμοουσίου εἶπεν ὅτι τῇι μητρί ἐστιν ὁμοούσιος, οὐκ εἶπεν ἡμῖν τοῖς ἀνθρώποις. καὶ ὅπου θέλετε, ὀμνύω ὅτι εἶπεν· ὁμοούσιος τῇι μητρί ἐστιν καὶ οὐκ ἔχει ἡμῖν ὁμοούσιον τὴν σάρκα.

659 Ὁ μεγαλοπρέστατος πατρίκιος εἶπεν· Αὖθις τὸ μέρος τοῦτο πῆι μὲν ἐκ τοῦ ὑπομνηστικοῦ, πῆι δὲ ἐκ τῶν ὑπομνημάτων ἀναγινωσκέσθω, ἵνα ὁ εὐλαβέστατος Ἰωάννης ἰδικῶς κατάθηται τί ἐν τούτωι παρ' αὐτοῦ ἤκουσεν.

660 Οὗ γενομένου Ἰωάννης ὁ εὐλαβέστατος πρεσβύτερος καὶ ἔκδικος εἶπεν· Τοῦτο μόνωι μοι διαλεγόμενος εἶπεν ὅτι ἡμῖν ὁμοούσιον οὐκ ἔχει τὴν σάρκα, ἀλλὰ τῇι μητρί.

661 Ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Ἐπελάθου ὅπερ ἤκουσας, καὶ διὰ τοῦτο οὐκ ἔχει τοῦτο ἐν τῶι ὑπομνηστικῶι οὗ ἐνέταξας;

662 Ἰωάννης ὁ εὐλαβέστατος πρεσβύτερος καὶ ἔκδικος εἶπεν· Ἐπειδὴ οἱ παρόντες μετ' ἐμοῦ εὐλαβέστατοι διάκονοι οὐκ ἤκουσαν τὰ ἐμοὶ ἰδίαι ῥηθέντα, διὰ τοῦτο οὐκ ἐνέθηκα ταῦτα τῶι ὑπομνηστικῶι.

663 Κωνσταντῖνος διάκονος καὶ μοναχὸς εἶπεν· Καὶ τοῦτο παρακαλοῦμεν ὥστε τοὺς εὐλαβεστάτους διακόνους ἐλθεῖν καὶ καταθέσθαι μετὰ ἀληθείας ἃ ἤκουσαν παρὰ τοῦ ἀρχιμανδρίτου καὶ εἰ ἰδίαι αὐτῶι ἐλάλησεν.

664 Ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Καθάπερ ἀνωτέρω διελάλησα, παρόντος Ἀνδρέου αἱ φωναὶ αὐτοῦ δημοσιευθῶσι.

M VI 788 Καὶ διὰ τοῦ αὐτοῦ καθωσιωμένου ἐκσκέπτορος ἐξ αὐτῶν τῶν ὑπομνημάτων ἀνεγνώσθησαν

665 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Λεγέτω καὶ ὁ εὐλαβέστατος διάκονος Ἀν-
L IIII 259 δρέας εἰ ταῦτα ἤκουσε παρὰ τοῦ εὐλαβεστάτου πρεσβυτέρου καὶ ἀρχιμανδρίτου Εὐτυχοῦς λεγόμενα.

Ὁ εὐλαβέστατος διάκονος Ἀνδρέας εἶπεν· Κατὰ τὴν κέλευσιν τῆς ὑμετέρας ἁγιωσύνης ἀπήλθομεν πρὸς τὸν εὐλαβέστατον πρεσβύτερον καὶ ἀρχιμανδρίτην Εὐτυχῆ καὶ διαλεχθέντες αὐτῶι ταῦτα παρ' αὐτοῦ ἠκούσαμεν ἃ καὶ ὁ εὐλαβέστατος πρεσβύτερος καὶ ἔκδικος Ἰωάννης ἤδη κατέθετο.

666 Ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Ἀνδρέας ὁ εὐλαβέστατος διάκονος τί παρὰ Εὐτυχοῦς ἤκουσε, κατάθηται.

667 Ἀνδρέας ὁ εὐλαβέστατος διάκονος εἶπεν· Ἐπειδὴ ὁ θεὸς συγκαθέζεται ὑμῖν καὶ φόβος καὶ τρόμος ἔχει μου τὴν ψυχήν, τῆς ἀληθείας ἐκστῆναι οὐ δύναμαι. πρώην γὰρ ἀποσταλεὶς παρὰ τοῦ δεσπότου μου τοῦ τὰ πάντα ἁγιωτάτου ἀρχιεπισκόπου Φλαβιανοῦ καὶ τῆς σὺν αὐτῶι ἁγίας συνόδου πρὸς τὸν εὐλαβέστατον ἀρχιμανδρίτην Εὐτυχῆ περὶ μὲν τῆς κλήσεως ὅσα κατέθετο ὁ εὐλαβέστατος πρεσβύτερος καὶ ἔκδικος Ἰωάννης, ταῦτα καὶ συγκατεθέμην καὶ σύνοιδα, περὶ δὲ τοῦ ὁμοουσίου πεῦσιν προσαγαγόντος τοῦ εὐλαβεστάτου πρεσβυτέρου καὶ ἐκδίκου Ἰωάννου τῶι εὐλαβεστάτωι πρεσβυτέρωι καὶ ἀρχιμανδρίτηι Εὐτυχεῖ πότερον λέγει ὁμοούσιον τῶι πατρὶ τὸν θεὸν λόγον κατὰ τὴν θεότητα καὶ ὁμοούσιον ἡμῖν κατὰ τὴν ἀνθρωπότητα, ἔφη ὁ ἀρχιμανδρίτης Εὐτυχὴς λέγων· τὸ μάθημα πῶς ἔχει; ἔφη ὁ κύρις Ἰωάννης ὅτιπερ τὸ μάθημα ἔχει ὁμοούσιον τῶι πατρὶ μόνον. ἀντιτίθησιν ὁ ἀρχιμανδρίτης Εὐτυχὴς λέγων· οὕτως οὖν ἔχε καὶ αὐτός, ἐπειδὴ κἀγὼ οὕτως ἔχω. ἕτερόν τι οὐκ ἐπίσταμαι ἐν τῇι ὑποθέσει.

---

665 = supra 362. 363

MBΦΛ[a]

14 ταῦτα BΦ om. MΛ[a] 20 ἐξσκέπτοροσ B 33 τὰ πάντα] πάπα Λ[a]

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 9/9/15 7:59 AM

668 Ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Ἰδιαζόντως ὅμως Ἰωάννης μετὰ Εὐτυχοῦς τοῦ μοναχοῦ τί ποτε σοῦ ἀπόντος ἐλάλησεν;

669 Ἀνδρέας ὁ εὐλαβέστατος διάκονος εἶπεν· Τινὰ ἐλάλησε, τῶν ποδῶν ὑμῶν, ἃ ἐγὼ οὐκ ἤκουσα.

670 Ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Νῦν Ἀθανάσιος ὁ εὐλαβέστατος ἔλθοι.

671 Καὶ ὁπότε εἰς μέσον ἔστη Ἀθανάσιος ὁ διάκονος, ὁ μεγαλοπρεπέστατος πατρίκιος πρὸς αὐτὸν εἶπε· Τὸ σὸν ἐπιτήδευμα σκοπῶν μετὰ ἀληθείας λέγε τί τὸν μοναχὸν Εὐτυχῆ Ἰωάννηι τῶι εὐλαβεστάτωι ἢ Ἀνδρέαι εἰρηκέναι γινώσκεις.

672 Ἀθανάσιος ὁ εὐλαβέστατος διάκονος εἶπεν· Ἐπειδὴ περὶ ψυχῆς ἐστιν ὁ λόγος καὶ οὐκ ἀκίνδυνόν ἐστι τῶι μὴ λέγοντι τὴν ἀλήθειαν, ἅπερ ἤκουσα, ταῦτα καὶ λέγω. ἐγὼ M VI 789 οὐκ ἀπεστάλην διὰ ταύτην τὴν αἰτίαν μετὰ τοῦ θεοφιλεστάτου Ἰωάννου ἢ τοῦ εὐλα- 11 βεστάτου διακόνου Ἀνδρέου, προσκληθεὶς δὲ παρὰ τοῦ θεοφιλεστάτου πρεσβυτέρου καὶ ἐκδίκου Ἰωάννου ὡς ἐκεῖ μου παρόντος καὶ ἀκούσαντος τὰ παρ' ἐκείνου εἰρημένα καὶ ἐρωτηθεὶς παρὰ τῶν ὁσιωτάτων ἐπισκόπων κατεθέμην ὅτι ταῦτα κἀγὼ παρὼν ἐκεῖ ἤκου- 375 σα ὅσαπερ καὶ αὐτὸς κατέθετο. καὶ νῦν δὲ τοῦ ὑπομνηστικοῦ τούτου ἀναγνωσθέντος, 16 ὅπερ κατεῖχεν ὁ προειρημένος θεοφιλέστατος ἀνήρ, ἐπέγνων τὰς ἄλλας λέξεις, τὸ μέντοι περὶ τοῦ ὁμοουσίου οὐκ ἐπέγνων. ἀλλὰ τότε αὐτοῦ τοῦ πρεσβυτέρου ἐρωτήσαντος τὸν ἀρχιμανδρίτην Εὐτυχῆ καὶ εἰρηκότος· ὁμολογεῖς τὸν κύριον ὁμοούσιον τῶι πατρὶ κατὰ τὴν θεότητα, ὁμοούσιον δὲ τὸν αὐτὸν ἡμῖν κατὰ τὴν ἀνθρωπότητα; ἔφησεν ὁ αὐτὸς ἀρχιμανδρίτης λέγων· τὸ μάθημα πῶς ἔχει; εἶτα ἀποκριθεὶς ὁ πρεσβύτερος λέγει· ὁμοού- L IIII 262 σιον τῶι πατρί. λέγει ὁ αὐτός· οὕτως ἔχε, ὅτι κἀγὼ οὕτως ἔχω. 21

673 Ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Ὁμιλίας ὅμως μεταξὺ αὐτῶν ἰδιαζόντως ὁ εὐλαβέστατος Εὐτυχὴς ὁ μονάζων ἢ Ἰωάννης ὁ εὐλαβέστατος πρεσβύτερος ἔσχον;

674 Ἀθανάσιος ὁ εὐλαβέστατος διάκονος εἶπεν· Οὐ προσέσχον, τῶν ποδῶν ὑμῶν.

675 Ἐλευσίνιος ὁ εὐλαβέστατος μονάζων εἶπεν· Ἀξιοῦμεν τὸν εὐλαβέστατον διά- 25 κονον Ἀθανάσιον ἐρωτηθέντα καταθέσθαι περὶ ὧν ἐν τῆι δευτέραι ἐξετάσει ἐπελάβετο τοῦ εὐλαβεστάτου πρεσβυτέρου Ἰωάννου. ἔδειξε γὰρ ὅτι μετὰ τὴν προτέραν κατάθεσιν ἑτέρα πάλιν ἀνεγινώσκετο καὶ ἐπελάβετο οὕτως οὐκ ἐγράφη ταῦτα ἃ κατέθετο πρότερον ὅτε ἦλθεν ἀπὸ τοῦ μοναστηρίου, εἴτε ταῦτα εἴτε ἄλλα. μετὰ ταῦτα συν- εδρίου γενομένου καὶ κελεύσαντος τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου τὴν πρᾶξιν τῶν ὑπο- 30 μνημάτων φέρεσθαι ἔνθα κατέθετο ὁ θεοφιλέστατος πρεσβύτερος Ἰωάννης, ἀναγινωσκομένων ἐκείνων ἐπελάβετο ὁ διάκονος Ἀθανάσιος ὅτι ταῦτα οὐκ ἤκουσα.

676 Ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Ἰωάννου αἱ φωναὶ ἐκ τῶν ὑπομνημάτων ἀναγνωσθῶσιν καὶ τί πλέον περὶ τούτων ἕτοιμός ἐστιν Ἀθανάσιος διδάξαι, κατάθηται.

677 Καὶ ὁπότε πάλιν ἀνεγνώσθησαν, ὁ αὐτὸς Ἰωάννης ὁ εὐλαβέστατος πρεσβύτερος 35 εἶπεν· Προλαβὼν ὁ εὐλαβέστατος διάκονος Ἀνδρέας, ἔτι γε μὴν καὶ ὁ εὐλαβέστατος διάκονος Ἀθανάσιος πᾶσι τοῖς παρ' ἐμοῦ ῥηθεῖσιν ἐν τῶι ὑπομνηστικῶι συνέθεντο δίχα τοῦ ὁμοουσίου, ὡς ἔφησαν, καὶ αὐτὸ καταθέμενοι πῶς ἐλαλήθη παρὰ τοῦ εὐλαβεστάτου M VI 792 ἀρχιμανδρίτου. καὶ δύναται συνιέναι καὶ ἡ εὐλαβεστάτη καὶ ἁγία σύνοδος καὶ ἡ ὑμετέρα μεγαλοπρέπεια ὅτι αὐτὸ τοῦτο τὸ εἰπεῖν ἐμὲ ὅτι οἶδας ὁμοούσιον τῶι πατρὶ 40 κατὰ τὴν θεότητα καὶ ὁμοούσιον ἡμῖν κατὰ τὴν ἀνθρωπότητα, ὅτι τὸ ἀντεπερωτῆσαι αὐτὸν ἀμφιβολίας ἦν τεκμήριον. καὶ ἀξιῶ τὴν φωνὴν τῶν εὐλαβεστάτων διακόνων

MBΦΛⁿ

13 ἐκεῖ μου] ἐκείνου Φ^ca ἐκείνωι μου Φ^r 23 ἢ MB *et* ΦΛⁿ 26 ἐν τῆι δευτέραι ἐξετάσει] ad ea quae d. 8. m. Apr. a. 449 gesta erant [cf. 556—559. 877], referenda esse uidentur 28 οὕτωσ MB *stans* ΦΛⁿ, *conicio* ἐνιστάμενος ὅτι cf. p. 168, 6 ἃ om. Λⁿ 29 ἦλθον Φ μετὰ ταῦτα MBΦ^ac *sed postea* Φ^r *et postea* Λⁿ 40 *dominum consubstantialem* Φ^r

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 9/9/15 7:59 AM

τὴν βεβαιώσασάν μου ταύτην τὴν κατάθεσιν ⟨τὴν⟩ ἐν τῶι ὑπομνήματι μηκέτι χρῆναι ἀνατρέπεσθαι.

678 Ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Ἀθανάσιος ὅπερ ἐζητήθη, εἶπηι.

679 Ἀθανάσιος ὁ εὐλαβέστατος διάκονος εἶπεν· Ἐν τῆι τρίτηι ἐξετάσει αὕτη ἡ κατάθεσις ἡ κατατεθεῖσα παρὰ τοῦ πρεσβυτέρου ἀνεγινώσκετο εἰς τὸ σέκρετον καὶ ἐξενο-
p. 159, 35. 36 φωνήθην περὶ τὴν λέξιν τὴν ἐπὶ τέλει κειμένην ταύτην ὅπου λέγει 'μὴ ἔχοντα σάρκα ὁμοούσιον ἡμῖν' καὶ ὑπέκρουσα. εἶπε γὰρ καὶ αὐτὸς ὁ πρεσβύτερος ὅτι τοῦτο ἐμοὶ μόνωι διελέχθη.

680 Ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Ἀπόντος σου ὅμως ἰδιαζόντως τί ποτε μετ' αὐτοῦ [οὐκ] ἐλαλήθη;

681 Ἀθανάσιος ὁ εὐλαβέστατος διάκονος εἶπεν· Οὐκ εἶδον.

682 Ἰωάννης ὁ εὐλαβέστατος πρεσβύτερος καὶ ἔκδικος εἶπεν· Ὅτι μὲν πάντα τὰ παρ' ἐμοῦ ῥηθέντα καὶ δεύτερον καὶ τρίτον ἐρωτηθέντες οἱ εὐλαβέστατοι διάκονοι ἐβεβαίωσαν ταῖς οἰκείαις φωναῖς, τοῦτο καὶ ἡ ὑμετέρα θεοφίλεια καὶ ἡ ἁγία σύνοδος καὶ ἡ ὑμετέρα μεγαλοπρέπεια καὶ ἀκήκοεν καὶ ἐπίσταται· περὶ δὲ τοῦ ὁμοουσίου, ἐπειδὴ ὁ εὐλαβέστατος διάκονος Ἀθανάσιος ἔφησε ξενοφωνηθεὶς τότε θόρυβόν τινα ἐμπεποιηκέναι, κἀγὼ συν-
L. IIII 263 ομολογῶ. ἰδίαι γὰρ μοι τοῦτο ἔφην εἰρηκέναι αὐτόν, ὅπερ οὖν καὶ εἴρηκεν. ὅτι δὲ καὶ αὐτοὶ μερικῶς ἤκουσαν ἐμοῦ λέγοντος αὐτῶι ὅτι οἶδας αὐτὸν τῶι πατρὶ ὁμοούσιον κατὰ τὴν θεότητα καὶ ὁμοούσιον ἡμῖν κατὰ τὴν ἀνθρωπότητα, καὶ αὐτοὶ ταῖς οἰκείαις φωναῖς κατέθεντο καὶ πληρωθέντος τοῦ πρώτου ὑπομνήματος Μαρῖνος ἀναγνώστης καὶ νοτάριος τῆς Καισαρέων ἐκκλησίας Καππαδοκίας πρώτης ἀνέγνω.

683 Ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Τὸ μέρος τῶν ὑπομνημάτων λοιπὸν ἀναγνωσθήτω.

Καὶ διὰ τοῦ αὐτοῦ καθωσιωμένου ἐκσκέπτορος ἀνεγνώσθη

684 Ὁ εὐλαβέστατος πρεσβύτερος καὶ ἔκδικος Ἰωάννης εἶπεν· Ἐν αὐτῶι τῶι καιρῶι
p. 125, 10. 11 τῆς διαλέξεως καὶ τὰ λοιπὰ τῆς τρίτης πράξεως

685 Καὶ ὁπότε ἀνεγνώσθη, Κωνσταντῖνος διάκονος καὶ μονάζων εἶπεν· Τοῦτο οὐκ
M VI 793 p 133, 19—20 εἶπον ὅτι εἰ μὴ συμπνεύσετέ μοι καὶ ταπεινώσει με ὁ ἐπίσκοπος, τελευταῖον καὶ ὑμῖν ἐπιθήσεται· τοῦτο οὐκ εἶπον, τῶν ποδῶν ὑμῶν.

686 Κωνσταντῖνος ὁ εὐλαβέστατος διάκονος εἶπεν· Ἐπειδὴ οὔτε οἱ ἀποσταλέντες ἐνταῦθά εἰσιν οὔτε ὁ πρεσβύτερος καὶ ἀρχιμανδρίτης Μαρτῖνος ἐνταῦθά ἐστιν, εἰ κελεύετε, παρέλθηι τοῦτο.

687 Ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Πατρίκιος, ὅστις ἅμα Πέτρωι πρὸς τὸν μονάζοντα ἀπῆλθεν, ἐνταῦθα εἶναι λέγεται. τί τοίνυν βούλεσθε; τοῦτον ἐρωτηθῆναι ἢ τὸν εὐλαβέστατον Μαρτῖνον;

688 Ἐλευσίνιος ὁ εὐλαβέστατος μονάζων καὶ διάκονος εἶπεν· Τοῦ ἀναγκαίου γένεσθε, τῶν ποδῶν ὑμῶν.

MBΦΛⁿ

1 τὴν] ΦʳΛⁿ om. MB 5/6 ἐξενοφωνήθην ΦΛⁿ ἐξεφωνήθη M διειλέχθη B 9 παρόντος Λⁿ 10 οὐκ MB om. ΦΛⁿ 13 ἐρωτητέντεσ M 20 καὶ Mᶜᵒʳʳ om. MB 20/21 καὶ — ἀνέγνω om. Λⁿ, pertinere uidentur ad ea quae d. 8. m. Apr. a. 449 Thalassio episcopo Caesareae praesidente gesta sunt, cf. p. 152, 33. 163, 26 24 ἐξσκέπτοροσ B 26 τῆς τρίτης πράξεως] actiones tertia usque ad sextam pro una numerantur, cf. p. 166, 35. 174, 39 28 εἶπεν BΦ συμπνεύσητέ M καὶ¹ om. Λⁿ 29 εἶπεν Φ 30 *et iterum idem Constantinus dixit* Λⁿ; malim scribere Κωνστάντιος cf. p. 152, 3/4 31 μαρτῖνοσ MBΛⁿ om. Φ 33 Πατρίκιος om. ΦᵃΛⁿ 35 ἢ om. Φᵃᶜ 36 γίνεσθε B γενέσθαι M

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 9/9/15 7:59 AM

689 Ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Μὴ ἄλλως τὰ ὑπομνήματα περιέχει ἤπερ ἡ ἀλήθεια ἔχει περὶ τούτου τοῦ μέρους; οὐ λέγετε;

690 Κωνσταντῖνος διάκονος καὶ μονάζων εἶπεν· Οὐχί, τῶν ποδῶν ὑμῶν, εἰς τὸ μέρος τοῦτο.

691 Ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Τὰ ἀκόλουθα ἀναγινωσκέσθω.
Καὶ διὰ τοῦ αὐτοῦ καθωσιωμένου ἐκσκέπτορος ἐκ τοῦ αὐτοῦ σχεδαρίου ἀνεγνώσθη

692 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Τί δὲ περιέχειν ὁ εὐλαβέστατος πρεσβύτερος καὶ ἀρχιμανδρίτης Μαρτῖνος τὸν τόμον ἔλεγεν; καὶ τὰ λοιπά p. 133, 23—24

693 Καὶ μετὰ τὸ ἀναγνωσθῆνσι Ἀέτιος διάκονος καὶ νοτάριος εἶπεν· Δεόμεθα τῆς παρούσης ἁγίας συνόδου καὶ τῆς ὑμετέρας μεγαλοπρεπείας καταξιῶσαι κελεῦσαι πεῦσιν προσενεχθῆναι τοῖς εὐλαβεστάτοις κληρικοῖς ὧν μνήμην πεποίηται ἡ παροῦσα τῶν ὑπομνημάτων ἀνάγνωσις, καὶ καταθέσθαι μή τι ἀμφιβάλλουσιν ἐπὶ τοῖς ἀνεγνωσμένοις καὶ τηνικαῦτα παρ' αὐτῶν κατατεθεῖσιν, τουτέστι Μάμαν τὸν εὐλαβέστατον πρεσβύτερον, Θεόφιλον Μέμνονα Ἰωάννην, Ἀνδρέαν καὶ Ἀθανάσιον τοὺς διακόνους.

694 Ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Μὴ ἀμφιβαλλόντων ἐκείνων ἡ παροῦσα ζήτησις πρόκειται; ἀλλὰ τῶι εὐλαβεστάτωι ἀνδρὶ μοναχῶι, οὗ καὶ οἱ ἄνθρωποι ἐν τῶι παρόντι ἵστανται. καὶ προσέθηκεν· Τὰ λοιπὰ ἀναγινωσκέσθω.
Καὶ διὰ τοῦ αὐτοῦ καθωσιωμένου ἐκσκέπτορος ἀνεγνώσθησαν

695 Ἡμέραι σαββάτου, ἥτις ἐστὶν εἰκὰς τοῦ Νοεμβρίου μηνός, καὶ τὰ λοιπά p. 135, 2

696 Καὶ ὅτε ἀνεγνώσθησαν, Κωνσταντῖνος ὁ διάκονος εἶπεν· Παρακαλοῦμεν ὥστε ἐρωτηθῆναι αὐτοὺς εἰ ταῦτα ἤκουσαν.

697 Ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Καὶ Θεόφιλος τῶν καταθέσεων αὐτοῦ δημοσιευθεισῶν εἰ ταύτας αὐτὸν ἀκηκοέναι ἢ εἰρηκέναι ἔγνω, εἴπηι.

698 Καὶ ὁπότε εἰς μέσον ἔστη Θεόφιλος ὁ εὐλαβέστατος πρεσβύτερος, εἶπεν· Ἀποσταλεὶς ἐγὼ καὶ ὁ πρεσβύτερος Μάμας παρὰ τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου καὶ τῆς ἁγίας συνόδου κατελάβομεν τὸ μοναστήριον τοῦ ἀρχιμανδρίτου Εὐτυχοῦς. καὶ πρῶτον μὲν τὰ ἀναγνωσθέντα ἀρτίως ἤρξατο λέγειν, ἔπειτα δὲ οὐκ ἐβουλόμεθα αὐτῶι συζητῆσαι, ὡς ἐπὶ τοῦ Χριστοῦ, ἠνάγκασεν ἡμᾶς καὶ οἰκείαι φωνῆι εἶπεν ὅτι ἀμήχανον τὸν Χριστὸν ἐμὲ εἰπεῖν ἐκ δύο φύσεων· οὔτε γὰρ φυσιολογῶ τὸν κύριόν μου. ταῦτα οὖν αὐτὰ τὰ ἀναγνωσθέντα ἐκ τοῦ στόματος τοῦ εὐλαβεστάτου ἀνδρὸς ἀκούσαντες κατεθέμεθα καὶ οὔτε προσθήκην τινὰ ἐποιησάμεθα οὔτε ὑφαίρεσιν. M VI 796 L IIII 266

699 Κωνσταντῖνος μοναχὸς εἶπεν· Ἄλλο οὐδὲν ἤκουσεν;

700 Ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Ἐκτὸς τούτων ὧν κατέθου, οὐδὲν ἄλλο ἤκουσας;

701 Θεόφιλος ὁ εὐλαβέστατος πρεσβύτερος εἶπεν· Ἔλεγεν ὅτι καὶ τῆι ἐκθέσει τῶν πατέρων ἀκολουθῶ. ταῦτα ἔλεγεν.

702 Ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν πρὸς τοὺς μοναχούς· Τί πλέον ἐπιζητεῖτε;

703 Κωνσταντῖνος διάκονος καὶ μοναχὸς εἶπεν· Ἀξιοῦμεν καὶ τὸν κύριν Μάμαν εἰπεῖν.

---

698 cf. supra 451

MBΦΛ[a]

2 οὐ λέγετε Φ λέγετε Λ[a] οὔ λέγοντοσ MB 6 ἐξσκέπτοροσ MB, corr. M 8 τὸν τόμον ἔλεγεν ὁ εὐλαβέστατοσ — μαρτῖνοσ B 14 Ἰωάννην τὸν πρεσβύτερον καὶ ἔκδικον ΦΛ[a] 18 ἐξσκέπτοροσ MB, corr. M 22 Καὶ om. ΦΛ[a] 27 ἔπειτα MBΦΛ[a], uitium est antiquissimum pro ἐπειδή 28 ἠνάγκασεν] *coegit autem* Λ[a] εἶπεν] *dicens* Λ[a] 32 διάκονοσ καὶ μοναχὸσ B

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 9/9/15 7:59 AM

704 Ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Ὁ εὐλαβέστατος ὡσαύτως Μάμας ἄτινα ἔγνω, κατάθηται.

705 Καὶ πρὶν ἢ κατάθηται, Ἐλευσίνιος διάκονος καὶ μονάζων εἶπεν· Αὐτὸς καθωμολόγησεν ὅτι ἔλεγε καὶ ταῖς ἐκθέσεσι τῶν πατέρων ἀκολουθεῖν, καὶ οὐκ ἔγκειται ἐν τοῖς ὑπομνήμασιν.

706 Ὁ μεγαλοπρεπέστατος πατρίκιος πρὸς Θεόφιλον εἶπεν· Διὰ τί ἐν τοῖς ὑπομνήμασιν οὐδαμῶς περιέχεται ὅπερ ὡς ἐρρέθη παρὰ Εὐτυχοῦς, ἐν τῇι σῇι καταθέσει μετὰ ταῦτα προσέθηκας;

707 Θεόφιλος ὁ εὐλαβέστατος πρεσβύτερος εἶπεν· Καὶ ἄλλα εἶπε, τῶν ποδῶν ὑμῶν, ἃ ἐπὶ μνήμης οὐ φέρω· ἃ δὲ φέρω ἐπὶ μνήμης, κατεθέμην.

708 Ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Διὰ τί τοῦτο τοῖς ὑπομνήμασιν τῶι τότε καιρῶι οὐδαμῶς ἐνέταξας;

709 Ἐλευσίνιος μονάζων εἶπεν· Καὶ μὴν ἐν τοῖς ἀνωτέρω εἶπεν ὅτι οὔτε προσθήκην ὧν εἶπεν, οὔτε ὑφαίρεσιν ἐποιήσαμεν.

710 Θεόφιλος πρεσβύτερος εἶπεν· Ἃ ἤκουσα ἐκ τοῦ στόματος αὐτοῦ τοῦ ἀρχιμανδρίτου, ταῦτα εἶπον· εἰ δὲ θέλουσιν ἵνα πλείονα εἴπω ⟨ἃ⟩ οὐκ ἤκουσα

711 Οὗ λέγοντος ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Μάμας ὁ πρεσβύτερος, καθὰ εἴρηται, κατάθηται.

712 Μάμας ὁ εὐλαβέστατος πρεσβύτερος εἶπεν· Ἀναγνωσθῆι, τῶν ποδῶν ὑμῶν, ἡ κατάθεσις ἡ τότε γενομένη, ἐπειδὴ ἐπελαθόμην.

713 Ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Αἱ φωναὶ αὐτοῦ ἐκ τῶν ὑπομνημάτων ἀναγνωσθῶσιν, ἵνα τούτων ἐπιγνωσθεισῶν ἄτινα αὐτὸν ἀκηκοέναι ἔγνω, εἴπηι.

M VI 797 Καὶ διὰ τοῦ αὐτοῦ καθωσιωμένου ἐκσκέπτορος ἀνεγνώσθησαν ἐκ τῶν ὑπομνημάτων αἱ φωναὶ αὐτοῦ

714 p. 136, 17 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Εἶπέ ἡμῖν τίνος ἕνεκεν, καὶ τὰ λοιπά

715 Καὶ μετὰ τὸ ἀναγνωσθῆναι Μάμας ὁ εὐλαβέστατος πρεσβύτερος εἶπεν· Οὕτως ἐστί, τῶν ποδῶν ὑμῶν· ταῦτα κατεθέμην ἃ ἀνέγνω, καὶ οὐδὲν πλέον κατεθέμην.

716 Κωνσταντῖνος διάκονος καὶ μονάζων εἶπεν· Λογίζομαι ὅτι ἐναντία ἐστὶν ἀλλήλων ἃ εἶπεν ὁ κύριος ὁ πρεσβύτερος ὡς ἀπὸ τῶν ἀναγνωσθέντων τῆς καταθέσεως Θεοφίλου καὶ Μάμα.

717 Ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Μὴ τὰ ὑπομνήματα ἄλλως περιέχουσιν;

718 L. IIII 267 Ἐλευσίνιος μονάζων εἶπεν· Οὐχί, τῶν ποδῶν ὑμῶν.

719 Ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Εἴ τι ἄλλο ἐστίν, ἀναγνωσθήτω.

Καὶ διὰ τοῦ αὐτοῦ καθωσιωμένου ἐκσκέπτορος ἀνεγνώσθη

Τετάρτη πρᾶξις

720 p. 137, 16—19 Συναχθείσης αὖθις τῆς ἁγίας καὶ μεγάλης συνόδου, προκειμένων τῶν ἁγίων καὶ φρικτῶν εὐαγγελίων καὶ προεδρεύοντος τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου ἡμῶν Φλαβιανοῦ ἐν τῶι σεκρέτωι τοῦ ἐπισκοπείου, τῆι ὁρισθείσηι προθεσμίαι, ἡμέραι δευτέραι, ἥτις ἐστὶν δευτέρα καὶ εἰκὰς τοῦ Νοεμβρίου μηνός, καὶ τὰ λοιπά

MBΦΛⁿ

3 *Eleusinus* Φ 4 ἀκολουθεῖ $\Phi^{cr}\Lambda^{n}$ 13 *Eleusinus* $\Phi\Lambda^{n}$ διάκονοσ καὶ μονάζων B 16 οὐκ ἤκουσα MB *quae non audiui ab eo* Φ *quam audiui* Λ^{n} 17 οὗ λέγοντος $\Phi\Lambda^{n}$ οὐ λέγω MB 23 ἐξσκέπτοροσ MB, corr. M 32 *Eleusinus* Φ 34 ἐξσκέπτοροσ MB, corr. M 35 τετάρτη πρᾶξισ $MB\Phi^{a}\Lambda^{n}$ et codex Acoemitanus quam adfert Rusticus, de numeratione cf. p. 164, 26, *ultima actio* Φ^{cr} 37 *uenerabilibus* Φ, cf. B 136, 17

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 9/9/15 7:59 AM

721 Καὶ μετὰ τὸ ἀναγνωσθῆναι ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Διαλαλιὰ p. 140, 10. 11
τέτακταί μου περιέχουσα πεῦσιν προσενεχθῆναι τῶι πρεσβυτέρωι Εὐτυχεῖ πῶς πιστεύει καὶ τί λέγει. ἕως τούτου εἶπον, προσέθηκαν δὲ ὃ μὴ εἴρηται, ὃ ἐστι καὶ ἀδιανόητον

Καὶ τότε πάλιν ἐρωτάσθω διὰ τί νῦν ταῦτα λέγων πρότερον ἄλλως ἐφρόνει

Καὶ προσέθηκεν· Πῶς τοῦτο ἐδυνάμην εἰπεῖν μηδὲν εἰρηκότος μηδέπω τοῦ εὐλα- 5
βεστάτου ἀρχιμανδρίτου Εὐτυχοῦς;

722 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος ταύτης τῆς ἐνδόξου πόλεως πρὸς τοὺς νοταρίους εἶπεν· Πῶς ἃ μὴ διελαλήθη παρὰ τοῦ μεγαλοπρεπεστάτου ἀνδρός, ἔγκειται τοῖς ὑπομνήμασιν;

723 Ἀέτιος ὁ εὐλαβέστατος διάκονος καὶ νοτάριος εἶπεν· Ἔχομέν τι περὶ τούτων εἰπεῖν. 10

724 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Τίς ὑμῖν ταῦτα ὑπηγόρευσεν; ἐγὼ εἶπον ὑμῖν προσθεῖναι ἢ ἀφ' ἑαυτῶν ἢ παρ' ἑτέρων ἀκούσαντες ταῦτα ἐποιήσατε;

725 Ἀέτιος διάκονος εἶπεν· Ἤδη γὰρ ὡς πεπεισμένη ἡ ἁγιωσύνη ὑμῶν ὅτι προσθήκη γέγονε, ταῦτα ἐρωτᾶι;

726 Ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Ἀναγνωσθήτω τὰ ἐξῆς. 15
Ὡσαύτως διὰ τοῦ αὐτοῦ καθωσιωμένου ἐκσκέπτορος ἀνεγνώσθη

727 Εὐσέβιος ἐπίσκοπος εἶπεν· Καθὼς προεῖπον, προκρίματός μοι μὴ γινομένου ἀπὸ p. 140, 12. 13
τῆς νῦν αὐτοῦ καταθέσεως, καὶ τὰ λοιπά

728 Καὶ μετὰ τὸ ἀναγνωσθῆναι Ἐλευσίνιος διάκονος εἶπεν· Κατὰ τάξιν οὐ κεῖται. M VI 800
πρότερον ἐπεδίδου τὸν λίβελλον ἔνθα ἡ πίστις τῶν τιη περιείχετο, καθὼς καὶ ἐν Ἐφέσωι 20
ἡ ἁγία σύνοδος ἐβεβαίωσεν, καὶ τοῦτον προκομίζων τὸν λίβελλον, οὐκ ἐδέξατο ὁ θεοφιλέστατος ἐπίσκοπος, καὶ τῆς μεγαλοπρεπείας ὑμῶν λεγούσης ὅτι ὀφείλει δεχθῆναι, οὐδὲ οὕτως ἐδέχθη.

729 Ὁ εὐλαβέστατος ἐπίσκοπος ταύτης τῆς ἐνδόξου πόλεως εἶπεν· Καὶ πόθεν τοῦτο δῆλον ὅτι τῶν τιη τὴν ἔκθεσιν ἐκεῖνος εἶχεν ὁ χάρτης; 25

730 Ἐλευσίνιος ὁ εὐλαβέστατος διάκονος εἶπεν· Ἔδει οὖν δεχθῆναι αὐτόν.

731 Εὐσέβιος ὁ εὐλαβέστατος ἐπίσκοπος τῆς Δορυλαίων πόλεως εἶπεν· Ἐνεύχομαι τὴν ἁγίαν καὶ ὁμοούσιον τριάδα τῆι μελλούσηι ἔσεσθαι οἰκουμενικῆι συνόδωι κατὰ θέσπισμα τῶν φιλοχρίστων ἡμῶν βασιλέων φυλαχθῆναι τὴν ὑπόθεσιν ταύτην, ὥστε ἐκεῖ μετὰ πάσης ἀκριβείας δειχθῆναι Εὐτυχῆ τὸν ἤδη καθηιρημένον ὡς αἱρετικόν, ὅτι 30
καὶ τὰ αἱρετικῶν ἐφρόνει καὶ φρονῶν οὐ παύεται.

732 Ἀέτιος ὁ εὐλαβέστατος διάκονος καὶ νοτάριος εἶπεν· Δεόμεθα τῆς ὑμετέρας μεγαλοπρεπείας καὶ τῆς παρούσης ἁγίας συνόδου

733 Οὗ λέγοντος ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Οὐδὲ ὁ θεοφιλέστατος καὶ ἁγιώτατος ἀρχιεπίσκοπος Φλαβιανὸς τοῦτο ἀμφιβάλλει ὅτι προκομίζοντος λίβελλον L IIII 230*
τοῦ ἀρχιμανδρίτου Εὐτυχοῦς δέξασθαι οὐκ ἐβουλήθη, ἀλλὰ δι' ἑαυτοῦ ἀποκρίνασθαι 36
αὐτὸν διελάλησεν.

734 Ὁ εὐλαβέστατος ἐπίσκοπος Σέλευκος εἶπεν· Προλαβὼν ὁ εὐλαβέστατος διάκονος

ΜΒΦΛ[a]

5 ἠδυνάμην B 16 ἐξσκέπτοροσ MB, corr. M 19 μοναχὸσ καὶ διάκονοσ B 20 τριακοσίων δεκαοκτὼ B καὶ om. B 21 προκομίζων] *offerente* Λ[a] 25 τριακοσίων δεκαοκτὼ B 26 λεχθῆναι M 27 δορυλλαίων MB, corr. M 31 τὰ τῶν B ἐφρόνει scripsi *et sapiebat* Φ φρονεῖ MB 35 ἀμφιβαλεῖ Φ[ac] προσκομίζοντος ΦΛ[a] 36 ἠβουλήθη B ἀποκρίνεσθαι B 37 τοῦτον B 38 *et praeueniens* Λ[a]

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 9/9/15 7:59 AM

Ἐλευσίνιος εἶπεν λίβελλον προσενηνοχέναι τῇι ἁγίαι συνόδωι τὸν εὐλαβέστατον ἀρχιμανδρίτην Εὐτυχῆ, ἐν ὧι ἔφασκε τὸ δόγμα τῆς πίστεως περιέχειν. ἐπειδὴ δὲ πρὸ ὀλίγων ἡμερῶν γράμματα τοῦ ἁγιωτάτου καὶ ὁσιωτάτου ἀρχιεπισκόπου τῆς Ῥωμαίων Λέοντος ἐνεφανίσθη ἡμῖν περιέχοντα ὡς ἡτιάσατο ὁ εὐλαβέστατος ἀρχιμανδρίτης Εὐτυχὴς καὶ ἐπεκαλέσατο ἐν τῶι καιρῶι τῆς ζητήσεως τὴν ἡμετέραν ἀκρόασιν διὰ τῆς τοῦ λιβέλλου δόσεως, πῶς νῦν ἐνιστάμενος καὶ λέγων περὶ τὴν πίστιν εἶναι τὸν λίβελλον ἐπὶ τοῦ Ῥώ-
M VI 801 μης ἁγιωτάτου ἐπισκόπου ἔκκλητον αὐτὸν ἀπεκάλεσεν; καὶ ἐντεῦθεν διδάχθητε ὅτι οὐ τοῖς αὐτοῖς ἐπιμένει ὁ εὐλαβέστατος ἀρχιμανδρίτης. καὶ ἀξιῶ τὴν ἐπιστολὴν προκομισθεῖσαν ἀναγινώσκεσθαι.

735 Ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Μετὰ τὸ τὴν σύνοδον παύσασθαι τῶν εὐλαβεστάτων ἐπισκόπων ἐπιδέδωκέ μοι ὁ εὐλαβέστατος Εὐτυχὴς ἴσον λιβέλλου ὃ ἔλεγε προσκεκομικέναι τῇι ἁγίαι συνόδωι.

Καὶ ἐν τῶι ἀναγινώσκειν ὁ καθωσιωμένος ἐκσκέπτωρ ὑπέζευξεν

736 Εὐτυχὴς πρεσβύτερος εἶπεν· Ἐγὼ οὐκ ἦλθον διαλεχθῆναι, ἀλλ' ἦλθον πεῖσαι τὴν ὁσιότητα ὑμῶν ὅπως φρονῶ. γέγραπται γὰρ ἐν τῶι χάρτηι τούτωι ὅπως φρονῶ, καὶ κελεύσατε αὐτὸν ἀναγνωσθῆναι.

Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Αὐτὸς ἀνάγνωθι.

Εὐτυχὴς πρεσβύτερος εἶπεν· Οὐ δύναμαι.

Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Διὰ τί; σὺ οὐκ ἐξέθου ἢ ἄλλου ἐστὶν ἡ ἔκθεσις; εἰ σή ἐστιν, ἀνάγνωθι αὐτός.

Εὐτυχὴς πρεσβύτερος εἶπεν· Ἐμὴ μέν ἐστιν ἡ ὑπαγορία, ἡ δὲ ὑπαγορία αὕτη ἐστὶ τῶν ἁγίων πατέρων.

Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Ποίων πατέρων; εἰπὲ διὰ σεαυτοῦ· τί χρείαν ἔχεις χάρτου;

Εὐτυχὴς πρεσβύτερος εἶπεν· Οὕτως πιστεύω· προσκυνῶ τὸν πατέρα μετὰ τοῦ υἱοῦ καὶ τὸν υἱὸν μετὰ τοῦ πατρὸς καὶ τὸ ἅγιον πνεῦμα μετὰ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ. ὁμολογῶ δὲ καὶ τὴν ἔνσαρκον αὐτοῦ παρουσίαν γεγενῆσθαι ἐκ τῆς ⟨σαρκὸς τῆς⟩ ἁγίας παρθένου καὶ ἐνανθρωπῆσαι αὐτὸν τελείως διὰ τὴν σωτηρίαν ἡμῶν. οὕτως ὁμολογῶ ἐπὶ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος καὶ τῆς ὑμετέρας ἁγιωσύνης.

737 Καὶ μετὰ τὸ ἀναγνωσθῆναι Ἐλευσίνιος διάκονος εἶπεν· ⟨Ὡς ἀπηιτήθη δι' ἑαυτοῦ τὴν πίστιν ὁμολογῆσαι, λέγει ὅτι ἑστὼς ἐνώπιον τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, ὃν προσεκύνησα καὶ προσκυνῶ ⟨καὶ προσκυνήσω⟩, ὅτι οὕτω φρονῶ ὡς οἱ πατέρες οἱ τιη οἱ ἐν Νικαίαι ἐθέσπισαν καὶ ἡ ἐν Εφέσωι ἐβεβαίωσεν ἁγία σύνοδος· καὶ ταῦτα ἐν τοῖς ὑπομνήμασιν οὐ κεῖται.

738 Ἀέτιος διάκονος καὶ νοτάριος εἶπεν· Ἀξιῶ τὴν ὑμετέραν ἁγιωσύνην καὶ τὴν ὑμετέραν μεγαλοπρέπειαν πεῦσιν προσενεχθῆναι τοῖς τότε παροῦσιν ἁγιωτάτοις ἐπισκόποις τοῖς καὶ διαλαλήσασιν ἅπερ προήγαγεν αὐτῶν ἡ γλῶσσα, καὶ ταῦτα τῇι οἰκείαι

---

7 ἔκκλητον] τὴν ἐπὶ σύνοδον παραίτησιν $M^{mg}B^{mg}$

2—5 est Leonis ep. 3

14—29 = supra 498—503. 505

MBΦ$Λ^{n}$

5 ἡμετέραν $Λ^{n}$ ὑμετέραν MBΦ 7 διδάχθητε MBΦ^{ac} *doceri debetis* $Φ^{r}$ οὐ om. cod. Acoemitanus Rustici 12 προκεκομικέναι B 13 ὁ αὐτός $Φ^{r}Λ^{n}$ ἐξσκέπτωρ MB 19 Διὰ — ἔκθεσις om. B 21 ὑπαγορία supra 502 ἐπαγορία M ἐπαγορεία B ὑπαγορεία B αὕτη MBΦ ἴση supra 502 23 δι' ἑαυτοῦ supra 503 27 σαρκὸς τῆς Φ et supra 505 om. MB 30 διάκονοσ καὶ μοναχὸσ B 31 ὅτι om. $Λ^{n}$ 32 καὶ προσκυνήσω Φ$Λ^{n}$ om. MB 33 τριακόσιοι δεκαοκτὼ B

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 9/9/15 7:59 AM

χειρὶ βεβαιώσασιν, εἴ γε ταῦτα νῦν παρ' αὐτῶν εἰρημένα τότε παρὰ τοῦ εὐλαβεστάτου Εὐτυχοῦς εἴρηνται καὶ εἴ γέ τι παρακεχάρακται τῶν ἐν τοῖς ὑπομνήμασιν ἐγκειμένων.

739 Βασίλειος ἐπίσκοπος εἶπεν· 'Ὡς ἐπ' ἀληθείας, ἐγὼ μνήμην τούτων ἀκριβῶς οὐ φέρω. L IIII 231*

740 Σέλευκος ἐπίσκοπος εἶπεν· Ἀναγνωσθήτωσάν μοι αἱ φωναὶ αἷς διηκονήσατο ὁ εὐλαβέστατος διάκονος Ἐλευσίνιος.

741 Καὶ ὁπότε ἀπὸ δέλτων αἱ φωναὶ Ἐλευσινίου τούτωι ἀνεγνώσθησαν, Σέλευκος ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· Οὔτε ἐγὼ ἐπιμέμνημαι τῶν τοιούτων ῥηθέντων παρὰ τοῦ εὐλαβεστάτου ἀρχιμανδρίτου Εὐτυχοῦς. M VI 804

742 Τρυφωνιανὸς ἐπίσκοπος εἶπεν· 'Ὡς ἐπ' ἀληθείας τοῦ θεοῦ, ὡς κεῖται εἰς τὰ ὑπομνήματα, οὕτως ἐλάλησεν ἐκεῖνος ὧδε.

743 Λογγῖνος ἐπίσκοπος εἶπεν· 'Ὡς τὰ ὑπομνήματα ἀνεγνώσθη καὶ περιέχει, οὕτω μέμνημαι κἀγὼ ὅτι ἐρρέθη παρὰ Εὐτυχοῦς τοῦ ἀρχιμανδρίτου. τὸ δὲ λέγειν ἄρτι τὸν εὐλαβέστατον Ἐλευσίνιον ὅτι εἶπεν 'ὡς οἱ τιη ἅγιοι πατέρες οἱ ἐν Νικαίαι καὶ οἱ ἐν Εφέσωι ἐβεβαίωσαν, οὕτως ἔχω', δείκνυται καὶ ἐκ τῶν τελευταίων ὅπου οὐκ ἠθέλησεν ὁμολογῆσαι τὸν κύριον ἡμῶν τὸν Χριστὸν ὁμοούσιον ἡμῖν κατὰ τὴν σάρκα γεγενῆσθαι. καὶ ὡς ἐπὶ τοῦ θεοῦ ταῦτα λέγω.

744 Μελίφθογγος ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· 'Ὡς ἐπὶ θεοῦ λέγω ὅτι οὐδὲν ἑτέρως εὗρον τῶν τότε πραχθέντων καὶ νῦν ἀναγνωσθέντων· περὶ δὲ τοῦ λέγειν τὸν διάκονον Ἐλευσίνιον ὅτι τοιάσδε ἔρρηξε φωνὰς ἐκεῖνος, οἶδεν ὁ τὰς καρδίας ἐμβατεύων, οὐκ ἤκουσα οὐδὲ μέμνημαι.

745 Ἰουλιανὸς ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· Καὶ πρὸ τῶν ἐμῶν λόγων ἐλέγχει τὴν ἀπιστίαν Εὐτυχοῦς τῶν ὑπομνημάτων ἡ πρᾶξις. ἡμεῖς γὰρ ταῦτα τὰ νῦν κατατεθέντα παρὰ Ἐλευσινίου τοῦ διακόνου ἀγνοοῦμεν· οὐδὲ γὰρ εἴρηταί τι τοιοῦτον παρὰ Εὐτυχοῦς.

746 Παῦλος ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· Ἐπ' ἀληθείας λέγω ὅτι ξενοφωνοῦμαι νῦν παρὰ Ἐλευσινίου ταῦτα ἀκούων. οἶδα δὲ τὰ ἐμφερόμενα ἐν τοῖς ὑπομνήμασιν ἀληθῆ εἶναι πάντα, καὶ οὔτε προσθήκη συλλαβῆς οὔτε ὑφαίρεσίς ἐστιν.

747 Εὐδόξιος ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· 'Ὡς ἐπὶ θεοῦ λέγω, ξενοφωνεῖ με τὰ παρὰ τοῦ εὐλαβεστάτου Ἐλευσινίου τοῦ διακόνου ἀρτίως ῥηθέντα. τότε γὰρ οὐκ ἐλαλήθη παρὰ τοῦ εὐλαβεστάτου ἀρχιμανδρίτου Εὐτυχοῦς, ἀλλὰ τὰ ἐγκείμενα ἐν τοῖς ὑπομνήμασιν.

748 Εὐστόχιος ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· 'Ὡς ἐπὶ θεοῦ, ἃ εἶπον οἱ πρὸ ἐμοῦ, ταῦτα κἀγὼ λέγω * * τὰ ἐν τοῖς ὑπομνήμασιν ἐγκείμενα.

749 Τιμόθεος ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· Ὅτι ἤκουσα λέγοντος αὐτοῦ ὅτι οὕτως φρονῶ ὡς οἱ πατέρες ἡμῶν, οἶδεν δὲ καὶ ἡ μεγαλοπρέπεια αὐτῶν, εἴτε ἄνω εἴτε κάτω, ὅτι ἤκουσα αὐτοῦ λέγοντος ὅτι οὕτω φρονῶ ὡς οἱ πατέρες ἡμῶν.

750 Οὐαλεριανὸς ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· Οὐδὲν ὧν εἶπεν ὁ διάκονος Ἐλευσίνιος, ἀκήκοα παρὰ Εὐτυχοῦς· ὁ θεὸς μάρτυς.

751 Σάβας ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· Μάρτυς ἐστὶν ὁ θεός, ὧι διδοῦμεν αὐτῶι ἐν ἡμέραι τῆς κρίσεως ἀπολογίαν, ὅτι τὰ κείμενα ἐν τοῖς ὑπομνήμασιν, ταῦτα ἐλάλησεν ὁ ἀρχιμανδρίτης. ἔκαμον δὲ ἐγὼ παρακαλῶν αὐτὸν καταθέσθαι ὁμοούσιον ἡμῖν καὶ οὐκ ἐδυνήθην πεῖσαι αὐτόν. M VI 805

MBΦ, Λ^{o} [usque ad 18]

6 ἐλευσίνιοσ ὁ μοναχόσ B 10 Τρυφωνιανός] alibi Τρύφων appellatur 14 τριακόσιοι δεκαοκτὼ B 22 ἐλέγξει Φ^{r} 34 lacunam signaui, *haec et ego dico quoniam illa tantum scio quae gestis inserta sunt* Φ 38 οὐαλλεριανόσ MB; non extat in catalogo 555 38/39 Οὐδὲν — μάρτυς] *haec et ego dico* Φ; adnotat Rusticus *alii non haec* 40 σάββασ B 42 ἔκαμα B 43 ἠδυνήθην B

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 9/9/15 7:59 AM

752 Σεκουνδῖνος ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· Ἐκτὸς ἐκείνων τῶν ἐν τοῖς ὑπομνήμασι γεγραμμένων οὐδὲν ἤκουσα οὐδὲ ἐρρέθη.

753 Αὐρήλιος ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· Κατὰ ταῦτα τὰ ἀναγνωσθέντα ἡμῖν πρώην ταῦτα ἐν τῶι καιρῶι παρὰ τοῦ ἀρχιμανδρίτου μεμνήμεθα εἰρῆσθαι.

754 Κωνσταντῖνος διάκονος εἶπεν· Παρακαλῶ τὴν ἁγίαν ὑμῶν σύνοδον τὸν κύριον
L IIII 234* τὸν ἐπίσκοπον [Βασίλειον] ἐρωτηθῆναι τί ἐστιν ὃ εἶπεν, ὅτε ὁ κύριος Εὐσέβιος ὁ ἐπίσκοπος κατεστασίασεν αὐτοῦ, καὶ ἐπετίμησεν. ὡς ἐπὶ κυρίου, τί ἐστιν ὃ εἶπεν; ἀνέστη λέγων ὅτι λιβέλλους κατ' αὐτοῦ ἔχω δοῦναι, καὶ ἐπετίμησεν αὐτῶι.

755 Ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Τέως ἀνέχου γενέσθαι τὴν ἀνάγνωσιν καὶ εἰ κατωτέρω ταῦτα ⟨μὴ⟩ περιέχονται, τότε ταῖς δικαιολογίαις χρῆσαι.

Καὶ διὰ τοῦ αὐτοῦ καθωσιωμένου ἐκσκέπτορος ἀνεγνώσθη

756 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Ὁμολογεῖς ὁμοούσιον τῶι πατρὶ κατὰ τὴν
p. 142, 1. 2 θεότητα καὶ ὁμοούσιον τῆι μητρὶ κατὰ τὴν ἀνθρωπότητα τὸν αὐτὸν ἕνα υἱόν; καὶ τὰ λοιπά

757 Καὶ μετὰ τὸ ἀναγνωσθῆναι Κωνσταντῖνος διάκονος εἶπεν· Ὅτε εἶπεν ὁ ἀρχιμαν-
p. 143, 11 δρίτης ὅτι μίαν φύσιν, ὁ κύριος ὁ ἐπίσκοπος οὕτως εἶπεν

758 Οὗ λέγοντος Ἐλευσίνιος διάκονος εἶπεν· Ὡς ἐπὶ τοῦ θεοῦ, ἀνεθεματίσθη τότε
cf. p. 144, 3 παρὰ τῆς θεοσεβείας ὑμῶν, ὅτι λέγει· ἀναστᾶσα ἡ ἁγία σύνοδος ἀνεθεμάτισεν αὐτόν;

759 Ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Τοιοῦτον τότε οὐδὲν ἐρρέθη.

760 Σέλευκος ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· Ἐγὼ οὐκ ἤκουσα.

761 Τιμόθεος ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· Οὐκ ἤκουσα.

762 Ἰουλιανὸς ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· Ἀληθῶς τοῦτο οὐδὲ ἐγὼ ἤκουσα.

763 Βασίλειος ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· Ὄντως, ἑταῖρε, τῆς γλώττης μου τοιοῦτόν τι οὐκ ἐξῆλθεν.

764 Μελίφθογγος ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· Ἐγὼ ὑβρίσθην κατὰ τὴν ὥραν παρά τινων ὡς ἀνάξιος ὢν τῆς συνόδου, ἐπειδὴ ἐπεβόησα ὑπέρθεσιν, καὶ οὐκ οἶδα.

765 Σάβας ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· Ἐπὶ ἀρχόντων ὅταν εἰσέλθηι μάρτυς εἰς μαρτυρίαν καὶ μὴ δυνηθῆι λαλῆσαι, νεύει εἰς τὴν κεφαλὴν αὐτοῦ καὶ ἔχει στέφανον τῶν μαρτύρων. πάντες οὖν ἡμεῖς ὑπεγράψαμεν διὰ χειρὸς καὶ ὡμολογήσαμεν ἐγγράφως· πῶς δυνάμεθα ἀρνήσασθαι;

766 Τρύφων ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· Ὡς ἅπαξ αὐτοῦ ἀσεβῆ λαλήσαντος ῥήματα καὶ παρὰ τὴν ἔκθεσιν τῶν ἁγίων πατέρων τῶν τιη καὶ τῆς ἐν Ἐφέσωι ἁγίας
M VI 808 συνόδου πάντες ἀνεθεμάτισαν αὐτὸν οἱ παρόντες κληρικοί.

767 Ἀέτιος διάκονος καὶ νοτάριος εἶπεν· Ἐν τοῖς τοιούτοις ἁγιωτάτοις συνεδρίοις συμβαίνει πολλάκις ἕνα τῶν παρόντων θεοφιλεστάτων ἐπισκόπων εἰπεῖν τι καὶ τὸ παρὰ τοῦ ἑνὸς λεγόμενον ὡς παρὰ πάντων ὁμοῦ ἐκφωνούμενον καὶ γράφεται καὶ νοεῖται. τοῦτο ἐξ ἀρχῆς παρηκολούθησεν· ἀμέλει ἑνὸς λέγοντος γράφομεν ἡ ἁγία σύνοδος εἶπεν. εἰ τοίνυν εὑρεθείη νῦν εἷς ἢ δεύτερος εἰπών, ὡς καὶ κατέθεντο οἱ θεοφιλέστατοι καὶ συνεφώνησαν καὶ ἐπεβόησεν τότε ὁ ἁγιώτατος κλῆρος, ἀξιοῦμεν μηδ' ὅλως τὴν φωνὴν ταύτην

MBΦ, Λ[n] [inde a 5]

3 αὐρίλιοσ M *Aurelianus* Φ[ac] 6 ἐπίσκοπον MBΦ[r]Λ[n] ἐπίσκοπον Βασίλειον Φ[ac] [quod ad rem attinet, recte, cf. infra 798] 8 *contra eos* Φ[a] καὶ] *et ita* Φ 10 μὴ ΦΛ[n] om. MB 11 ἐξσκέπτοροσ MB, corr. M 13 τῆι μητρὶ] ἡμῖν Φ 17 quid dixerit Flauianus, Constantinus non deposuit utpote ab Eleusinio interruptus ὁ διάκονοσ M 18 λέγει sc. τὰ ὑπομνήματα ἀνεθεμάτισαν M 20/21 Ἐγὼ — εἶπεν om. B 22 ἤκουσα om. Λ[n] 27 σάββασ B 29 μαρτύρων B Φ[cr]Λ[n] μαρτυριῶν M *testimonii* Φ[a] 32 τριακοσίων δεκαοκτὼ B

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 9/9/15 7:59 AM

ἐκβληθῆναι ἢ παρατρωθῆναι τῶν ὑπομνημάτων, ἐπειδήπερ φαίνονται πάντες οἱ ἁγιώτατοι ἐπίσκοποι ὑπογράψαντες καί

768 Οὗ λέγοντος ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Ἅτινα ἕκαστοι κατέθεντο, βέβαιά ἐστιν· ἃ ἡ ἀλήθεια περιέχει, οὐδαμῶς ἀμφιβάλλονται.

769 Ἀέτιος διάκονος καὶ νοτάριος εἶπεν· Ἀξιοῦμεν τὴν περὶ τούτου κατάθεσιν νῦν τοῦ θεοφιλεστάτου ἐπισκόπου Σάβα καὶ τοῦ θεοφιλεστάτου ἐπισκόπου Τρύφωνος φανερὰς γενέσθαι ἐπὶ τῆς ὑμετέρας ἁγιωσύνης καὶ Παύλου τοῦ θεοφιλεστάτου.

770 Ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Ἐγνωσμέναι εἰσὶν καὶ τοῖς ὑπομνήμασι περιέχονται, δι' ὅπερ τὰ λοιπὰ ἀναγινωσκέσθω. L IIII 235*

Ὡσαύτως τὰ λοιπὰ διὰ τοῦ αὐτοῦ καθωσιωμένου ἐκσκέπτορος ἀνεγνώσθη

771 Καὶ μετὰ ταῦτα ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Λεγέτω ἡ ἁγία σύνοδος τίνος ἐστὶν ἄξιος ὁ παρὼν μήτε ὁμολογῶν σαφῶς τὴν ὀρθὴν πίστιν μήτε συνθέσθαι τῶι φρονήματι τῆς παρούσης ἁγίας συνόδου βουλόμενος, ἀλλ' ἐπιμένων τῆι διεστραμμένηι καὶ πονηρᾶι αὐτοῦ κακονοίαι. p. 144, 4—17

Ὁ θεοφιλέστατος ἐπίσκοπος Σέλευκος εἶπεν· Ἄξιος μέν ἐστιν οὗτος καθαιρέσεως, ἐν δὲ τῆι φιλανθρωπίαι μόνον κεῖται τῆς ὑμετέρας ἁγιωσύνης.

Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Εἰ μὲν ὁμολογήσας τὸ οἰκεῖον πταῖσμα ἐπείσθη ἀναθεματίσαι τὸ ἴδιον δόγμα καὶ συνθέσθαι ἡμῖν ἑπομένοις ταῖς ἐκθέσεσι τῶν ἁγίων πατέρων, εἰκότως ἠξιοῦτο συγγνώμης· ἐπειδὴ δὲ ἐπιμένει τῆι ἑαυτοῦ παρανομίαι, ὑποπεσεῖται τοῖς τῶν κανόνων ἐπιτιμίοις.

Εὐτυχὴς πρεσβύτερος εἶπεν· Λέγω μὲν ταῦτα, ἐπειδὴ καὶ ὑμεῖς νῦν ἐκελεύσατε, οὐκ ἀναθεματίζω δέ. ὃ γὰρ λέγω, μετὰ ἀληθείας λέγω.

Ὁ μεγαλοπρεπέστατος ἀπὸ ἐπάρχων καὶ ὑπάτων καὶ πατρίκιος Φλωρέντιος εἶπεν· Δύο φύσεις λέγεις καὶ ὁμοούσιον ἡμῖν; εἰπέ

772 Καὶ μετὰ τὸ ἀναγνωσθῆναι ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Τὸ εἰπέ οὐχ ὡς διαλαλῶν εἶπον, ἀλλὰ προτρέπων αὐτὸν τοῖς λεγομένοις παρὰ τῆς συνόδου συνθέσθαι.

773 Κωνσταντῖνος διάκονος εἶπεν· Ἐπὶ τίσι καθηιρέθη ὁ ἀρχιμανδρίτης; οὐχὶ ἐπειδὴ ὁ θεοφιλέστατος καὶ ἁγιώτατος ἡμῶν ἀρχιεπίσκοπος ἠρώτα αὐτόν· λέγεις δύο φύσεις μετὰ τὴν ἕνωσιν καὶ ἀναθεματίζεις τοὺς μὴ λέγοντας, καὶ ἐπειδὴ οὐ κατεδέξατο ἀναθεματίσαι, ἐπὶ τούτωι καθηιρέθη; καὶ αἱ φωναὶ αὗται οὐ κεῖνται ἐν τοῖς ὑπομνήμασιν.

774 Ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Τὰ ὑπόλοιπα ἀναγινωσκέσθω, ἵνα εἴ μηδαμῶς ἐν τοῖς ὑπομνήμασι περιέχονται ἅτινα Κωνσταντῖνος διεβεβαιώσατο, γνῶμεν. M VI 809

Ὡσαύτως διὰ τοῦ αὐτοῦ καθωσιωμένου ἐκσκέπτορος ἀνεγνώσθη

775 Εὐτυχὴς πρεσβύτερος εἶπεν· Ἐγὼ ἀνέγνων τοῦ μακαρίου Κυρίλλου καὶ τῶν ἁγίων πατέρων καὶ τοῦ ἁγίου Ἀθανασίου ὅτι ἐκ δύο μὲν φύσεων εἶπον πρὸ τῆς ἑνώσεως, μετὰ δὲ τὴν ἕνωσιν καὶ τὴν σάρκωσιν οὐκέτι δύο φύσεις εἶπον, ἀλλὰ μίαν. p. 144, 18—23

Ὁ μεγαλοπρεπέστατος ἀπὸ ἐπάρχων καὶ ὑπάτων καὶ πατρίκιος Φλωρέντιος εἶπεν· Ὁμολογεῖς δύο φύσεις μετὰ τὴν ἕνωσιν; εἰπέ. ἐὰν μὴ εἴπηις, καθαιρῆι

11—24 = supra 537—541

35—39 = supra 542. 543

MBΦΛ[a]

1 ἐπειδήπερ] *quoniam autem* Λ[a] 2 καί om. Λ[a]Φ 6 σάββα B 10 ἐξσκέπτοροσ MB, corr. M 28 *religiosissimus archimandritis* Λ[a] 29 θεοσεβέστατος legit Rusticus 31 αὗται MB αὐταί Λ[a] αὐτοῦ Φ[r] om. Φ[ac] 34 ἐξσκέπτοροσ MB

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 9/9/15 7:59 AM

776 Ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Τὸ εἰπέ, ἐὰν μὴ εἴπῃς, καθαιρῆι οὐχ ὡς διαλαλῶν εἶπον, ἀλλ' ἐπειδὴ ἑώρων ἐπικειμένους αὐτῶι πάντας, προέτρεπον αὐτὸν συνθέσθαι.

Ὡ σαύτως διὰ τοῦ αὐτοῦ καθωσιωμένου ἐκσκέπτορος ἀνεγνώσθη

777 Εὐτυχὴς πρεσβύτερος εἶπεν· Ἀναγνωσθῆναι κελεύσατε τὰ τοῦ ἁγίου Ἀθανασίου, ἵνα γνῶτε ὅτι οὐδεν τοιοῦτον λέγει. 5
p. 144, 24—27
p. 145, 5. 6

Ὁ θεοφιλέστατος ἐπίσκοπος Βασίλειος εἶπεν· Ἐὰν μὴ δύο φύσεις καὶ μετὰ τὴν ἕνωσιν εἴπῃς, σύγκρασιν λέγεις καὶ σύγχυσιν.

Ὁ μεγαλοπρεπέστατος καὶ ἐνδοξότατος πατρίκιος Φλωρέντιος εἶπεν· Ὁ μὴ λέγων ἐκ δύο φύσεων καὶ δύο φύσεις οὐ πιστεύει ὀρθῶς 10

778 Ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Ταύτην τὴν διαλαλιὰν οὐκ εἶπον· οὐδὲ γὰρ ἐγὼ οἷός τε ἦμην δογματίζειν.
L IIII 238*

779 Ὁ θεοσεβέστατος ἐπίσκοπος ταύτης τῆς ἐνδόξου πόλεως εἶπεν· Ἃ λέγεται μὴ λελέχθαι, ἔγκειται δὲ τοῖς ὑπομνήμασι, σημειώσασθε ὑμεῖς οἱ νοτάριοι· πρὸς γὰρ ὑμᾶς ἐστιν ὁ ἀγὼν περὶ τούτου καὶ εὐκαίρως ζητηθήσεται μετὰ ἀκριβείας ταῦτα. 15

780 Ἀέτιος διάκονος καὶ νοτάριος εἶπεν· Νῦν ἐστι καιρὸς καὶ τοῦ ἐλεγχθῆναι καὶ τοῦ μὴ ἐλεγχθῆναι· ἐνταῦθα γάρ εἰσιν οἱ παρόντες ἁγιώτατοι ἐπίσκοποι οἱ καὶ ἀκηκόοτες καὶ τὸ αὐτῶν μέγεθος πολλάκις ἐπήκουσε τῶν ὑπομνημάτων καὶ τῶν ἐν ἀξιώμασι κορυφαίων, παρόντων πολλῶν καὶ ἁγιωτάτων ἐπισκόπων, καὶ οὐδέποτε ἡ αὐτῶν μεγαλοπρέπεια οὔτε ἐμέμψατο ⟨οὔτε⟩ 20

781 Οὔ λέγοντος ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Πότε γὰρ ἀνεγνώσθη μοι τὰ ὑπομνήματα, ἵνα καὶ μέμψωμαι; ἀμέλει ζητήσαντί μοι αὐτὰ ἀναγνωσθῆναι οὐκ ἔδοσαν.

782 Ἀέτιος διάκονος καὶ νοτάριος εἶπεν· Οὐδεὶς ἡμῖν εἶπεν.

Ὡσαύτως διὰ τοῦ αὐτοῦ καθωσιωμένου ἐκσκέπτορος ἀνεγνώσθη

783 Καὶ ἀναστᾶσα ἡ σύνοδος πᾶσα ἐπεβόα· Μετὰ ἀνάγκης οὐκ ἔνι πίστις. πολλὰ 25
M VI 812 τὰ ἔτη τῶν βασιλέων . τῶν ὀρθοδόξων βασιλέων πολλὰ τὰ ἔτη. ἡ πίστις ὑμῶν
p. 145, 7—9 ἀεὶ νικᾶι. οὐ συντίθεται· τί αὐτὸν πείθεις;

784 Καὶ μετὰ τὸ ἀναγνωσθῆναι Κωνσταντῖνος ὁ εὐλαβέστατος διάκονος εἶπεν· Ταῦτα ἡ σύνοδος εἶπεν;

785 Ἀέτιος ὁ εὐλαβέστατος διάκονος εἶπεν· Ἐρωτηθῆι ἡ ἁγία σύνοδος. 30

786 Σάβας ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· Ἐπὶ ὅλων τῶν ἐκκλησιαστικῶν ἀνεθεματίσθη, καὶ εἰς μίαν γωνίαν οὐκ ἔσχεν ἀνάθεμα;

787 Τρύφων ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· Κἀγὼ ταῦτα λέγω.

788 Κωνσταντῖνος ὁ εὐλαβέστατος διάκονος εἶπεν· Δι' ὃ καθηιρέθη ὁ ἀρχιμανδρίτης, οὐ κεῖται ἡ φωνή. ὁ γὰρ κύριος ὁ ἀρχιεπίσκοπος ἡμῶν ἀπήιτησεν αὐτὸν λέγων 35 ὅτι εἰπὲ δύο φύσεις μετὰ τὴν ἕνωσιν καὶ ἀναθεμάτισον τοὺς μὴ λέγοντας. καὶ ἐπειδὴ

5—10 = supra 544. 545. 549
25—27 = supra 550

MBΦΛⁿ

1 εἰπέ] εἰπεῖν B 4 ἐξσκέπτοροσ MB; corr. M 7 καὶ om. BΦᵃ, supra 545 13 λέγετε M, corr. M 15 *oportune postea* Λⁿ 18/19 τῶν — κορυφαίων pendet a τὸ μέγεθος 20 οὔτε² Φʳ Λⁿ om. MBΦᵃᶜ 24 ἐξσκέπτοροσ MB, corr. M 25 πᾶσα om. ΦΛⁿ, cf. notam Rustici quam ad 550 attuli μετὰ om. Λⁿ 26 ὑμῶν Φ ἡμῶν MB, cf. p. 145, 9 31 σάββασ B ἐκκλησιαστικῶν MB ἐκκλησιῶν ΦΛⁿ 34 διάκονοσ καὶ μοναχὸσ B

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 9/9/15 7:59 AM

οὐκ ἠθέλησεν ἀναθεματίσαι λέγων ὅτι οὐαί μοί ἐστιν, ἐὰν ἀναθεματίσω τοὺς ἁγίους πατέρας, καὶ τότε ἐποίησεν τὴν καθαίρεσιν αὐτοῦ. καὶ αὕτη ἡ φωνὴ οὐ κεῖται, καὶ τότε ἀνεγνώσθη. καὶ ὁ κύριος Βασίλειος ὁ ἐπίσκοπος, ὅτε ἠρωτήθη ὁ ἀρχιμανδρίτης ὅτι λέγεις p. 144, 24. 25
δύο φύσεις; καὶ εἶπεν ὅτι ὁμολογῶ μίαν φύσιν, ἐπήγαγεν εὐθὺς ὁ κύριος Βασίλειος ὁ ἐπίσκοπος λέγων ὅτι καὶ τοῦ ἁγίου Ἀθανασίου φέρεται μίαν φύσιν τοῦ λόγου σεσαρκωμένου· καὶ οὔτε τοῦτο κεῖται. καὶ ἄλλο· ὁ κύριος ὁ ἐπίσκοπος Σέλευκος διελάλησεν ὅτι ἀναγνωσθῆι ἡμῶν ἡ κατάθεσις καὶ εἰ συντίθεται ταύταις ὁ ἀρχιμανδρίτης [ταῖς καταθέσεσιν ἡμῶν], καὶ κελεύσαντος τοῦ κυρίου τοῦ ἀρχιεπισκόπου ἡμῶν ἀναγνωσθῆναι ἀνέστη ἀμέσως ὁ θεοσεβέστατος πρεσβύτερος Ἀστέριος καὶ τὴν καθαίρεσιν ἀνέγνω· καὶ τοῦτο οὐ κεῖται.

789 Ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Πλησίον μου καθεζόμενος ὁ θεοφιλέστατος Σέλευκος εἶπεν· κελεύσηι ἡ ἁγιότης ὑμῶν τὰς καταθέσεις πάντων ἡμῶν τὰς γενομένας περὶ τῆς πίστεως ἀναγνωσθῆναι καὶ εἰπεῖν τὸν εὐλαβέστατον Εὐτυχῆ εἰ συντίθεται ταύταις. τούτων ῥηθέντων εἶπον τῶι ἁγιωτάτωι ἀρχιεπισκόπωι Φλαβιανῶι κελεῦσαι γενέσθαι τὴν ἀνάγνωσιν, καὶ διελάλησεν ἀναγνωσθῆναι τὰς καταθέσεις. καὶ τούτων οὐδὲν L IIII 239*
γέγονεν, ἀλλὰ ἀμέσως ἡ καθαίρεσις ἀνεγνώσθη. ἴσασι δὲ τοῦτο καὶ οἱ θεοφιλέστατοι ἐπίσκοποι Σέλευκος καὶ Βασίλειος.

790 Σέλευκος ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· Μέμνημαι διαλαλήσας.

791 Βασίλειος ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· Ὡς ἐπ' ἀληθείας λέγω ὡς ἐπὶ λέξεως μὲν τῶν ὑπ' ἐμοῦ διαλαληθέντων μεμνῆσθαι οὐ δύναμαι, καὶ γὰρ καὶ πολὺς χρόνος παρῆλθε· M VI 813
τοῦ δὲ κυρίου καὶ τῆς συνόδου λεγούσης· λέγεις γνωρίζεσθαι δύο φύσεις ἐν τῶι κυρίωι, θεότητα καὶ ἀνθρωπότητα; τοῦ δὲ ἀρχιμανδρίτου λέγοντος· ἐκ δύο μὲν φύσεων λέγω τὸν κύριον Ἰησοῦν Χριστὸν πρὸ τῆς ἑνώσεως, μετὰ δὲ τὴν ἕνωσιν μίαν λέγω φύσιν, οἶδα ἐγὼ τοιαύτην τινὰ διάνοιαν ἐπαγαγών· ἐὰν ἐκ δύο φύσεων εἴπηις πρὸ τῆς ἑνώσεως, μετὰ δὲ τὴν ἕνωσιν μίαν εἴπηις ἀπολελυμένως, σύγχυσιν ὑποπτεύηι λέγων καὶ σύγκρασιν. μετὰ δὲ ταῦτα οἶδα ἀποστραφεὶς καὶ εἰπὼν καὶ τὴν διάνοιάν μου οἵαν οἶδεν ὁ Χριστός. καὶ γὰρ καὶ τὸν κύριον τὸν ἀρχιεπίσκοπον ἐκμειλισσόμενος καὶ αὐτὸν τὸν ἀρχιμανδρίτην ἕλκων ἠρέμα εἰς τὸ συνθέσθαι ἡμῖν λέγω· ἐὰν δὲ εἴπηις τοῦ θεοῦ λόγου μίαν φύσιν σεσαρκωμένην καὶ ἐνανθρωπήσασαν, τὰ αὐτὰ λέγεις καὶ ἡμῖν καὶ τοῖς πατράσι. δῆλον γὰρ ὅτι ἄλλο μέν τί ἐστιν ἡ θεότης ἡ ἐκ τοῦ πατρός, ἄλλο δέ τι ἡ σὰρξ ἡ ἐκ τῆς μητρός, ἣι ἐσάρκωσεν ἑαυτόν.

792 Ἀέτιος διάκονος καὶ νοτάριος εἶπεν· Πολλὰ πολλάκις ὡς ἐν διαλέξει κοινῆι καὶ ἐν συμβουλῆς μέρει ἐν σύνοδωι παρὰ τῶν παρόντων ἁγιωτάτων ἐπισκόπων λέγεται, ἃ οὐκ ἐπιτρέπουσι γράφεσθαι.

793 Λογγῖνος ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· Καὶ ἐρρέθη καὶ κεῖται καὶ ἀνεγνώσθη καὶ πάλιν ἀναγνωσθῆι.

794 Κωνσταντῖνος ὁ εὐλαβέστατος διάκονος εἶπεν· Ὅτι ἡ καθαίρεσις ἡ ἀναγνωσθεῖσα οὐκ αὐτῆι τῆι ὥραι ὑπηγορεύθη, ἀλλὰ πρὸ τοῦ ἐλθεῖν τὸν ἀρχιμανδρίτην εἰς τὸ ἐπισκοπεῖον ὑπηγορεύθη,

3—6 cf. supra 546
22—31 cf. supra 542. 545. 546

MBΦΛ^{a}

2 καὶ^{1} MBΦ^{a}Λ^{a} om. Φ^{cr} 2/3 ἀνεγνώσθη sc. ἡ καθαίρεσις 3 ὅτε MBΦ^{a}Λ^{a} *nouit quando* Φ^{cr} 4 ἐπήγαγεν] *et subiunxit* Φ^{cr} κύριοσ M 5 τοῦ — ἀθανασίου MΛ^{a} τῶ ἁγίω ἀθανασίω B 5/6 *incarnatam* Λ^{a} 7 *relegantur confessiones* Φ *legantur interlocutiones* Λ^{a} ταύταις om. Λ^{a} 8 ταῖσ καταθέσεσιν ἡμῶν MB om. ΦΛ^{a} 12 κελεύσει MB 20 καὶ^{3} om. B 23 μίαν — φύσιν] *non dico duas naturas* Λ^{a} 25 εἴπησ MΦ φύσιν B 26 οἵαν om. Λ^{a} 35/36 καὶ πάλιν ἀναγνωσθῆ M^{corr}Λ^{a} καὶ πάλιν ἀνεγνώσθη MB om. Φ

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 9/9/15 7:59 AM

795 Ἀέτιος διάκονος εἶπεν· Ἀξιοῦμεν καταθέσθαι αὐτὸν πόθεν ταῦτα μεμάθηκεν, καὶ δεῖξαι εἰ ἀληθῆ ταῦτα τυγχάνει.

796 Σέλευκος ἐπίσκοπος εἶπεν· Εἰ μὲν ἔμελλε κανονικῶν νῦν ἐξέτασις γίνεσθαι, ἥρμοζε τῶι εὐλαβεστάτωι διακόνωι Κωνσταντίνωι αἰτιᾶσθαι τὴν ἀπόφασιν καὶ ἡμᾶς καὶ τοὺς νοταρίους καὶ περὶ ταύτης ἡμᾶς συνίστασθαι· ἐπειδὴ δὲ νῦν περὶ τοῦ παραπεποιῆσθαι τὰ ὑπομνήματα ἐκέλευσεν ὁ εὐσεβέστατος ἡμῶν βασιλεὺς τὴν ἐξέτασιν γενέσθαι, νομίζω νῦν μὴ ἁρμόζειν τὸν περὶ τούτου λόγον.

797 Κωνσταντῖνος διάκονος εἶπεν· Ταῦτα ἐν τοῖς ὑπομνήμασιν οὐκ ἔγκειται.

798 Βασίλειος ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· Ἐπειδὴ ἀνέμνησέ με ὁ εὐλαβέστατος Κωνσταντῖνος τῆς φωνῆς, ἵνα μὴ ἀρνούμενος βλάψω τὴν ἐμὴν ψυχήν, διὰ τοῦτο εἶπον ταῦτα, εἶπον δὲ ταῦτα διαλεγόμενος τότε, οὐκ ἀποφαινόμενος. ἀμέλει ὁ εὐλαβέστατος ἐπίσκοπος Εὐσέβιος ὑπονοήσας ὅτι τῶι ἀρχιμανδρίτηι ὑποβάλλω, ἔδοξε τραχύνεσθαι εἰς ἐμέ.

799 Ἀέτιος ὁ εὐλαβέστατος διάκονος καὶ νοτάριος εἶπεν· Ἀξιοῦμεν καὶ τὸν ἁγιώτατον
M VI 816 ἐπίσκοπον Σέλευκον εἰπεῖν εἴ γε ἃ γέ φησι τότε διαλελαλῆκέναι τοῦ ὅτι δεῖν ἀναγνωσθῆναι ἐκθέσεις, ταῦτα ἐπὶ τῶι ἐγκεῖσθαι τοῖς ὑπομνήμασιν ἐρρέθη.

800 Ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Ἔλεγε γὰρ ὁ θεοφιλέστατος ἐπίσκοπος
L. IIII 242* Σέλευκος ἢ ἄλλος τις ποῖα μὲν ἔδει γράφεσθαι, ποῖα δὲ μή;

801 Ἀέτιος ὁ εὐλαβέστατος διάκονος καὶ νοτάριος εἶπεν· Ἐπειδὴ ἀκηκόαμεν παρ' αὐτοῦ εἰρῆσθαι, καταξιώσατε

802 Οὗ λέγοντος Κωνσταντῖνος ὁ εὐλαβέστατος διάκονος εἶπεν· Ὁ ἀρχιμανδρίτης ἤκουσεν καὶ ὑμεῖς οὐκ ἠκούσατε;

803 Σέλευκος ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· Μέμνημαι εἰρηκὼς τοιαύτας φωνάς, συνέβη δὲ τοῦ ταράχου μεγαλυνθέντος μὴ γραφῆναί μου πάντως τὴν φωνήν.

804 Κωνσταντῖνος ὁ εὐλαβέστατος διάκονος εἶπεν· Καὶ ἤδη εἶπον ὅτι ὁ κύριος ὁ ἀρχιεπίσκοπος ἡμῶν ἠρώτησε τὸν ἀρχιμανδρίτην· λέγεις δύο φύσεις μετὰ τὴν ἕνωσιν καὶ ἀναθεματίζεις τοὺς μὴ λέγοντας δύο φύσεις; καὶ αὕτη ἡ λέξις οὐ κεῖται ἐν τοῖς ὑπομνήμασιν. ἐπὶ τούτοις γὰρ καθηιρέθη διὰ τὸ μὴ ἀναθεματίσαι αὐτόν.

805 Ὁ εὐλαβέστατος ἐπίσκοπος Θαλάσσιος εἶπεν· Ἐπήκουσεν ἡ ἁγία συνόδος τῶν εἰρημένων παρὰ Κωνσταντίνου τοῦ εὐλαβεστάτου διάκονου· καταξιώσει οὖν ἡ ἁγία συνόδος, εἴπερ ἐπίσταται ταῦτα εἰρηκέναι τὸν θεοφιλέστατον καὶ ἁγιώτατον Φλαβιανόν, φανερὰ ποιῆσαι τῆι ἁγίαι συνόδωι.

806 Βασίλειος ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· Ὅτι Εὐσέβιος ὁ εὐλαβέστατος ἐπίσκοπος καὶ ἅπαξ καὶ δεύτερον ἠιτιάσατο αὐτὸν μὴ λέγειν δύο φύσεις μετὰ τὴν ἕνωσιν, μεμνήμεθα. καὶ ὅτι αὐτὸς εἶπεν· ἀκούεις τί σοι λέγει καὶ τί σοι προτείνει; τί λέγεις πρὸς ταῦτα; μεμνήμεθα.

807 Κωνσταντῖνος διάκονος εἶπεν· Αὐτὰς οὖν τὰς λέξεις παρὰ τοῦ δεσπότου ἡμῶν τοῦ ἀρχιεπισκόπου οὐκ ἤκουσας;

808 Βασίλειος ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· Ἐν τοῖς προοιμίοις τῆς τετάρτης ἐξετάσεως καὶ ὁ εὐλαβέστατος ἐπίσκοπος Εὐσέβιος εἶπε πρὸς τὸν μονάζοντα· λέγεις δύο φύσεις ⟨μετὰ τὴν ἕνωσιν⟩ καὶ ὁμοούσιον ἡμῖν τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὸ κατὰ σάρκα; καὶ ⟨εἶπεν·⟩ ἀναθεματίζεις τοὺς μὴ οὕτω φρονοῦντας; καὶ ὁ κύριος ὁ

39—175, 1/2 cf. supra 490. 488

MBΦΛⁿ

3 κανονικῶν M *scripturarum canonicarum* Λⁿ κανονικῶσ BΦ 7 μὴ om. B τούτων B 11 ταῦτα om. Λⁿ ταῦτα om. Φ τότε om. Λⁿ 18 γραφῆναι B 32 ἁγίαι] *praesenti* Λⁿ 41 μετὰ τὴν ἕνωσιν ΦΛⁿ om. MB 42 καὶ εἶπεν ΦΛⁿ καὶ B om. M

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 9/9/15 7:59 AM

ἀρχιεπίσκοπος προσήγαγεν αὐτῶι πεῦσιν εἰ λέγει ταῦτα ἅπερ προτείνει αὐτῶι ὁ κατήγορος. πρὸς δὲ τοῖς τελευταίοις θορύβου πολλοῦ γενομένου ὄντως οὐ διαμέμνημαι εἰ τοιαύτην ὁ θεοφιλέστατος ἀρχιεπίσκοπος ἐποιήσατο πρότασιν.

809 Κωνσταντῖνος ὁ εὐλαβέστατος διάκονος εἶπεν· Τοῦτο, παρακαλῶ τὴν ἁγίαν σύνοδον ὑμῶν, ἠκούσατε παρὰ τοῦ δεσπότου μου τοῦ ἀρχιεπισκόπου λέγοντος ὅτι λέγεις δύο φύσεις

810 Οὗ λέγοντος Σέλευκος ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· Ὅτι μὲν ἐρρέθη ἐν τῆι ἐξετάσει, εἴτε παρὰ τοῦ θεοφιλεστάτου Εὐσεβίου εἴτε παρὰ τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου ἀρχιεπισκόπου ἡμῶν Φλαβιανοῦ ἐρρέθη, κατὰ ποῖον δὲ καιρὸν ἐρρέθη τὸ τῶν φύσεων, οὐκ ἐπιμέμνημαι. M VI 817

811 Ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Μέμνημαι κἀγὼ τότε ῥηθέντος τούτου παρὰ τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου ὅτι ὁμολογεῖς δύο φύσεις καὶ μετὰ τὴν ἕνωσιν; καὶ ἀπεκρίνατο ἐκεῖνος λέγων· ἐπειδὴ βιβλίον ἐστὶ τοῦ ἁγίου Ἀθανασίου καὶ ἄλλων ἐπισκόπων μὴ ἔχον οὕτως, ὁκνῶ εἰπεῖν.

812 Ἀέτιος ὁ εὐλαβέστατος διάκονος καὶ νοτάριος εἶπεν· Ἡ τοιαύτη πεῦσις παρὰ τοῦ θεοφιλεστάτου Εὐσεβίου τῆς πράξεως γενομένης κατατέθειται.

813 Τιμόθεος ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· Οὕτως ἤκουσα, ὡς καὶ ὁ θεοφιλέστατος ἐπίσκοπος Βασίλειος εἶπεν.

814 Ἰουλιανὸς ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· Θορύβου ὄντος οὐ μέμνημαι παρὰ τίνος ἐλέχθη. L IIII 243*

815 Εὐδόξιος ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· Μέμνημαι τὸν μὲν εὐλαβέστατον ἐπίσκοπον Εὐσέβιον εἰρηκότα, τὸν δὲ ἁγιώτατον ἀρχιεπίσκοπον συναινοῦντα καὶ ἀναγκάζοντα τὸν ἀρχιμανδρίτην συνθέσθαι τοῖς λεγομένοις παρὰ Εὐσεβίου.

816 Λογγῖνος ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· Ὡς ἐπὶ θεοῦ λέγω ὅτι τούτων οὐ δύναμαι μνημονεύειν, ἐπειδὴ σύγχυσις λοιπὸν ἐγένετο καὶ τὰ πραττόμενα ἔμπροσθεν ἡμεῖς οἱ ὀπίσω ὄντες οὐκ ἐγινώσκομεν.

817 Σάβας ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· Μέμνημαι ἐγὼ ὅτι εἶπον πρὸς αὐτὸν τὸν ἀρχιμανδρίτην· εἰ μὴ ὁμολογήσεις ἐκ δύο φύσεων ἕνα μονογενῆ, ἢ τὴν οἰκονομίαν ἀρνῆι ἢ τὴν θεότητα.

818 Κωνσταντῖνος ὁ εὐλαβέστατος διάκονος εἶπεν· Ἀναγινωσκομένης τῆς καθαιρέσεως ἐπεκαλέσατο τὴν ἁγίαν σύνοδον τοῦ ἁγιωτάτου ἐπισκόπου Ῥώμης καὶ Ἀλεξανδρείας καὶ Ἱεροσολύμων καὶ Θεσσαλονίκης· καὶ ταῦτα οὐ κεῖται ἐν τοῖς ὑπομνήμασιν.

819 Ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Θορύβου γενομένου καὶ διαλυθείσης τῆς συνόδου εἶπεν πράως ἐμοὶ ἐπικαλούμενος τὴν Ῥώμης καὶ τὴν Αἰγύπτου καὶ τὴν Ἱεροσολύμων σύνοδον. κἀγὼ νομίσας ἄτοπον εἶναι διαλαθεῖν τοῦτο τὸν ἁγιώτατον καὶ θεοφιλέστατον Φλαβιανόν, ἀπελθὼν εἶπον αὐτῶι.

820 Βασίλειος ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· Ὡς ἐπ' ἀληθείας λέγω ὅτι τοῦ συνεδρίου συγκροτουμένου καὶ προτεινομένου τούτου παρὰ τῆς συνόδου τοῦ εἰπεῖν αὐτὸν ἀχωρίστους καὶ ἀσυγχύτους τὰς δύο φύσεις ἐπὶ τοῦ ἑνὸς κυρίου καὶ μετὰ τὴν ἕνωσιν οἶδα ὅτι εἶπεν ὁ εὐλαβέστατος ἀρχιμανδρίτης Εὐτυχὴς ὅτι ἐὰν κελεύσωσί μοι οἱ πατέρες ὅ τε Ῥώμης καὶ ὁ Ἀλεξανδρείας, λέγω τοῦτο αὐτό. τοῦτο δὲ οὐκ ἐκκαλούμενος εἶπεν, ἀλλὰ λέγων· οὐ τολμῶ εἰπεῖν διὰ τοὺς πατέρας. M VI 820

11—14 cf. supra 542—544
15—16 cf. supra 490

BMΦ, Λ[a] [usque ad 1/2 ὁ κατήγορος]
1 λέγη M 14 ἔχων M 21 μὲν BΦ om. M 27 σάββασ B 28 ὁμολογεῖσ B
35 λαθεῖν M 36 ἀνελθών Φ 40 κελεύωσί M

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 9/9/15 7:59 AM

821 Ὁ ἁγιώτατος ἐπίσκοπος ταύτης τῆς ἐνδόξου πόλεως εἶπεν· Ἐγὼ οὐκ ἤκουσα παρ' ἐκείνου, ἀλλὰ παρὰ τοῦ μεγαλοπρεπεστάτου καὶ ἐνδοξοτάτου ἀπὸ ὑπάτων καὶ πατρικίου, ἀπελθόντος μου εἰς τὸ ἀνώγεων ὁσπίτιν μετὰ τὸ λυθῆναι τὴν σύνοδον.

822 Ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Εἰ ἔγνωσαν ἐκκαλούμενον τὸν εὐλαβέστατον ἄνδρα τὸν μοναχὸν οἱ λοιποὶ ἁγιώτατοι ἐπίσκοποι, εἴπωσιν.

823 Ἰουλιανὸς ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· Ὡς ἐπὶ θεοῦ, τοιοῦτόν τι παρὰ Εὐτυχοῦς τοῦ μοναχοῦ οὐκ ἤκουσα ἐν τῷι συνεδρίωι.

824 Σέλευκος ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· Τοῦ συνεδρίου ὄντος καὶ τῆς ἐξετάσεως γινομένης οὐδὲν τοιοῦτον ἔγνωμεν λελέχθαι παρὰ τοῦ ἀρχιμανδρίτου Εὐτυχοῦς περὶ ἐκκλήτου· παρὰ τῶν εὐλαβεστάτων ἐπισκόπων ἐρρέθη καὶ ἡμεῖς τὰ αὐτὰ κατατιθέμεθα.

Ὡσαύτως διὰ τοῦ αὐτοῦ καθωσιωμένου ἐκσκέπτορος ἀνεγνώσθη

825 Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· Διὰ πάντων πεφώραται Εὐτυχὴς ὁ πάλαι πρεσβύτερος καὶ ἀρχιμανδρίτης ἔκ τε τῶν ἤδη πεπραγμένων καὶ τῶν οἰκείων αὐτοῦ νῦν καταθέσεων τὴν Βαλεντίνου καὶ Ἀπολιναρίου κακοδοξίαν νοσῶν καὶ ταῖς ἐκείνων δυσφημίαις ἀμεταθέτως ἀκολουθῶν, ὅς γε οὐδὲ τὴν ἡμετέραν αἰδεσθεὶς παραίνεσίν τε καὶ διδασκαλίαν συνθέσθαι τοῖς ὀρθοῖς δόγμασιν κατεδέξατο· ὅθεν ἐπιδακρύσαντες καὶ στενάξαντες
L IIII 246* ἐπὶ τῆι παντελεῖ ἀπωλείαι αὐτοῦ ὡρίσαμεν διὰ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ ὑπ' αὐτοῦ βλασφημηθέντος ἀλλότριον αὐτὸν εἶναι παντὸς ἱερατικοῦ τάγματος καὶ τῆς πρὸς ἡμᾶς κοινωνίας καὶ τοῦ προίστασθαι μοναστηρίου, εἰδότων ἐκείνων τῶν μετὰ ταῦτα διαλεγομένων ἢ συντυγχανόντων αὐτῶι ὡς ὑπεύθυνοι ἔσονται καὶ αὐτοὶ τῶι τῆς ἀκοινωνησίας ἐπιτιμίωι ὡς μὴ ἀποστάντες τῆς πρὸς αὐτὸν ὁμιλίας.

ὑπογραφαί

Φλαβιανὸς ἐπίσκοπος Κωνσταντινουπόλεως Ῥώμης ὁρίσας ὑπέγραψα
καὶ οἱ λοιποὶ ἐπίσκοποι ὑπέγραψαν καὶ ἀρχιμανδρῖται

826 Ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶπεν· Σύμπαντα ἀνενεχθῶσιν εἰς γνῶσιν τῆς βασιλικῆς φιλανθρωπίας.

827 Ἀέτιος ὁ εὐλαβέστατος διάκονος καὶ νοτάριος εἶπεν· Μέχρι τοῦ παρόντος συνεστημεν ἑαυτοῖς ἐφ' οἷς ἐδυνάμεθα, καὶ ὅτι ἀναγνώσεως πολλάκις γινομένης οὐδεὶς ἡμῖν
M VI 821 ἐμέμψατο· ἐπεὶ δὴ δὲ πρὸ πολλοῦ χρόνου τῶν χαρτῶν πρότερον παρ' ἡμῖν ὄντων Ἀστέριος ὁ σὺν ἡμῖν πρεσβύτερος καὶ νοτάριος συνὼν ἡμῖν καὶ συμπράττων κατελθὼν τοὺς χάρτας ἡμῶν ἅπαντας ἀφείλετο τά τε σχεδάρια τά τε αὐθεντικὰ καί ἐστι διμηνιαῖος ἢ καὶ τριμηνιαῖος χρόνος καὶ οὐδὲν τοῦτων ἔχομεν, τοῦ λοιποῦ εἴ κινεῖταί τι ἢ πράττεται ἢ λέγεται περὶ τῆς παρούσης ὑποθέσεως, ἡμᾶς ἐλευθερωθῆναι

828 Φλαύιος Φλωρέντιος ὁ μεγαλοπρεπέστατος καὶ ἐνδοξότατος ἀπὸ ἐπάρχων πόλεως καὶ ἀπὸ ἐπάρχων πραιτωρίων τὸ ἕκτον καὶ ἀπὸ ὑπάτων καὶ πατρίκιος εἶπεν· Καὶ τοῦτο τοῖς ὑπομνήμασιν τοῖς παροῦσιν ἐγκείσθω, ἵνα εἰς γνῶσιν τῆς βασιλικῆς αὐθεντίας ἔλθηι.

13—23 = supra 551. 552

MBΦ

3 πατρικίου φλωρεντίου B ἀνελθόντος Φ ἀνώγαιον ὁσπίτιν M ἀνώγεων οἴκημα B *superiora domus* Φ^{ac} *hospitium superiora domus* Φ^{r} 9 γενομένης M 11 ἐξσκέπτοροσ MB, corr. M 19 προίστασθαι ὅλωσ B ἐκείνων MB *illud* Φ 28 γενομένης B

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 9/9/15 7:59 AM

829 Ὑπατείας Φλαυίου Πρωτογένους τοῦ λαμπροτάτου καὶ τοῦ δηλωθησομένου [ὑπάτου] πρὸ πέντε Καλανδῶν Μαίων, ἐν Κωνσταντινουπόλει, θείαι κελεύσει διαγινώσκοντος Μαρτιαλίου τοῦ μεγαλοπρεπεστάτου κόμητος καὶ μαγίστρου τῶν θείων ὀφφικίων, παρόντος Καρτερίου τοῦ περιβλέπτου κόμητος καὶ προξίμου τοῦ θείου σκρινίου τῶν λιβέλλων καὶ τῶν θείων κογνιτιόνων, εἰσελθόντων Μακεδονίου τοῦ περιβλέπτου τριβούνου νοταρίου καὶ ῥεφερενδαρίου καὶ Μάγνου τοῦ καθωσιωμένου σιλεντιαρίου μετὰ Κωνσταντίνου τοῦ εὐλαβεστάτου μοναχοῦ καὶ διακόνου, d. 27. m. Apr. a. 449

830 Κωνσταντῖνος ὁ εὐλαβέστατος εἶπεν· Δεήσεις ἐπιδέδωκεν Εὐτυχὴς ὁ εὐλαβέστατος ἀρχιμανδρίτης τῶι εὐσεβεστάτωι ἡμῶν δεσπότηι φανερὰ περιεχούσας καὶ ταύταις ἡ εὐσέβεια αὐτῶν ὑπεσημήνατο, ὑπεδέξατο δὲ αὐτὰς ὁ περίβλεπτος τριβοῦνος καὶ ῥεφερενδάριος. ἀξιῶ ὥστε ταῦτα αὐτὰ καταθέσθαι αὐτὸν καὶ τὰς δεήσεις ἀναγνῶναι καὶ τὰ δόξαντα τῆι εὐσεβείαι αὐτῶν δῆλα γενέσθαι.

831 Φλαύιος Ἀρεοβίνδας Μαρτιάλιος ὁ μεγαλοπρεπέστατος κόμες καὶ μάγιστρος τῶν θείων ὀφφικίων εἶπεν· Ἅτινα ὥρισεν ἡ φιλανθρωπία ἡ βασιλική, διὰ τοῦ περιβλέπτου τριβούνου καὶ νοταρίου ταῖς ἡμετέραις διανοίαις γνωρισθῶσιν.

832 Μακεδόνιος τριβοῦνος νοτάριος καὶ ῥεφερενδάριος εἶπεν· Εὐτυχὴς ὁ εὐλαβέστατος ἀρχιμανδρίτης προσενεχθεισῶν δεήσεων τῆι βασιλικῆι θειότητι φανερά τινα ἐδίδαξε καὶ κελεῦσαι κατηξίωσεν ἡ γαληνότης αὐτῶν ἐν τῶι δικαστηρίωι τῆς ὑμετέρας μεγαλοπρεπείας τῶν δεήσεων ἀναγνωσθεισῶν Μάγνον τὸν καθωσιωμένον σιλεντιάριον καταθέσθαι τὰ ἃ ἐν τῆι αὐτῆι δίκηι παρακολουθήσαντα γινώσκει. M VI 824 L IIII 255*

833 Ὁ μεγαλοπρεπέστατος κόμης καὶ μάγιστρος τῶν θείων ὀφφικίων εἶπεν· Αἱ δεήσεις καὶ δὴ αἱ προσενεχθεῖσαι τοῖς ἀηττήτοις βασιλεῦσι παρὰ Εὐτυχοῦς τοῦ εὐλαβεστάτου πρεσβυτέρου ὑποδεχθεῖσαι ἀναγινωσκέσθωσαν.

Καὶ διὰ Εὐηθίου τοῦ καθωσιωμένου ἐκσκέπτορος τοῦ θείου σκρινίου τῶν λιβέλλων καὶ τῶν θείων κογνιτιόνων ἀνεγνώσθησαν

834 Τοῖς εὐσεβέσι καὶ πιστοτάτοις καὶ φιλοχρίστοις βασιλεῦσιν ἡμῶν Φλαυίοις Θεοδοσίωι καὶ Οὐαλεντινιανῶι τοῖς αἰωνίοις αὐγούστοις παρὰ Εὐτυχοῦς ἀρχιμανδρίτου. Ἡ ὑμετέρα εὐσέβεια ἄνωθεν καὶ ἐξ ἀρχῆς οὐκ ἀγνοήσασα τὴν περὶ τὴν ὀρθοδοξίαν καθαράν μου καὶ ἀνεπίληπτον πίστιν, συκοφαντίας μοι πλακείσης παρὰ Εὐσεβίου ἐπισκόπου Δορυλαίων ὡς μὴ φρονοῦντι ὀρθὰ καὶ ἐπιβουλῆς μελετωμένης, κατηξίωσε θεσπίσαι εἰσιόντος μου εἰς τὸ συνέδριον τὸν θαυμασιώτατον ὑμῶν σιλεντιάριον Μάγνον συνεῖναί μοι ἀσφαλείας ἕνεκα, ὃς ἀπελθὼν εἰς τὸ ἐπισκοπεῖον καὶ μηνύσας τὴν παρουσίαν μου φανερὰ ἀκήκοε παρὰ τοῦ θεοσεβεστάτου ἐπισκόπου Φλαβιανοῦ περὶ τῆς καθαιρέσεώς μου καὶ εἶδεν. δέομαι τοίνυν τῆς ὑμετέρας γαληνότητος καταξιῶσαι θεσπίσαι ἐφ' οὗ ἂν παραστaίη τῆι ὑμετέραι εὐσεβείαι, τὸν αὐτὸν θαυμασιώτατον σιλεντιάριον Μάγνον καταθέσθαι ἐγγράφως μετὰ τῆς ἀληθείας ἅπερ ἀκήκοεν, ὡς προέφην, καὶ εἶδεν. καὶ τούτου

829—849 in concilio Epheseno lecta sunt non hoc loco, sed post Basilii Seleucique paenitentias Eutyche postulante cf. 865

13 κόμες] κατὰ Ῥωμαίαν διάλεκτον οὕτως λέγεται M^{mg}

MBΦ

1 ὑπατείας om. M, corr. M^{mg} 1/2 ὑπάτου MB om. Φ 4 πρωξίμου B 6 σελεντιαρίου B 8 εὐλαβέστατοσ MΦ εὐλαβέστατοσ μοναχὸσ καὶ διάκονοσ B 13 *Arioυindas* Φ ἀρεόβινδοσ MB cf. p. 179, 7 15 *tribunum notarium et referendarium* Φ ἡμετέραισ Φ ὑμετέραισ MB 16 *Macedonius uir spectabilis* Φ 20 τὰ om. B 22 αἱ om. M 23 πρεσβυτέρου MΦ ἀρχιμανδρίτου B 24 ἐξσκέπτοροσ MB, corr. M 26 δέησισ εὐτυχοῦσ inscr. M, in textu B 27 οὐαλλεντινιανῶ M 30 δορυλλαίων MB, corr. M

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 9/9/15 7:59 AM

τυχὼν τὰς συνήθεις εὐχὰς ἀναπέμψω τῶι θεῶι ὑπὲρ τῆς ὑμετέρας σωτηρίας διὰ παντός, εὐσεβέστατοι καὶ φιλόχριστοι βασιλεῖς.

835 Ὁ μεγαλοπρεπέστατος κόμης καὶ μάγιστρος τῶν θείων ὀφφικίων εἶπεν· Ἡ θεία καὶ δὴ ὑποσημείωσις ἀναγινωσκέσθω.

Καὶ διὰ τοῦ αὐτοῦ καθωσιωμένου ἐκσκέπτορος ἀνεγνώσθη

836 Κατάθηται ὁ καθωσιωμένος Μάγνος σιλεντιάριος παρὰ τῶι μεγαλοπρεπεστάτωι μαγίστρωι τῶν [θείων] ὀφφικίων πάντα ἃ ἐν τούτωι τῶι πράγματι παρακολουθήσαντα ἔγνω.

837 Ὁ μεγαλοπρεπέστατος κόμες καὶ μάγιστρος τῶν θείων ὀφφικίων εἶπεν· Ἐπάναγκές
M VI 825 ἐστιν ἅτινα προσέταξεν ἡ φιλανθρωπία ἡ βασιλική, πέρατι [νῦν] παραδοθῆναι· ὅθεν ὁ καθωσιωμένος σιλεντιάριος Μάγνος ἅτινα ἔγνω, κατὰ τὴν θείαν κέλευσιν κατάθηται.

838 Μάγνος ὁ καθωσιωμένος σιλεντιάριος εἶπεν· Πολλάκις ἐπέμφθην παρὰ τοῦ θειοτάτου καὶ εὐσεβεστάτου ἡμῶν δεσπότου πρὸς τὸν ἀρχιεπίσκοπον Φλαβιανὸν περὶ τοῦ παραγενέσθαι τὸν μεγαλοπρεπέστατον καὶ ἐνδοξότατον ἀπὸ ἐπάρχων καὶ ὑπάτων καὶ πατρίκιον Φλωρέντιον ἐν τῆι μελλούσηι γενέσθαι συνόδωι ἐν τῶι ἐπισκοπείωι τῆσδε τῆς βασιλευούσης πόλεως καὶ ἀνεβάλετο ὁ ἀρχιεπίσκοπος λέγων· οὐ χρεία σκυλῆναι ἐνταῦθα τὸν αὐτὸν μεγαλοπρεπέστατον ἀπὸ ἐπάρχων καὶ ὑπάτων καὶ πατρίκιον Φλωρέντιον· καὶ γὰρ ἤδη τύπος ἐδόθη περὶ τούτου καὶ καθηιρέθη Εὐτυχὴς ὁ μονάζων, ἐπειδὴ δεύτερον ἐκλήθη καὶ οὐχ ὑπήκουσεν. τέλος οὖν προσήνεγκάν μοι χάρτην τινὰ περιέχοντα τὴν καθαίρεσιν αὐτοῦ.

839 Ὁ μεγαλοπρεπέστατος κόμης καὶ μάγιστρος τῶν θείων ὀφφικίων εἶπεν· Μάγνου
L IIII 250* τοῦ καθωσιωμένου σιλεντιαρίου ἡ κατάθεσις ἐγκείσθω τοῖς δημοσίοις ὑπομνήμασιν.

840 Κωνσταντῖνος μονάζων καὶ διάκονος εἶπεν· Ἀξιῶ καὶ τοῦτο ὥστε καταθέσθαι τὸν κύριν τὸν σιλεντιάριον Μάγνον ὅτι πρὸ τῆς σύνοδου ἡ καθαίρεσις γεγένηται.

841 Ὁ μεγαλοπρεπέστατος κόμης καὶ μάγιστρος τῶν θείων ὀφφικίων εἶπεν· Ἅτινα ἐπίσταται, κατάθηται.

842 Μάγνος ὁ καθωσιωμένος σιλεντιάριος εἶπεν· Καὶ ἤδη εἶπον ὅτι πρὸ τῆς συνόδου ὑπέδειξέ μοι τὴν καθαίρεσιν Εὐτυχοῦς.

843 Ὁ μεγαλοπρεπέστατος κόμες καὶ μάγιστρος τῶν θείων ὀφφικίων εἶπεν· Καὶ αὕτη ἡ κατάθεσις τοῖς ὑπομνήμασιν ἐμφερέσθω.

844 Κωνσταντῖνος μονάζων καὶ διάκονος εἶπεν· Ἀξιῶ καὶ τοῦτο ὥστε τὸν περίβλεπτον τριβοῦνον καὶ ῥεφερενδάριον καταθέσθαι ἅπερ ἤκουσεν παρὰ τοῦ εὐλαβεστάτου πρεσβυτέρου καὶ νοταρίου Ἀστερίου.

845 Ὁ μεγαλοπρεπέστατος κόμης καὶ μάγιστρος τῶν θείων ὀφφικίων εἶπεν· Εἰ καὶ τὰ μάλιστα οὐ περιέχεται ταῖς δεήσεσι τοῦτο τὸ μέρος τῆς αἰτήσεως, ὅμως ἰδίαι προαιρέσει, εἰ βουληθείη, ὁ περίβλεπτος τριβοῦνος καὶ ῥεφερενδάριος κατάθηται ὅπερ ἔγνω.

846 Μακεδόνιος ὁ περίβλεπτος τριβοῦνος νοτάριος καὶ ῥεφερενδάριος εἶπεν· Πρώην ὁ θειότατος καὶ εὐσεβέστατος ἡμῶν βασιλεὺς ἐκέλευσε συναχθῆναι τούς τε ἐπισκόπους καὶ τὸν τὰ πάντα μεγαλοπρεπέστατον καὶ ἐνδοξότατον ἀπὸ ἐπάρχων καὶ ὑπάτων καὶ πατρίκιον Φλωρέντιον, δεήσεις ἐπιδεδωκότος τοῦ εὐλαβεστάτου ἀρχιμανδρίτου Εὐτυχοῦς καὶ αἰτιωμένου τὴν γεγενημένην πρᾶξιν ἅτε δὴ ἐναλλαγεῖσαν παρὰ τῶν νοταρίων κατὰ

MBΦ

5 ἐξσκέπτοροσ MB 7 θείων om. Φ 9 κόμησ B 10 νῦν om. BΦ 17 αὐτὸν om. B 28 *ostenderunt* Φ 29 κόμησ B 38 νοταρίων M 41 εὐλαβεστάτου καὶ M

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 9/9/15 7:59 AM

κακουργίαν καὶ φανερὰ παρηκολούθησεν ἐν τῇι γενομένηι συνόδωι. ἀναχωροῦντι δέ μοι ἀπηντᾶτο Ἀστέριος ὁ πρεσβύτερος καί νοτάριος ἐνορκῶν με ἀκοῦσαι παρ' αὐτοῦ ἅπερ ἤθελε λέγειν. ἠιτιάσατο δὲ τὸν εὐλαβέστατον Ἀβράμιον καὶ τοὺς νοταρίους ὡς ἐναλλάξαντας ἐν τοῖς ὑπομνήμασι κεφάλαια φανερὰ καὶ ὅτι αὐτὸς ἀνάγκην ἔχει ὑφο- M VI 828
ρώμενος τὴν τοιαύτην κακουργίαν ἐκείνους μὲν διδάξαι τὰ τοιαῦτα τετολμηκότας, παρὰ γνώμην δὲ αὐτοῦ.

847 Φλαύιος Ἀρεοβίνδας Μαρτιάλιος ὁ μεγαλοπρεπέστατος κόμης καὶ μάγιστρος τῶν θείων ὀφφικίων εἶπεν· Αὕτη ὁμοίως ἡ κατάθεσις τοῖς ὑπομνήμασιν ἐμφερέσθω. ἐκδοθήτω.

848 Φλαύιος Καρτέριος ὁ λαμπρὸς κόμης καὶ πρόξιμος τοῦ θείου σκρινίου τῶν λιβέλλων καὶ τῶν θείων κογνιτιόνων τὰ ὑπομνήματα ἐκδοθῆναι ἐκέλευσα.

849 Φλαύιος Εὐήθιος ὁ καθωσιωμένος ἐκσκέπτωρ τοῦ θείου σκρινίου τῶν λιβέλλων καὶ τῶν θείων κογνιτιόνων τὰ ὑπομνήματα ἐξέδωκα.

850 [Καὶ ἀναγνωσθέντων τῶν ὑπομνημάτων] Βασίλειος ἐπίσκοπος Σελευκείας Ἰσαυρίας εἶπεν· Συμφέρομαι τῇι πίστει τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίαι καὶ τῶν ἐν Ἐφέσωι ἐκείνην πάλιν βεβαιωσάντων καὶ τοὺς τἀναντία φρονοῦντας κατά τι ἢ τοῖς ἐν Νικαίαι ἢ ἐν Ἐφέσωι τετυπωμένοις ἀποστρέφομαι, ἀναθεματίζων τοὺς διαιροῦντας μετὰ τὴν L IIII 251*
ἕνωσιν εἰς δύο φύσεις ἢ ὑποστάσεις ἢ πρόσωπα τὸν ἕνα κύριον ἡμῶν Ἰησοῦν Χριστόν, μεμφόμενος καὶ ἐπιλαμβανόμενος τῆς φωνῆς τῆς ἐμαυτοῦ, ἣν περὶ τῶν δύο φύσεων 545
κατεθέμην ἐν τοῖς πραχθεῖσιν ὑπομνήμασιν ἐν τῇι βασιλευούσηι πόλει, καὶ προσκυνῶ τὴν μίαν φύσιν τῆς θεότητος τοῦ μονογενοῦς ἐνανθρωπήσαντος καὶ σεσαρκωμένου.

851 Καὶ ἐν τῶι ἀναγινώσκεσθαι ταῦτα Βασίλειος ὁ εὐλαβέστατος ἐπίσκοπος Σελευκείας Ἰσαυρίας εἶπεν· Οὐ κέχρημαι ἄλλοις μάρτυσι, διὰ τοῦ μακαρίου Ἰωάννου τοῦ ἐπισκόπου παρεκάλεσα διορθώσασθαι τὴν διαλαλιάν μου, δεδοικὼς σὲ τὸν εὐλαβέστατον Διόσκορον καὶ φοβούμενος. πολλὴν γὰρ ἐπέστησας ἡμῖν τότε ἀνάγκην, τὴν μὲν ἔξωθεν [, τὴν δὲ ἔνδοθεν], τὴν δὲ ἀπὸ τῆς γλώσσης σου. εἰσέτρεχον γὰρ εἰς τὴν ἐκκλησίαν στρατιῶται μετὰ ὅπλων καὶ εἱστήκεισαν οἱ μονάζοντες οἱ μετὰ Βαρσουμᾶ καὶ οἱ παραβαλανεῖς καὶ πλῆθος ἄλλο πολύ. ὁρκωθῶσι πάντες, ὁρκωθῆι Αὐξόνιος ὁ ἐπίσκοπος ὁ Αἰγύπτιος, ὁρκωθῆι Ἀθανάσιος, εἰ μὴ ἔλεγον 'μή, κύρι, μὴ καθέλῃς τὴν ὑπόληψιν πάσης τῆς οἰκουμένης'.

852 Διόσκορος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Ἐγώ σε ἠνάγκασα;

853 Βασίλειος ὁ εὐλαβέστατος ἐπίσκοπος Σελευκείας Ἰσαυρίας εἶπεν· Εἰς τοιαύτην M VI 829
μιαιφονίαν σὺ ἡμᾶς ἠνάγκασας ταῖς ἀπειλαῖς τοῦ πολλοῦ πλήθους μετὰ τὴν καθαίρεσιν τοῦ μακαρίου Φλαβιανοῦ. στοχάσασθε ποίαν ἐπήγαγε βίαν τότε τὴν ἐξουσίαν πάντων εἰληφὼς τῶν πραγμάτων καὶ τῆς κρίσεως, ὁπότε νῦν πᾶσαν τὴν σύνοδον θορυβεῖ. ἐξ αὐτῶν εἰσι περιλελειμμένοι, καὶ θορυβεῖ πάντας ἡμᾶς.

854 Διόσκορος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Καὶ ὁ ἐμὸς νοτάριος

---

12 ἕως ὧδε τὰ ἐν κωνσταντινουπόλει ἐπὶ φλαβιανοῦ $M^{mg}B^{mg}$
14 ἐν ἐφέσω ἐπὶ διοσκόρου M^{mg} in textu B
22 ἐν χαλκηδόνι $M^{mg}B^{mg}$
850 adfert Timotheus Aelurus f. 57a

MBΦ
3 ἀβραάμιον M 5 ἐκείνου M 7 ἀρεοβίνδασ M ἀρεόβινδοσ B cf. p. 177, 13
10 *Carterius* Φ καρτερίσιοσ MB πρώξιμοσ B 11 *praecepi* Φ ἐκέλευσεν MB 12 ἐξσκέπτωρ MB
14 Καὶ — ὑπομνημάτων om. Φ 16 ἐκείνην MBΦa *eadem* Φcr ἐναντία B ἢ om. B
26 τὴν δὲ ἔνδοθεν M^{mg}B om. MΦ 28 *ausonius* Φa 29 μὴ καθέλῃσ MB *laesisti* Φa *soluisti* Φcr

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 9/9/15 7:59 AM

Δημητριανὸς ἕτοιμός ἐστιν ἀποδεῖξαι ὅτι παρεκλήθη παρὰ σοῦ λάθρα ὥστε μεταποιήσασθαι τὴν φωνήν.

855 Βασίλειος ὁ εὐλαβέστατος ἐπίσκοπος Σελευκείας Ἰσαυρίας εἶπεν· Ἀξιῶ τὴν μεγαλοπρέπειαν ὑμῶν, ἕκαστον τῶν μητροπολιτῶν ἐπισκόπων, καὶ τὸν Λυκαονίας καὶ Φρυγίας καὶ Πέργης καὶ τοὺς ἄλλους, ἐλθεῖν ὧδε καὶ ἐπὶ τῶν εὐαγγελίων εἰπεῖν εἰ μὴ μετὰ τὴν καθαίρεσιν τοῦ μακαρίου Φλαβιανοῦ πάντων ἡμῶν κατηφῶν γενομένων καὶ τῶν μὲν ὀκνούντων ῥῆξαι φωνήν, τῶν δὲ φευγόντων ἀναστὰς αὐτὸς καὶ στὰς ἐφ' ὑψηλοῦ ἐπεσημήνατο καὶ ἔλεγε· βλέπετε εἴ τις οὐ θέλει ὑπογράψαι, πρὸς ἐμὲ ἔχει. ὁρκωθῆι ὁ κύριος Εὐσέβιος, εἰ μὴ ἐκινδύνευε καθαιρεθῆναι πρὸς ὀλίγον ἀναβαλλόμενος τὴν φωνήν.

856 Διόσκορος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Οὕπω τῶν κατὰ
546 Φλαβιανὸν ἐξεταζομένων ἐπελάβετο τῆς φωνῆς αὐτοῦ καὶ ἠξίωσε περιαιρεθῆναι ταύτην.

857 Βασίλειος ὁ εὐλαβέστατος ἐπίσκοπος Σελευκείας Ἰσαυρίας εἶπεν· Εἴ τι κατέθετο κατ' ἐμοῦ, κελεύσατε γενέσθαι μοι φανερόν, ὥστε με πρὸς αὐτὸν τὰς ἀποκρίσεις ποιήσασθαι.

858 Ὀνησιφόρος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἰκονίου εἶπεν· Μετὰ τὸ ἀναγνωσθῆναι ταῦτα πάντα τὰ νῦν ἀναγνωσθέντα κανὼν ἀνεγινώσκετο, ἐν ᾧι περιείχετο μηt. I 1, 7 p. 105, 20 κέτι περὶ πίστεώς τινα μηδένα ζητεῖν μήτε ἐπίσκοπον μήτε κληρικόν, ἐπεὶ εἶναι αὐτὸν καθηιρημένον, ἐὰν δὲ λακός ἐστιν, ἀκοινώνητον αὐτὸν τυγχάνειν. λέγω τοῖς πλησίον
L IIII 254* μου καθεζομένοις ἐπισκόποις· οὗτος ὁ κανὼν δι' οὐδὲν ἕτερον ἀναγινώσκεται ἢ ἵνα ὁ ἐπίσκοπος Φλαβιανὸς καθαιρεθῆι. ἦν δὲ μετ' ἐμοῦ ὁ ἐπίσκοπος Συνάδων Μαρινιανὸς ὁ εὐλαβέστατος καὶ ὁ Πέργης ὁ κύριος Ἐπιφάνιος. λέγει μοι ὁ Πέργης· μὴ γένοιτο, ἀλλ' εἰ ἄρα ἀγανάκτησις ἔχει γενέσθαι, γίνεται κατὰ Εὐσεβίου. κατὰ γὰρ Φλαβιανοῦ οὐδεὶς ἔχει μανῆναι καὶ τοιοῦτό τι ποιῆσαι ἀμέσως. μετὰ τὸ ἀναγνωσθῆναι τὸν κανόνα τοῦτον εὐθέως λέγει· δὸς ὧδε τοὺς νοταρίους, καὶ ἠνέχθη καὶ ἀνεγινώσκετο τὸ καθαιρε-
M VI 832 τικὸν τοῦ μακαρίου Φλαβιανοῦ. λαβὼν ἐγὼ ἄλλους ἐπισκόπους ἀνέστην καὶ κατέσχον τὰ γόνατα αὐτοῦ λέγων· μή, τῶν ποδῶν τῆς θεοσεβείας σου· οὐδὲν ἄξιον καθαιρέσεως ἔπραξεν. εἰ δὲ καταγνώσεώς ἐστιν ἄξιος, καταγνωσθῆι. καὶ ἀναστὰς ἀπὸ τοῦ θρόνου καὶ στὰς εἰς τὸ ὑποπόδιον αὐτοῦ λέγει· στάσιν μοι κινεῖτε; δὸς τοὺς κόμητας. καὶ οὕτω φοβηθέντες ὑπεγράψαμεν.

859 Διόσκορος ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Ψεύδεται, εὐθύνας ὑπόσχηι· δὸς τοὺς λέγοντας.

860 Καὶ ἀναστάντος Μαρινιανοῦ τοῦ εὐλαβεστάτου ἐπισκόπου Συνάδων Διόσκορος ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν πρὸς αὐτόν· Εἶπον ἀπειλήσας 'φέρε τοὺς κόμητας ὧδε';

861 Μαρινιανὸς ὁ εὐλαβέστατος ἐπίσκοπος Συνάδων εἶπεν· 'Ὡς ἔμελλεν ἀποφαίνεσθαι, ἀνέστην ἐγὼ καὶ ὁ κύριος Ὀνησιφόρος καὶ ὁ κύριος Νουνέχιος ὁ Λαοδικείας καὶ ἄλλοι καὶ κατέσχομεν αὐτοῦ τοὺς πόδας λέγοντες ὅτι καὶ σὺ πρεσβυτέρους ἔχεις, καὶ οὐκ ὀφείλει διὰ πρεσβύτερον καθαιρεθῆναι ὁ κύριος ὁ ἐπίσκοπος. εἶτα αὐτὸς λέγει· ἐὰν γλωσσοτομῶμαι, ἄλλην φωνὴν οὐκ ἀφίημι. οὕτως συνέρρευσεν πλῆθος καὶ ἐπεμένομεν κρατοῦντες αὐτοῦ τὰ γόνατα καὶ παρακαλοῦντες αὐτόν. καὶ ἀφῆκε τὴν φωνὴν ταύτην· 'ποῦ εἰσιν οἱ κόμητες'; φίλη ἡ ἀλήθεια. εἰσῆλθον οἱ κόμητες καὶ εἰσήγαγον τὸν ἀνθύπατον μετὰ κλοιῶν καὶ μετὰ πλήθους πολλοῦ καὶ λοιπὸν ἕκαστος ἡμῶν ὑπέγραψεν.

862 Διόσκορος ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· Οὐκ ἦσαν δέκα ἢ εἴκοσι ἢ τριάκοντα ἢ ἑκατὸν μόνοι· ἐξ αὐτῶν ἐγὼ φέρω μάρτυρας ὅτι οὐδὲν ὧν εἴρηκεν, ἀληθές ἐστιν. ἐπει-

---

15 δῆλον ὅτι ἐν ἐφέσωι in textu post ἀναγνωσθέντα M, in mg. B

MBΦ

1 παρὰ σοῦ] *ab ipso* Φ 4 τὸν Φ τῶν MB 9 ἐκινδύνευσε B 13 γίνεσθαι B 17/18 *episcopis sub silentio* Φ^{cr} 20 κύριος M 22 τοιοῦτόν B 26 δὲ καὶ Φ^{cr} 34 κύριος M κύριος M 36/37 γλωσσοτομοῦμαι M 42 αὐτῶν BΦ αὐτῶν δὲ M

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 9/9/15 7:59 AM

δὴ δὲ ἔκαμεν ἡ μεγαλοπρέπεια ὑμῶν, εἰ δοκεῖ ὑπερτεθῆναι, καὶ πάλιν ὃ δ' ἂν σκοπηθείη, ποιοῦμεν.

863 Οἱ ἐνδοξότατοι ἄρχοντες καὶ ἡ ὑπερφυὴς σύγκλητος εἶπον· Ἀναγινωσκέσθω τὰ λοιπά.

Βερονικιανὸς ὁ καθωσιωμένος σηκρητάριος τοῦ θείου κονσιστωρίου ἀπὸ τοῦ αὐτοῦ σχεδαρίου ἀνέγνω

864 Σέλευκος ἐπίσκοπος εἶπεν· Συμφέρομαι καὶ συντίθεμαι τοῖς ἐν Νικαίαι ἐκτεθεῖσι παρὰ τῶν ἁγίων πατέρων, καὶ τοῖς ἐν Ἐφέσωι δὲ βεβαιωθεῖσι, καὶ μέμφομαι τῆι φωνῆι μου ἣν εἶπον ἐν τῆι λαμπρᾶι Κωνσταντινουπόλει, ἐχούσηι δεῖν ἐν δύο φύσεσι τὸν κύριον 302
ἡμῶν δογματίζεσθαι μετὰ τὴν ἕνωσιν, ἀναθεματίζων τοὺς εἰς δύο φύσεις ἢ δύο ὑποστάσεις 10
ἢ δύο πρόσωπα μετὰ τὴν ἕνωσιν διαιροῦντας τὸν κύριον ἡμῶν Ἰησοῦν τὸν Χριστὸν καὶ ἀλλότριον ἡγοῦμαι τῆς ἐκκλησιαστικῆς συναφείας.

865 Εὐτυχὴς ἀρχιμανδρίτης εἶπεν· Συνεῖδεν ἡ ὑμετέρα θεοσέβεια ὅτι τῶν ἀναγνωσθέντων ἡ πρᾶξις ἔδειξε παραπεποιημένα τὰ πρώην ὑπομνήματα, ἔχομεν δὲ καὶ νῦν τὴν κατάθεσιν τοῦ θαυμασιωτάτου σιλεντιαρίου Μάγνου τὴν γενομένην ἐπὶ τοῦ μεγαλοπρεπεστάτου μαγίστρου καὶ ἀξιοῦμεν ταύτην ἀναγνωσθῆναι. L IIII 255* M VI 833 16

866 Φλαβιανὸς ἐπίσκοπος Κωνσταντινουπόλεως εἶπεν· Ψευδής ἐστιν.

867 Διόσκορος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Εἴ τι ἔγνωκεν ὁ θεοφιλέστατος ἐπίσκοπος Φλαβιανὸς συμβαλλόμενον αὐτοῦ τῆι ὑπολήψει, λεγέτω ἐγγράφως.

868 Φλαβιανὸς ἐπίσκοπος Κωνσταντινουπόλεως εἶπεν· Ἀπέκλεισάς μου πᾶσαν δικαιολογίαν. 20

869 Διόσκορος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Οἶδεν ἡ παροῦσα ἁγία σύνοδος εἰ ἀπέκλεισά σού τι· εἴ τι οὖν οἶδας συμβαλλόμενόν σοι, εἰπέ.

870 Φλαβιανὸς ἐπίσκοπος Κωνσταντινουπόλεως εἶπεν· Οὐ συνεχωρήθη μοι λαλῆσαι.

871 Διόσκορος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Οὐδείς σε ἐκώλυσεν, οἶδεν ἡ ἁγία σύνοδος. 25

872 Φλαβιανὸς ἐπίσκοπος Κωνσταντινουπόλεως εἶπεν· Ἡ δευτέρα πρᾶξις οὐδὲν ἔχει πλαστόν, οἶδεν καὶ ὁ κύρις Θαλάσσιος, οἶδε καὶ ὁ κύρις Εὐσέβιος.

873 Θαλάσσιος ἐπίσκοπος Καισαρείας Καππαδοκίας εἶπεν· Οὐδεὶς ἐκώλυσε τοῦ λαλῆσαι τὴν ὁσιότητά σου· εἴ τι τοίνυν ἔχεις συμβαλλόμενον, εἰπέ. 30

874 Διόσκορος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Κύρι Εὐσέβιε, εἰπέ· ἐκώλυσα αὐτὸν λαλῆσαι;

875 Εὐσέβιος ἐπίσκοπος Ἀγκύρας Γαλατίας εἶπεν· Ὡς οἶδεν ὁ θεός, εὐχόμεθά σε λαλῆσαι.

876 Ἰουβενάλιος ἐπίσκοπος Ἱεροσολύμων εἶπεν· Ἔτι καὶ νῦν, εἴ τι θέλεις, εἰπέ. 35

877 Φλαβιανὸς ἐπίσκοπος Κωνσταντινουπόλεως εἶπεν· Ἐπὶ τοῦ κύρου Θαλασσίου καὶ τοῦ κύρου Εὐσεβίου, παρόντος καὶ τοῦ σιλεντιαρίου Μάγνου, ἐγένετο ἡ πρᾶξις καὶ ἐξητάσθη καὶ οὐδὲν τοιοῦτον ἀπεδείχθη· ἕκαστος τῶν τότε παρόντων ἐπισκόπων ὡς ἐπὶ θεοῦ ἃ ἤκουσεν, εἶπεν καὶ ἀψευδῶς ἐρρέθη.

---

7 ἐν ἐφέσω ἐπὶ διοσκόρου $M^{mg}B^{mg}$
17 hoc loco lecta sunt 829—849
864 adfert Timotheus Aelurus f. 57ᵃ

MBΦ

3 ἡ om. M 8 τὴν φωνὴν M 11 τὸν² om. B 12 ἀλλότριον MB *alienos* Φ Tim. 24 οὐ BΦ om. M 25 οἶδεν om. B 28 οἶδεν] οἶδε δὲ B κύριοσ M κύριοσ M 39 ἃ ἤκουσεν] ἤκουσεν ἃ B

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 9/9/15 7:59 AM

878 Διόσκορος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Κύρι Στέφανε ἐπίσκοπε, εἰπὲ εἰ ἐκώλυσα αὐτόν.

879 Στέφανος ἐπίσκοπος Ἐφέσου εἶπεν· Ἰδοὺ ποῦ ἐστιν; ἐὰν ἐκώλυσας αὐτόν, εἴπηι.

880 Διόσκορος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Εἴπατε πάντες εἰ ἐκώλυσα αὐτόν.

881 Ἡ ἁγία σύνοδος εἶπεν· Οὐκ ἐκωλύσαμεν αὐτόν.

882 Φλαβιανὸς ἐπίσκοπος Κωνσταντινουπόλεως εἶπεν· Ἐμοῦ τῶν πεπραγμένων οὐδὲν ἅπτεται διὰ τὸν θεόν· οὐδὲ γὰρ ἑτέρως ἐδόξασα ἢ ἐφρόνησά ποτε ἢ φρονήσω.

883 Διόσκορος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Δήλων ὄντων τῶν πραχθέντων λεγέτω ἕκαστος τῶν παρόντων ἁγίων ἐπισκόπων οἷως οἶδε πιστεύοντα τὸν ἀρχιμανδρίτην Εὐτυχῆ καὶ τί περὶ αὐτοῦ τυποῖ.

884 1 Ἰουβενάλιος ἐπίσκοπος Ἱεροσολύμων εἶπεν· Ἐν τῶι αὐτὸν συνεχῶς κατατίθεσθαι
M VI 836 ὡς ἀκολουθεῖ τῆι ἐκθέσει τῆς πίστεως τῆς ἐν Νικαίαι συνόδου καὶ τοῖς ἐν Ἐφέσωι πραχθεῖσι τῆι προτέραι μεγάληι καὶ ἁγίαι συνόδωι ὀρθοδοξότατον ἐν οἷς ἀπεφθέγξατο, κατείληφα. κἀγὼ δὲ ψηφίζομαι καὶ βούλομαι τελεῖν αὐτὸν καὶ ἐν τῶι μοναστηρίωι καὶ ἐν τῶι οἰκείωι βαθμῶι.

Ἡ ἁγία σύνοδος εἶπεν· Αὕτη δικαία κρίσις.

2 Δόμνος ἐπίσκοπος Ἀντιοχείας εἶπεν· Ἐπειδὴ πρώην ἐκ τῶν ἐπισταλέντων παρὰ τῆς ἐν τῆι βασιλευούσηι πόλει συγκροτηθείσης ἁγίας συνόδου περὶ τοῦ εὐλαβεστάτου ἀρχιμανδρίτου Εὐτυχοῦς ὑπέγραψα τῆι καθαιρέσει αὐτοῦ, ἐκ δὲ τῶν ἀρτίως ἐπιδοθέν-
L IIII 258* των λιβέλλων παρ' αὐτοῦ τῆι ἁγίαι συνόδωι ἐπὶ τῆσδε τῆς Ἐφεσίων μητροπόλεως συγκροτηθείσηι ὡμολόγησε στοιχεῖν τῆι πίστει τῶν ἁγίων πατέρων τῶν τιη τῶν ἐν Νικαίαι συνελθόντων καὶ τῆι πρότερον ἐν τῆιδε τῆι Ἐφεσίων μητροπόλει συγκροτηθείσηι ὁμοίως συνόδωι, συνεδοκίμασα καὶ αὐτὸς μετὰ τῆς ὑμετέρας ὁσιότητος ἀπολαβεῖν αὐτὸν καὶ τὴν τοῦ πρεσβυτερίου ἀξίαν καὶ τὴν ἡγεμονίαν τῶν ὑπ' αὐτὸν τεταγμένων εὐλαβεστάτων ἀδελφῶν.

3 Στέφανος ἐπίσκοπος τῆς Ἐφεσίων εἶπεν· Ἀπὸ τῶν ἀναγνωσθέντων καὶ ἐπιδοθέντων λιβέλλων παρὰ τοῦ εὐλαβεστάτου πρεσβυτέρου καὶ ἀρχιμανδρίτου Εὐτυχοῦς δέδεικται ὅτι καὶ ὀρθῶς δοξάζει καὶ τὴν ὀρθόδοξον ἔχει πίστιν· ὅθεν καὶ ἐγὼ ἑξακολουθῶν τοῖς ἀποφανθεῖσι παρὰ τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου ἀρχιεπισκόπου Ἰουβεναλίου συντίθεμαι καὶ συναινῶ εἶναι αὐτὸν πρεσβύτερον καὶ ἀρχιμανδρίτην.

4 Θαλάσσιος ἐπίσκοπος Καισαρείας Καππαδοκίας πρώτης εἶπεν· Ἐπαινῶ καὶ ἀποδέχομαι τὸν εὐλαβέστατον πρεσβύτερον καὶ ἀρχιμανδρίτην Εὐτυχῆ μηδὲν ἔξω τῆς ἐν Νικαίαι συνόδου φρονήσαντα, μήτε δὲ τῆς ἐκτεθείσης παρὰ τῆς ἁγίας συνόδου παρατρώσαντά τι, ἀλλὰ γὰρ ἀποδεξάμενος βούλομαι ἔχεσθαι αὐτὸν τοῦ βαθμοῦ τοῦ πρεσβυτερίου.

5 Εὐσέβιος ἐπίσκοπος Ἀγκύρας Γαλατίας εἶπεν· Καὶ τὸν εὐλαβέστατον πρεσβύτερον καὶ ἀρχιμανδρίτην Εὐτυχῆ καὶ πάντα ἄνθρωπον σύμφωνα φρονοῦντα τῆι ἁγιωτάτηι συνόδωι τῆι ἐν Ἐφέσωι, ἥτις καὶ ἐβεβαίωσε τὰ ἐν Νικαίαι θεσπίσματα, ὀρθόδοξον ἡγοῦμαι καὶ τῆς καθολικῆς ἐκκλησίας οὐκ ἀλλότριον· εὔλογον δὲ ὑπολαμβάνω τὸν ἀκατάγνωστον τῶι φρονήματι, τουτέστι τὸν προειρημένον εὐλαβέστατον πρε-

11 ἡ αἰτία δι' [δι' om. M] ἣν δέχονται τὸν Εὐτυχῆ ἐπὶ Διοσκόρου $M^{mg}B^{mg}$

883—884^{3} adfert Timotheus Aelurus f. 57^{b}

MBΦ, $Λ^{a}$ [inde a 6 usque ad 25]

1 ἐκώλυσας $Φ^{ac}$ 3 ἐκώλυσασ MΦ^{r} ἐκώλυσα B$Φ^{ac}$, cf. notam Rustici *aliqui codicum Stephanum non prohibuisse hic dicunt* 4 ἐκωλύσατε Φ 14/15 καὶ — μοναστηρίωι om. $Λ^{a}$ 15 καὶ om. B 21 *sanctae fidei* $Λ^{a}$ τριακοσίων δεκαοκτὼ B 24 αὐτὸν] αὐτῶν M 25 εὐλαβεστάτων MΦ om. B, cf. notam Rustici: *Acumilanus non habet* 35 πρεσβυτέρου M 37/38 ἁγία ταύτη B

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 9/9/15 7:59 AM

σβύτερον καὶ ἀρχιμανδρίτην Εὐτυχῆ μὴ ἀποστερεῖσθαι τοῦ ἱερατικοῦ ἀξιώματος καὶ τῆς ἡγεμονίας τῶν μοναζόντων.

6 Κῦρος ἐπίσκοπος Ἀφροδισιάδος τῆς Καρίας εἶπεν· Ἀπὸ τῶν ἐπιδοθέντων λιβέλλων παρὰ τοῦ εὐλαβεστάτου πρεσβυτέρου καὶ ἀρχιμανδρίτου Εὐτυχοῦς καὶ ἀναγνωσθέντων δέδεικται τὴν πίστιν τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίαι καὶ ἐνταῦθα συναχθέντων συνηνεκέναι· ὅθεν κἀγὼ σύμψηφος τῆι τῶν ἁγίων πατέρων ψήφωι γίνομαι, ὥστε καὶ τῆς τοῦ πρεσβυτερίου ἔχεσθαι αὐτὸν ἀξίας καὶ τοῦ ἡγεῖσθαι τοῦ μοναστηρίου. M VI 837

7 Ἐρασίστρατος ἐπίσκοπος Κορίνθου τῆς Ἑλλάδος

8 Κυίντιλλος ἐπίσκοπος Ἡρακλείας, ἐπέχων καὶ τὸν τόπον Ἀναστασίου τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Θεσσαλονίκης

9 Μελίτιος ἐπίσκοπος Λαρίσσης, ἐπέχων τὸν τόπον Δόμνου τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Ἀπαμέων L IIII 259*

10 Κυριακὸς ἐπίσκοπος Τροκνάδων, ἐπέχων τὸν τόπον Θεοκτίστου τοῦ εὐλαβεστάτου ἐπισκόπου Πισινοῦντος τῆς δευτέρας Γαλατίας τὰ ὅμοια εἶπεν.

11 Διογένης ὁ εὐλαβέστατος ἐπίσκοπος Κυζίκου εἶπεν· Ἀπὸ τῶν νῦν κατατεθέντων ἀπὸ τοῦ εὐλαβεστάτου πρεσβυτέρου καὶ ἀρχιμανδρίτου Εὐτυχοῦς ἔγνωμεν ὡς καὶ αὐτὸς συντίθεται τῆι ἐκτεθείσηι πίστει τῶν πατέρων τῶν ἐν Νικαίαι καὶ τῆι παρὰ τῶν ἁγίων πατέρων συνειλεγμένων ἐν ταύτηι τῆι μεγαλωνύμωι Ἐφέσωι, καὶ ἐγκρίνω αὐτὸν οὕτω φρονοῦντα καὶ τοῦ ἱερατικοῦ ἀπολαύειν ἀξιώματος καὶ τοῦ μοναστηρίου φροντίζειν κατὰ τὴν προλαβοῦσαν συνήθειαν.

12 Ἰωάννης ἐπίσκοπος Σεβαστείας Ἀρμενίας πρώτης εἶπεν παραπλήσια τοῖς ἀνωτέρω.

13 Βασίλειος ἐπίσκοπος Σελευκείας Ἰσαυρίας M VI 839

14 Θεόδωρος ἐπίσκοπος Ταρσοῦ L IIII 260*

15 Ῥωμανὸς ἐπίσκοπος Μύρων τῆς Λυκίας

16 Φώτιος ἐπίσκοπος Τύρου

17 Θεόδωρος ἐπίσκοπος Δαμασκοῦ

18 Ἰουλιανὸς ἐπίσκοπος Ταβίας M VI 840

19 Φλωρέντιος ἐπίσκοπος Λυδῶν

20 Μαρινιανὸς ἐπίσκοπος Συνάδων L IIII 261*

21 Μουσώνιος ἐπίσκοπος Νύσης M VI 841

22 Κωνσταντῖνος ἐπίσκοπος Βόστρων

23 Ἰωάννης ἐπίσκοπος Νικοπόλεως Ἀρμενίας πρώτης

24 Ἀκάκιος ἐπίσκοπος Ἀριαραθείας Ἀρμενίας δευτέρας, ἐπέχων καὶ τὸν τόπον Κωνσταντίου τοῦ εὐλαβεστάτου ἐπισκόπου Μελιτηνῆς

25 Στέφανος ἐπίσκοπος Ἱερᾶς πόλεως

26 Ἀττικὸς ἐπίσκοπος Νικοπόλεως Ἠπείρου παλαιᾶς L IIII 262* M VI 842

27 Εὐστάθιος ἐπίσκοπος Βηρυτοῦ

28 Νουνέχιος ἐπίσκοπος Λαοδικείας Τριμιταρίας

29 Ὀλύμπιος ἐπίσκοπος Κωνσταντίας τῆς Κύπρου M VI 843

30 Κανδιδιανὸς ἐπίσκοπος Ἀντιοχείας τῆς Πισιδίας

---

3 ζήτει τὰς διαλαλιὰς ἑκάστου τῶν ἐπισκόπων M[mg]

MBΦ

1 βαθμοῦ καὶ ἀξιώματος B 6 συνηνεγκέναι MB 7 πρεσβυτερίου Φ πρεσβυτέρου MB 9 sq. plenae extant sententiae in Φ *Erasistratus* Φ ἐρεσίστρατος MB 10 κυίντιλος B 12 λαρίσης M, corr. M 14 Τροκνάδων Φ προκνάδων MB θεοκτίστου Φ θεοφίλου MB 15 πισσινοῦντος B 29 λύδδων MB *lyddae* Φ 31 νύσσης B 34 ἀριαραθίας MB, corr. M 36 ιεραπόλεως M; sententia extat apud Timotheum f. 57[b] 41 πισσιδίας B

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 9/9/15 7:59 AM

31 Στέφανος ἐπίσκοπος Ἀναζάρβου
L IIII 263* 32 Γερόντιος ἐπίσκοπος Σελευκείας Συρίας
33 Ῥουφῖνος ἐπίσκοπος Σαμοσάτων
34 Ἴνδιμος ἐπίσκοπος Εἰρηνουπόλεως
M VI 844 35 Τιμόθεος ἐπίσκοπος Βαλανέων
36 Θεοδόσιος ἐπίσκοπος Κανώθα
37 Εὐτύχιος ἐπίσκοπος Ἀδριανουπόλεως Ἠπείρου παλαιᾶς
L IIII 264* 38 Συμεὼν ἐπίσκοπος Ἀμίδης Μεσοποταμίας
39 Σέλευκος ἐπίσκοπος Ἀμασείας
40 Πέτρος ἐπίσκοπος Γαγγρῶν
41 Λουκᾶς ἐπίσκοπος Δυρραχίου
42 Ἀντώνιος ἐπίσκοπος Λυχνιδίου
M VI 846 43 Μάρκος ἐπίσκοπος Εὐροίας
44 Βιγιλάντιος ἐπίσκοπος Λαρίσσης
L IIII 265* 45 Βασίλειος ἐπίσκοπος Τραιανουπόλεως ἐπαρχίας Ῥοδόπης
46 Κωνσταντῖνος ἐπίσκοπος Δημητριάδος
47 Ἀλέξανδρος ἐπίσκοπος Σεβαστῆς τῆς Ταρσοῦ
M VI 847 48 Σώιζων ἐπίσκοπος Φιλίππων
49 Εὐσέβιος ἐπίσκοπος ⟨Δο⟩βήρου Μακεδονίας πρώτης
50 Μαξιμῖνος ἐπίσκοπος Σερρέων Μακεδονίας πρώτης
51 Ἑρμογένης ἐπίσκοπος Κασανδρείας Μακεδονίας πρώτης
52 Λουκᾶς ἐπίσκοπος Βεροίας Μακεδονίας πρώτης
L IIII 266* 53 Ἰωάννης ἐπίσκοπος Μεσσήνης τῆς Ἀχαίας
M VI 848 54 Οὐράνιος ἐπίσκοπος Ἰμερίας ἐπαρχίας Ὀσροηνῶν, ἑρμηνεύοντος αὐτὸν Εὐλογίου πρεσβυτέρου Ἐδέσσης
55 Ἀθανάσιος ἐπίσκοπος Ὀποῦντος τῆς Ἀχαίας
56 Θεόδωρος ἐπίσκοπος Κλαυδιουπόλεως τῆς Ἰσαυρίας
57 Λεόντιος ἐπίσκοπος Ἀσκάλωνος
M VI 849 58 Φωτεινὸς ἐπίσκοπος Λύδδης
L IIII 267* 59 Παῦλος ἐπίσκοπος Μαιουμᾶ
60 Ζώσιμος ἐπίσκοπος Μινωίδος
61 Ἐπιφάνιος ἐπίσκοπος Πέργης
62 Βαρούχιος ἐπίσκοπος Σωιζούσης Παλαιστίνης
M VI 850 63 Ἡρακλείδης ἐπίσκοπος Ἀζώτου
64 Ἰωάννης ἐπίσκοπος Τιβεριάδος
65 Μουσωνιανὸς ἐπίσκοπος Ζοόρων
66 Διονύσιος ἐπίσκοπος Συκαμαζόνος
L IIII 268* 67 Καίουμος ἐπίσκοπος Φαινοῦς
M VI 851 68 Αἰθέριχος ἐπίσκοπος Σμύρνης
69 Ζεῦνος ἐπίσκοπος Πέλλης

MBΦ

post 8 habet *cladeus* [sic Φ^{r} *cladeos cladios claudius* ceteri] *episcopus anchiasmi* [sic Φ^{r} *anchiasmitanae ciuitatis* Φ^{ac}] *ueteris Epiri* Φ 12 *Antoninus* Φ^{cr} 14 βιγιλλάντιοσ M 15 ἐπαρχίας om. B 19 Δοβήρου Φ βήρου MB 20 μαξιμῖνοσ MB *Maximus* Φ 22 βερροίασ B 23 μεσσήνησ M^{corr} μεσήνησ B μεσίνησ M; sententia extat apud Timotheum f. 57^{b} 24 ἐσροίνων M ἐσδροίνων B ὀσροίνων M^{corr} 25 αἰδέσησ M 31 μηνοείδησ M μηνοίδησ B *Minoidenae ciuitatis* Φ 34 *Heraclius* Φ 36 *Musonius* Φ ζοώρων M 38 *caiumas* Φ^{cr} *gaiumas* Φ^{a} φίνουσ MBΦ 40 ζεῦνοσ MB *zennus* Φ^{ac} *zaennus* Φ^{r}

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 9/9/15 7:59 AM

70 Παγκράτιος ἐπίσκοπος Λιβιάδος
71 Αὐξίλαος ἐπίσκοπος Σαρακηνῶν ὑποσπόνδων
72 Ἀλύπιος ἐπίσκοπος Βακάθων M VI 852
73 Πολυχρόνιος ἐπίσκοπος Ἀντιπατρίδος
74 Δομνῖνος ἐπίσκοπος Πλαταιέων τῆς Ἑλλάδος L IIII 269
75 Θεοδόσιος ἐπίσκοπος Μασταύρων 6
76 Κυριακὸς ἐπίσκοπος Αἰγέας M VI 853
77 Φλάβιος ἐπίσκοπος Ἀδραμύτου
78 Λεόντιος ἐπίσκοπος Μαγνησίας Μαιάνδρου
79 Εὐτρόπιος ἐπίσκοπος Περγάμου τῆς Ἀσίας 10
80 Μάξιμος ἐπίσκοπος Τράλλεων M VI 854
81 Ὀνησιφόρος ἐπίσκοπος Ἰκονίου L IIII 270
82 Ἰωάννης ἐπίσκοπος Ῥόδου
83 Διογενιανὸς ἐπίσκοπος [Ἄφρων] πόλεως Ῥεμεσιάνων
84 Θεοδόσιος ἐπίσκοπος Ἀμαθούντων 15
85 Κυριακὸς ἐπίσκοπος Λεβέδου
86 Γεννάδιος ἐπίσκοπος Τηίων M VI 855
87 Ὀλύμπιος ἐπίσκοπος Εὐάζων
88 Ἰουλιανὸς ἐπίσκοπος Ὑπαίπων L IIII 271
89 Θεόπεμπτος ἐπίσκοπος Καβάσων M VI 856
90 Καλοσίριος ἐπίσκοπος Ἀρσινοίτου ἑρμηνεύοντος αὐτὸν Ἰουλίου διακόνου αὐτοῦ 21
91 Ἰωάννης ἐπίσκοπος Ἡφαίστου
92 Ἡρακλείδης ἐπίσκοπος Ἡρακλεοῦς M VI 857
93 Ἰσαὰκ ἐπίσκοπος Ἐλεαρχίας L IIII 272
94 Γεμελλῖνος ἐπίσκοπος Ἐρυθροῦ 25
95 Ἀπολλώνιος ἐπίσκοπος Τάνεως
96 Γεννάδιος ἐπίσκοπος Ἑρμουπόλεως μεγάλης M VI 858
97 Κῦρος ἐπίσκοπος Βαβυλῶνος
98 Ἀθανάσιος ἐπίσκοπος Βουσίρεως
99 Φωτεινὸς ἐπίσκοπος Τευχείρων 30
100 Θεόφιλος ἐπίσκοπος Κλεοπατρίδος L IIII 273
101 Πασμήιος ἐπίσκοπος Παράλου M VI 859
102 Σωσίας ἐπίσκοπος Σωιζούσης
103 Θεόδουλος ἐπίσκοπος Τισιλα
104 Θεόδωρος ἐπίσκοπος Βάρκης 35
105 Ῥοῦφος ἐπίσκοπος Κυρήνης
106 Ζήνων ἐπίσκοπος Ῥινοκορούρων M VI 860
107 Λούκιος ἐπίσκοπος Ζύγρων M IIII 274
108 Αὐξόνιος ἐπίσκοπος Σεβεννύτου
109 Ἰσαὰκ ἐπίσκοπος Ταύα 40

MBΦ

2 *Auxilaus* Φ αὐξόλαοσ MB 3 *Alypius* Φ ὀλύμπιοσ MB cf. Φ^{r} Βακάθων Φ βακάνθων MB 5 πλαταιέων B πλατεῶν M *Plataeae* Φ 7 αἰγαίασ B *elensis* Φ^{a} *eglensis* Φ^{cr} 8 *Flauianus* Φ ἀτραμύτου M^{corr} 11 τραυλέων MB, corr. M 14 ἄφρων B ἄφροσ M om. Φ 17 τηίνων MB cf. Φ 19 ὑπέπων MB 20 καβάσσων MB uaria lectio in Φ^{r} 21 ἰουλίου MB Ἡλίου Φ 32 παράλλου B βαράλου M 34 *theodorus* Φ *tisilae* Φ^{r} *tisilicinae* Φ^{ac} πισιλᾶ MB 36 *rufinus* Φ^{cr} 37 ῥινοκουρούρων B 39 *Ausonius* Φ^{a}

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 9/9/15 7:59 AM

M VI 861 110 Φιλόκαλος ἐπίσκοπος Ζαγύλων

111 Ἡσαίας ἐπίσκοπος Ἑρμουπόλεως μικρᾶς

οἱ πάντες ὁμοια καὶ παραπλήσια διελάλησαν καὶ κατέθεντο.

L IIII 275 112 Βαρσουμᾶς πρεσβύτερος καὶ ἀρχιμανδρίτης δι' ἑρμηνέως Εὐσεβίου μοναχοῦ εἶπεν· Κἀγὼ ὡς τέκνον ἑξακολουθῶν τοῖς ἰδίοις πατράσιν καὶ μαρτυρῶν τῇ ὀρθοδόξωι πίστει τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου ἀρχιμανδρίτου Εὐτυχοῦς συντίθεμαι καὶ συναινῶ καὶ χαίρω ὅτιπερ ἀποδεδώκατε αὐτῶι τὸν τῆς ἱερωσύνης βαθμὸν καὶ τὸ ἄρχειν τοῦ ἁγιωτάτου αὐτοῦ μοναστηρίου.

113 Διόσκορος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Τὰς πάσας τῆς ἁγίας ταύτης καὶ οἰκουμενικῆς συνόδου ψήφους ἐπὶ τῶι εὐλαβεστάτωι ἀρχιμανδρίτηι Εὐτυχεῖ βεβαιῶν καὶ τὴν ἐμαυτοῦ συνεισάγω γνώμην ὥστε τοῦτον τελεῖν ἐν τῆι τοῦ πρεσβυτερίου τάξει, ἡγεῖσθαι δὲ καὶ τοῦ οἰκείου μοναστηρίου καθὰ καὶ πάλαι.

885 Ἰωάννης πρεσβύτερος καὶ πρῶτος νοταρίων εἶπεν· Οἱ κληρικοὶ καὶ μονάζοντες τοῦ μοναστηρίου τοῦ ὑπὸ τὸν εὐλαβέστατον πρεσβύτερον καὶ ἀρχιμανδρίτην Εὐτυχῆ λίβελλον προσεκόμισαν τῆι ἁγίαι ταύτηι συνόδωι, ὄντινα ἀναγνωσόμεθα, εἰ προστάξει ἡ ὑμῶν ὁσιότης.

886 Εὐσέβιος ἐπίσκοπος Ἀγκύρας Γαλατίας εἶπεν· Ὑποδεχθεὶς ὁ λίβελλος ἀναγνωσθήτω.

Ἰωάννης πρεσβύτερος καὶ πρῶτος νοταρίων ἀνέγνω

887 Τῆι ἁγίαι καὶ θεοφιλεῖ συνόδωι οἰκουμενικῆι συνελθούσηι ἐν τῆι Ἐφεσίων μητροπόλει παρὰ Ναρσοῦ πρεσβυτέρου καὶ Τιμοθέου καὶ Εὐσεβίου καὶ Κωνσταντίνου καὶ λοιπῶν διακόνων καὶ ὑποδιακόνων καὶ πάντων τῶν μοναζόντων τῶν τελούντων ὑπὸ τὸν θεοσεβέστατον πρεσβύτερον καὶ ἀρχιμανδρίτην Εὐτυχῆ. Τὰς ἐπηγγελμένας παρὰ τοῦ φιλανθρώπου θεοῦ τοῖς εἰς αὐτὸν πεπιστευκόσι δωρεὰς ἐκ τῶν θείων λογίων καταM VI 864 μαθόντες καὶ συγγενείας τε καὶ χρημάτων καὶ οἷς ἕκαστος ἐκοσμεῖτο ἀξιώμασί τε καὶ διαφόροις στρατείαις, καὶ πάντων ἅπαξ τῶν δοκούντων ἀνθρωπίνων εἶναι καλῶν ὑπεριδόντες, ὧν τε ἦμεν ἐν ἀπολαύσει καὶ ὧν ἔτι προσεδοκῶμεν, ἐπὶ μίαν ἅπαντες τὴν τῶν μοναχῶν πολιτείαν τε καὶ καρτερίαν ἀπηντήσαμεν, τὸν τῶν τριακοσίων ἀριθμὸν ἤδη πληροῦντες χάριτι τοῦ δεσπότου Χριστοῦ καὶ ὑφ' ἡγεμόνι τῶι εὐλαβεστάτωι ἀρχιμανδρίτηι Εὐτυχεῖ τοῖς τῆς εὐσεβείας καὶ δικαιοσύνης διδάγμασι πειθαρχοῦντες καὶ τριακοστὸν ἐνιαυτὸν μικρῷ πρὸς οἱ πολλοὶ κατὰ ταύτην τὴν καρτερίαν διατελέσαντες. ἀλλ' ὁ εὐλαβέστατος ἐπίσκοπος τῆς βασιλίδος Κωνσταντινουπόλεως Φλαβιανός, δέον τὰ μὲν παρόντα ἐπαινεῖν, ἐπὶ δὲ τὰ βελτίω προτρέπειν καὶ πάσαις προνοίαις τοὺς ἀπὸ τῶν ἀνθρωπίνων τῶι θεῶι προσδραμόντας συνέχειν, τουναντίον ἥπερ ἔπρεπεν, εἰργάσται, τὸν μὲν ἡμέτερον ποιμένα συκοφαντίαις τε καὶ βλασφημίαις περιβαλὼν καὶ πρόφασιν οὐκ ἀληθῆ τῆς αὐτοῦ καθαιρέσεως τὴν εὐσέβειαν ὑποκρινάμενος, ὅτι μὴ βλασφημεῖ μετ' αὐτοῦ παρὰ τὸν ὅρον τῆς πίστεως ὃν ἐξέθετο μὲν ἡ ἐν Νικαίαι ἁγία σύνοδος,
L IIII 278 ἐβεβαίωσε δὲ ἡ πάλαι κατὰ τήνδε τὴν Ἐφεσίων, ἡμῖν δὲ παρεκελεύετο διὰ τοῦ ἀποσταλέντος παρ' αὐτοῦ Θεοδοσίου τοῦ πρεσβυτέρου, συμπαρόντων αὐτῶι καὶ ἑτέρων κληρικῶν, ἀφίστασθαι τοῦ ποιμένος καὶ μηδὲ προσφθέγγεσθαι αὐτῶι ἔτι καὶ τὰ τοῦ

9—12 adfert Timotheus Aelurus f. 57b

MBΦ, Λn [inde a 9 usque ad 23]

1 *Zagilonensis* Φcr *zaginolensis* Φa γαζύλων MB 5 ἑξακολουθῶ Φ τῆσ M 7 τὸ BΦ τοῦ M 9 πάσας Φ πάσησ MB 10 βεβαιῶν ΦΛn Tim. βεβαιῶ MB 11 πρεσβυτερίου ΦΛn πρεσβυτέρου MB 22 καὶ ὑποδιακόνων om. ΦrΛn 25 *unusquisque nostrum* Φr 30 διδάγμασι MΦ δόγμασι B 31 κατὰ om. M 34 εἴπερ M 36/37 βλασφημεῖν M 37 ἁγία om. B 39 θεοδοσίου MB *Theodotum* Φ

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 9/9/15 7:59 AM

μοναστηρίου φυλάττειν αὐτῶι τῶι τῶν πτωχῶν ὀνόματι (τοῦτο γὰρ ἐπραγματεύετο) ἢ τοῦτο μὴ ποιοῦντας εἴργεσθαι καὶ αὐτοὺς μετὰ τοῦ διδασκάλου τῆς κοινωνίας τῶν θείων μυστηρίων. καὶ τὸ μὲν ἅγιον θυσιαστήριον, ὅπερ αὐτὸς πρὸ ἓξ μηνῶν τῆς μελετηθείσης ἐπιβουλῆς κατεπήξατο, κενὸν τῆς θείας ἱερουργίας ἐστίν, μεμενήκαμεν δὲ ἡμεῖς ἄχρι τῆς ἁγίας ὑμῶν συνόδου ταῖς ἀδίκοις ταύταις ἀποφάσεσιν αὐτοῦ δεδεμένοι, τινὲς δὲ καὶ τῶν ἀδελφῶν ἡμῶν τετελευτήκασιν ἐν τῶι τῆς ἀδίκου τιμωρίας σχήματι. καὶ τὰ μὲν ἄλλα τῆς ἀσκήσεως συνήθως πράττομεν κατὰ τὸν θεσμὸν τῶν μοναχῶν, ἀλλότριοι δὲ καθεστήκαμεν ὧν οἱ ἀσεβεῖν κατακριθέντες. ἐν ταύτηι δακρύοντας ἡμᾶς τεθέαται τῆι συμφορᾶι ἡ σωτήριος ἡμέρα τῶν γενεθλίων τοῦ δεσπότου καὶ σωτῆρος ἡμῶν θεοῦ καὶ κυρίου Ἰησοῦ Χριστοῦ καὶ τὴν πᾶσι Χριστιανοῖς εὐφροσύνην ὑπάρξασαν ἡμεῖς πενθοῦντες διετελοῦμεν, ἀντὶ τῶν προσευχῶν τῆς μυσταγωγίας θρήνους ἐκ τῆς γλώττης προχέοντες· ἐν τούτοις ἡμᾶς καὶ ἡ τῶν ἐπιφανίων ἡμέρα διεδέξατο καὶ ὥσπερ οἱ θανάτωι προσομιλοῦντες φιλοψύχως ἔχοντες τὴν τελευτὴν κατοδύρονται, οὕτως ἡμεῖς ἐπὶ τῆι τῶν ἀχράντων μυστηρίων ἀφαιρέσει πενθοῦντες διετελοῦμεν. ἐπέστη καὶ ἡ τοῦ σωτηρίου πάθους ἡμέρα καὶ νὺξ ἱερὰ καὶ ἡ τῆς ἀναστάσεως ἑορτή, καθ' ἣν λύεται μὲν τοῖς πλείστοις τῶν ἡμαρτηκότων τὰ ἀπὸ τῶν ἁγίων ἡμῶν πατέρων ἐπιτίμια, λύεται δὲ παρὰ τῶν βασιλευόντων ἐπὶ τῶν ἐγκλημάτων τὰ δεσμὰ τοῖς ὑπευθύνοις, ἡδονῆς δὲ δικαίας πᾶς οἶκος καὶ ἀγορὰ πᾶσα πεπλήρωται· ἡμεῖς δὲ τοῖς τῶν ἀδίκων ἀποφάσεων δεσμοῖς κατεχόμενοι οὐδὲν φιλάνθρωπον τοῦ κατακρίναντος εἴδομεν, ἀλλὰ μεμένηκεν ἀκλινὴς ἄχρι τοῦ παρόντος, ἐννέα μηνῶν περί που ἤδη παραδραμόντων, τοιαύτην πάντως ἐφ' ἑαυτῶι τὴν παρ' ὑμῶν ψῆφον τυπῶν, ἵνα τῆς οἰκείας ἐφ' ἡμῖν ἀδίκου κρίσεως ἄξιον εὕροι καρπὸν τὴν ἐπ' αὐτῶι παρ' ὑμῶν δικαίαν ψῆφον καὶ οὕτως κατὰ τὴν θείαν γραφὴν κριθῆι μὲν ὡς ἔκρινεν, ἀπολαύσηι δὲ ὡς ἐπεβούλευσεν. δι' ὅπερ καθικετεύομεν τὴν ὑμετέραν ἁγίαν σύνοδον συναλγῆσαι μὲν ἡμῖν τῆς τοσαύτης ἀδίκου κολάσεως ὑπὲρ εὐσεβείας παρὰ ἱερέως ὑπομεμενηκόσιν αὐτήν, ἀποδοῦναι δὲ ἡμῖν μὲν ὧν οὐ δικαίως ἀφαιρούμεθα μυστηρίων, τῶι δὲ ταῦτα δεδρακότι τὴν ἀμοιβὴν ὧν οὐ δικαίως ἔκρινε.

888
1 Ναρσῆς πρεσβύτερος ὑπέγραψα χειρὶ ἐμῆι
Τῆι αὐτῆι ὑπογραφῆι πάντες
2 Τιμόθεος
3 Εὐσέβιος
4 Κωνσταντῖνος
5 Εὐστάθιος
6 Ζηνόβιος
7 Αὐξέντιος
8 Ζηνόβιος
9 Σμάραγδος
10 Ἐλευσίνιος
11 Κωνσταντῖνος διάκονοι
12 Θεόδουλος
13 Γερόντιος
14 Πορφύριος ὑποδιάκονοι
15 Μαρτύριος

M VI 865

d. 27. m. Mart. a. 449

Mt. 7, 2

L IIII 279

29—p. 188, 20 plenae subscriptiones extant in Φ

MBΦ

7 τῶν μοναχῶν] *monasteriorum* Φ 8 ὧν] *sicut* Φ 17 δὲ καὶ Φ 19 κατακρίνοντοσ B 23 ἀπολαύσει M 35 om. B, cf. Φ 39 *Theodorus* Φ 41 πορφύριοσ MBΦ^{a} *Prosphorius* Φ^{cr}

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 9/9/15 7:59 AM

16 Παγχάριος
17 Παυλονᾶς
18 Φιλούμενος
M VI 868 19 Ἀβράμιος
20 Ἰουλιανός
21 Ἀντώνιος
22 Μακεδόνιος
23 Τιμόθεος
24 Ἰωάννης
25 Εὐπρέπιος
26 Δωρόθεος
27 Ἑορτάσιος
28 Τιμόθεος
29 Ἰουλιανός
30 Εὐγένιος
31 Θεότιμος
32 Μάλχος
33 Εὔβουλος
34 Γυμνάσιος
35 Ὑπάτιος μονάζοντες

889 Διόσκορος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Ἐπειδὴ ἀκοινωνήτους ἑαυτοὺς εἴπατε γεγενῆσθαι, ἀγνοεῖτε δὲ τὴν αἰτίαν καὶ τεκμαιρόμεθα καὶ ἡμεῖς διά τί, εἴπατε φανερῶς τὴν ἑαυτῶν πίστιν ὅπως ἔχετε. αὕτη γάρ ἐστιν ὑμῶν ἡ ἀπόλυσις, ἡ ὁμολογία τῆς πίστεως.

890 Ἐλευσίνιος διάκονος καὶ μονάζων εἶπεν· Καθὼς διὰ τοῦ λιβέλλου ὁ θεοσεβὴς ἀρχιμανδρίτης ἡμῶν ἀνεδίδαξεν τὴν ὑμετέραν ἁγιότητα [ὅτι], οὕτω φρονοῦμεν ὡς οἱ τιη ἅγιοι πατέρες οἱ ἐν Νικαίαι ἐθέσπισαν, ἣν καὶ ἐβεβαίωσεν ἡ ἐνταῦθα ἁγία σύνοδος, καὶ παρὰ ταύτην τὴν πίστιν οὐδέποτε οὐδὲ ἐνενοήσαμέν τι οὔτε ἐφρονήσαμεν.

891 Διόσκορος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Περὶ τῆς ἐνσάρκου τοῦ σωτῆρος παρου-
L IIII 282 σίας οὕτω φρονεῖτε ὡς ὁ μακάριος Ἀθανάσιος καὶ ὁ μακάριος Κύριλλος καὶ ὁ μακάριος Γρηγόριος καὶ πάντες οἱ ὀρθόδοξοι ἐπίσκοποι;

892 Ἐλευσίνιος διάκονος καὶ μονάζων εἶπεν· Πάντες οὕτω φρονοῦμεν καὶ ὡς οἱ ἐν Νικαίαι συνελθόντες καὶ οἱ ἐνταῦθα συνειλεγμένοι ἅγιοι πατέρες.

893 Διόσκορος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Ἐπιδέδωκε λίβελλον ὁ εὐλαβέστατος πρεσβύτερος καὶ ἀρχιμανδρίτης Εὐτυχής· πείθεσθε οἷς ἔγραψεν ἐκεῖνος; [καὶ] ἀκολουθεῖτε τῇι πίστει αὐτοῦ;

894 Ἐλευσίνιος διάκονος καὶ μονάζων εἶπεν· Ναί.

895 Διόσκορος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Μὴ παραβαίνετε;

896 Ἐλευσίνιος διάκονος καὶ μονάζων εἶπεν· Οὔ.

897 Διόσκορος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Τὰ αὐτὰ φρονεῖτε; τοῖς αὐτοῖς στοιχεῖτε; ἀναθεματίζετε τοὺς μὴ οὕτω φρονοῦντας;

898 Ἐλευσίνιος διάκονος καὶ μονάζων εἶπεν· Ναί, τῶν ποδῶν ὑμῶν.

899 Ἰουβενάλιος ἐπίσκοπος Ἱεροσολύμων εἶπεν· Ἀκόλουθόν ἐστιν οὕτως αὐτοὺς τὴν

MBΦ, Λ^{n} [inde a 21]

1 πάγχαρισ M 4 ἀβραάμιοσ M 14 post 16 coll. Φ 23 ἀπόλυσισ MΛ^{n} ἀπόλαυσισ BΦ 26 ὅτι MB om. ΦΛ^{n} τριακόσιοι δεκαοκτὼ B 28 οὐδὲ B 34 ἐπιδέδωκε MBΛ^{n} ἐπεὶ δέδωκε Φ 35 καὶ MBΦ^{ac} om. Φ$^{r}\Lambda^{n}$

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 9/9/15 7:59 AM

ὀρθόδοξον ὁμολογοῦντας πίστιν τήν τε ἐν Νικαίαι ἐκτεθεῖσαν καὶ ἐν Ἐφέσωι βεβαιωθεῖσαν μετέχειν καὶ τῆς ἁγίας κοινωνίας καὶ τῶν οἰκείων βαθμῶν. M VI 869

900 Ἡ ἁγία σύνοδος εἶπεν· Πάντες συναινοῦμεν τούτοις τοῖς λόγοις. πάντες τὰ αὐτὰ λέγομεν.

901 Διόσκορος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Δοκεῖ οὖν τῆι θεοσεβείαι ὑμῶν ἐν τῆι διαλαλιᾶι καὶ τοῦτο ἐνθεῖναι ὅτι μετὰ τοῦ ἀρχιμανδρίτου Εὐτυχοῦς ἀπελύσαμεν καὶ τοὺς σὺν αὐτῶι κληρικοὺς ἤτοι μονάζοντας;

902 Ἡ ἁγία σύνοδος εἶπεν· Ἀπελύσαμεν αὐτούς.

903 Διόσκορος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Κοινωνοῦμεν αὐτοῖς καὶ τῆι ἀξίαι καὶ τοῖς μυστηρίοις;

904 Ἡ ἁγία σύνοδος εἶπεν· Ναί, αὕτη δικαία κρίσις.

905 Διόσκορος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Δήλων ὄντων τῶν πεπραγμένων καὶ πάσης τῆς ἁγίας ταύτης συνόδου συναινεσάσης καὶ ἀποδούσης τὴν κοινωνίαν τῶι εὐλαβεστάτωι ἀρχιμανδρίτηι Εὐτυχεῖ ἔτι τε καὶ τὴν τοῦ πρεσβυτερίου ἀξίαν, πρὸς δὲ τούτοις ἀπολυσάσης καὶ πάντας τοὺς συνόντας αὐτῶι κληρικοὺς ἤτοι μονάζοντας, δίκαιόν ἐστι λοιπὸν καὶ ἀκόλουθον τὰ περὶ τῆς ὀρθῆς ἡμῶν πίστεως πεπραγμένα ἐν τῆι συναχθείσηι πρώην ἐν ταύτηι τῆι πόλει μακαριωτάτηι συνόδωι ἀναγνωσθῆναι, ἅτινα προκομίσας ὁ εὐλαβέστατος πρεσβύτερος καὶ πρῶτος νοταρίων Ἰωάννης ἀναγινωσκέτω, ἐὰν τοῦτο καὶ πάσηι τῆι ἁγίαι συνόδωι δόξηι.

906 Δόμνος ἐπίσκοπος Ἀντιοχείας εἶπεν· Εἰ ἔδοξεν ἀναγνωσθῆναι, ἀναγινωσκέσθω.

907 Θαλάσσιος ἐπίσκοπος Καισαρείας Καππαδοκίας εἶπεν· Ἀναγκαῖον ἡμῖν ἐστι τοῦ ἀναγνωσθῆναι τὴν πίστιν τῶν ἁγίων πατέρων τῶν τιη καὶ τῶν ἐν Ἐφέσωι, ὥστε ἡμᾶς πλεῖον τι ἀκροασαμένους ἐπιστοιχειωθῆναι.

908 Εὐσέβιος ἐπίσκοπος Ἀγκύρας Γαλατίας εἶπεν· Λυσιτελὴς ἡ τῶν ἁγίων συνόδων ἀνάγνωσις καὶ βεβαίωσις· ἐκεῖθεν γὰρ ἔχομεν τῆς ὀρθοδοξίας ἡμῶν τὴν ἀσφάλειαν.

909 Στέφανος ἐπίσκοπος Ἐφέσου εἶπεν· Ἀναγνωσθήτω ἡ ἔκθεσις ἡ γενομένη παρὰ τῶν ἐν Νικαίαι τιη ἁγίων πατέρων καὶ ἡ βεβαιώσασα ἐν Ἐφέσωι πρὸς ἀσφάλειαν τῆς ὀρθοδόξου πίστεως.

910 Ἡ ἁγία σύνοδος εἶπεν· Πάντες τοῦτο βουλόμεθα.

Ἰωάννης πρεσβύτερος καὶ πρῶτος νοταρίων ἀνέγνω

911—942 Τοῖς μετὰ τὴν ὑπατείαν τῶν δεσποτῶν ἡμῶν Φλαυίων Θεοδοσίου τὸ τρισκαιδέκατον καὶ Οὐαλεντινιανοῦ τὸ τρίτον τῶν αἰωνίων αὐγούστων τῆι πρὸ ἕνδεκα Καλανδῶν Αὐγούστων, ἥτις ἐστὶ κατ' Αἰγυπτίους Ἐπιφὶ κη, ἡνίκα Νεστόριος καθήιρηται, ἅτινα ἐμφέρεται τῆι ὀπίσω πράξει. L IIII 283 M VI 871 d. 22. m. Iul. a. 431

Ὧν ἀναγινωσκομένων κηρίων ἀφθέντων Κωνσταντῖνος ὁ καθωσιωμένος σηκρητάριος ἀνέγνω τὰ ἑξῆς οὕτως L IIII 299 M VI 901

943 Διόσκορος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Οἶμαι πᾶσιν ἀρέσκειν τὰ ἐκτεθέντα παρὰ τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίαι συνελθόντων πάλαι, ἃ καὶ ἐβεβαίωσε καὶ

31 ἐκ τῶν πεπραγμένων ἐν ἐφέσω ἐν τῆι ᾱ συνόδωι MmgBmg
911—942 gesta plena extant in Φ, cf. Coll. Nouar. 10, 397

MBΦ, Λ[a] [praeter 26—28. 34. 35]
3/4 τὰ αὐτὰ MBΛ[a] ταῦτα Φ 14 πρεσβυτερίου ΦΛ[a] πρεσβυτέρου MB 16/17 πετραγμένα — συνόδωι om. Λ[a] 22 τρισκοσίων δεκαοκτὼ B 27 τρισκοσίων δεκαοκτὼ B 31 φλαβίων B 32 βαλλεντινιανοῦ M τῶν om. B

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 9/9/15 7:59 AM

μόνα κρατεῖν ὥρισεν ἡ ἐνταῦθα συνειλεγμένη πρώην ἁγία σύνοδος ⟨θεοφιλῆ⟩ καὶ ἀρκούντως ἔχοντα. ἠκούσαμεν δὲ ὁρισάντων αὐτῶν οὕτως· εἴ τις παρὰ ταῦτα λέγει
L IIII 302 ἢ φρονεῖ ἢ ἀνασκευάζει ἢ ζητεῖ, ὑποκείσθω τῇι ἀποφάσει. τί ὑμῖν δοκεῖ; ἕκαστος
M VI 904 ποίαν ἔχει γνώμην, ἐγγράφως λεγέτω· δυνάμεθα παρὰ ταῦτα ἢ ζητεῖν ἢ ἀνασκευάζειν; εἰ δέ τις ἐζήτησε περαιτέρω τῶν εἰρημένων, οὐ δικαίως ὑποκείσεται τῇι ἀποφάσει τῶν πατέρων; λεγέτω τοίνυν ἕκαστος ὑμῶν εἰ ταύτης ἐστὶ τῆς γνώμης.

944 Θαλάσσιος ἐπίσκοπος Καισαρείας Καππαδοκίας εἶπεν· Τὸ τῶν τιη ἁγίων πατέρων ἐπὶ τῇι ἐκθέσει τῆς πίστεως εὐδόκιμον ἔδειξε μὲν καὶ κατ' ἐκεῖνο καιροῦ ἡ θεία χάρις, ἥιπερ ἐκεῖνοι τὰς γλώσσας χρήσαντες ἐδογμάτισαν, ἐβεβαίωσε δὲ μάλιστα καὶ ἡ ἐν ταύτηι τῇι λαμπρᾶι μητροπόλει συνελθοῦσα τῶν ἁγίων ὁμόνοια, ἣν κρατεῖν ἐκ παντὸς ἀναγκαῖόν ἐστιν τοῦ τρόπου, προσθήκης ὁμοῦ ἢ ὑφαιρέσεως ὁμοίως λυμαινομένης τῶι κανόνι τῆς εὐσεβείας τῆς θεσπισθείσης ὑπὸ τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίαι καὶ βεβαιωθείσης ὑπὸ τῶν ἐνταῦθα συνεληλυθότων τὸ πρότερον· τοὺς δὲ ἐναντία τούτων φρονοῦντας βδελύσσομαι ὡς παραλύοντας τὴν ὀρθὴν πίστιν.

945 Σώιζων ἐπίσκοπος Φιλίππων
L IIII 301 Ἰωάννης ἐπίσκοπος Σεβαστῆς Ἀρμενίας
Θεόδωρος ἐπίσκοπος Ταρσοῦ τῆς Κιλικίας
Βασίλειος ἐπίσκοπος Σελευκείας Ἰσαυρίας
Στέφανος ἐπίσκοπος Ἐφέσου
L IIII 302 Οὐράνιος ἐπίσκοπος πόλεως Ἰμερίας ἐπαρχίας Ὀσροηνῆς δι' ἑρμηνέως Εὐλογίου πρεσβυτέρου Ἐδεσσηνοῦ
M IV 905 **951** Θεόδωρος ἐπίσκοπος Δαμασκοῦ εἶπον ταὐτὰ καὶ ὅμοια.

952 Ἰούλιος ἐπίσκοπος ἐπέχων τὸν τόπον τοῦ ἁγιωτάτου ἐπισκόπου τῆς Ῥωμαίων ἐκκλησίας Λέοντος, ἑρμηνεύοντος αὐτὸν Φλωρεντίου ἐπισκόπου Λυδῶν, εἶπεν· Ταῦτα κατέχει ἡ ἀποστολικὴ καθέδρα.

953 Στέφανος ἐπίσκοπος Ἱερᾶς πόλεως εἶπεν· Τούτοις καὶ ἡμεῖς συντιθέμεθα καὶ παρὰ ταῦτα οὔτε ἐφρονήσαμεν οὔτε φρονήσομεν, ἀλλὰ μέχρι τελείας ἡμῶν ἀναπνοῆς αὐτοῖς ἀκολουθήσομεν καὶ οὐδενὸς τῶν παρὰ ταῦτα διδάσκειν ἐπιχειρούντων πώποτε ἀνεξόμεθα.

954 Μελίτιος ἐπίσκοπος Λαρίσσης ποιούμενος τὸν λόγον καὶ ὑπὲρ τοῦ ὁσιωτάτου
L IIII 303 ἐπισκόπου Ἀπαμείας δευτέρας Συρίας Δόμνου

955 Κῦρος ἐπίσκοπος Ἀφροδισιάδος τῆς Καρίας

956 Φλωρέντιος ἐπίσκοπος Λυδῶν

957 Κανδιδιανὸς ἐπίσκοπος Ἀντιοχείας τῆς Πισιδίας εἶπον τὰ ὅμοια.

958 Ἴλαρος διάκονος τῆς Ῥωμαίων ἐκκλησίας, ἑρμηνεύοντος αὐτὸν Φλωρεντίου ἐπισκόπου Λυδῶν, εἶπεν· Τὰ πρόσφατον ἀναγνωσθέντα τοῦτο μὲν ἐκ τῆς τῶν ἐν τῇι Νικαέων συνηγμένων πίστεως, τοῦτο δὲ καὶ βεβαιωθέντα ἐν τῇι κατὰ τὴν Ἔφεσον ἁγίαι συνόδωι πάλαι συνειλεγμένηι ὁ ἀποστολικὸς θρόνος καὶ διδάσκει καὶ πρεσβεύει. ταῦτα τοίνυν οἶδα συνάιδοντα τοῖς δόγμασι τῶν ἁγίων πατέρων, καὶ τοῖς ἰδίοις δὲ πρὸς ὑμᾶς, ἁγιώτα-

---

945—951. 954—957 plenae depositiones extant in Φ

MBΦ, Λ^n [usque ad 15]

1 πρώην om. B θεοφιλῆ Φ *et reuerentissime* Λ^n om. MB 2 δὲ ὁρισάντων ΦΛ^n διορισάντων MB 4 γνώμην MΦΛ^n δύναμιν B *non enim possumus haec* Φ^r 5 εἰρημένων] *dicta sunt et ordinata sunt et placuerunt* Φ *decreta et probata et placita* Λ^n 7 τριακοσίων δεκαοκτὼ B 11 τρόπου] τόπου Λ^n προσθήκης ὁμοῦ] *sine aliquo additamento* Φ 20 ὀσροιησ M 22 καὶ θεόδωροσ B 24 λύδων M λύδδων M^{corr}BΦ 29 Μελέτιος Φ 32 λύδων M λύδδων M^{corr}B *Lyddae* Φ 33 πισσιδίασ B 34 *Hilarus* Φ Ἰλάριοσ MB 35 λύδων M λύδδων M^{corr}B *Lyddensi* Φ 36 τὴν om. B

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 9/9/15 7:59 AM

τοι, ἐνέθηκεν ὁ ἀποστολικὸς θρόνος γράμμασιν, ἅπερ, εἰ κελεύσοιτε ἀναγνωσθῆναι, M VI 908
γνώσεσθε συνάιδοντα τῇι ἀληθείαι.

959 Βασίλειος ἐπίσκοπος Τραιανουπόλεως εἶπεν· Καὶ ἡ ἐμὴ βραχύτης ἐν ταύτηι ἀνατέθραπται τῇι ἁγίαι πίστει καὶ ἐν αὐτῇι πληρῶσαι τὸν βίον εὔχομαι.

960 Πολυχρόνιος ἐπίσκοπος Ἀντιπατρίδος εἶπεν· Τὰς θείας καὶ ἀληθεῖς διατυπώσεις τῶν ἁγίων πατέρων κατέχομεν χάριτι θεοῦ παρ' ἑαυτοῖς καὶ ἐν τῇι πίστει ταύτηι φυλαχθῆναι εὐχόμεθα.

961 Ἡ ἁγία σύνοδος εἶπεν· Οἱ πάντες τῆς αὐτῆς ἐσμὲν γνώμης καὶ πίστεως.

962 Διόσκορος ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν· Ἐπειδήπερ ἡ ἁγία καὶ μεγάλη σύνοδος ἡ ἐν Νικαίαι πάλαι συναγηγερμένη κατὰ βούλησιν θεοῦ τὴν ὀρθὴν ἡμῶν καὶ ἀμώμητον ἐξέθετο πίστιν, ἥντινα καὶ ἡ ⟨ἁγία σύνοδος ἡ⟩ πρὸ βραχέος ἐνταῦθα συνειλεγμένη ἐβεβαίωσεν καὶ ταύτην μόνην κρατεῖν καὶ ἐκκλησιάζεσθαι ὥρισεν, τυπώσασα καὶ τοῦτο ὥστε μηδενὶ ἐξεῖναι ἑτέραν πίστιν παρὰ ταύτην ἐκτίθεσθαι ἢ ζητεῖν ἢ καινουργεῖν τι ἢ ὅλως ἀνακινεῖν τι περὶ τῆς εὐαγοῦς ἡμῶν θρησκείας, τοὺς δέ γε παρὰ ταῦτα ἢ φρονεῖν ἢ ζητεῖν ἢ συντιθέναι τι πειρωμένους ἢ ὅλως ἀνασκευάζειν ἐπιχειροῦντας τὰ τετυπωμένα ἐπιτιμίοις φανεροῖς ὑποβέβληκεν, ἵν' εἰ μὲν εἶεν ἐπίσκοποι, ἀλλότριοι τῆς ἐπισκοπῆς γίνωνται, εἰ δὲ κληρικοί, τοῦ κλήρου, εἰ δὲ λαικοί, ξένοι τῆς κοινωνίας (ταῦτα γὰρ ἐκ τῶν ἀναγνωσθέντων ἀρτίως ὑπομνημάτων ἐδιδάχθημεν), φαίνονται δέ, ὡς συνορᾶι ἡ ἁγία αὕτη καὶ οἰκουμενικὴ σύνοδος, πάντα σχεδὸν ἀνακινήσαντες καὶ μετασκευάσαντες Φλαβιανὸς ὁ γεγονὼς τῆς Κωνσταντινουπολιτῶν ἐκκλησίας ἐπίσκοπος καὶ Εὐσέβιος ὁ τοῦ Δορυλαίου καὶ σκανδάλου καὶ ταραχῆς γεγονότες πρόφασις ταῖς τε ἁγίαις ἐκκλησίαις καὶ τοῖς ἁπανταχοῦ ὀρθοδόξοις λαοῖς, εὔδηλον ὡς ἑαυτοὺς ὑπέθηκαν τοῖς ὡρισμένοις τὸ τηνικαῦτα συνοδικῶς παρὰ τῶν ἁγίων ἡμῶν πατέρων ἐπιτιμίοις. ὅθεν δὴ καὶ ἡμεῖς τὰ ἐκείνων βεβαιοῦντες ἀλλοτρίους L IIII 306
αὐτοὺς τοὺς μνημονευθέντας Φλαβιανὸν καὶ Εὐσέβιον παντὸς ἱερατικοῦ καὶ ἐπισκοπικοῦ ἀξιώματος κεκρίκαμεν εἶναι. κατατιθέσθω δὲ ἕκαστος τῶν παρόντων θεοσεβεστάτων ἐπισκόπων τὴν ἑαυτοῦ γνώμην καὶ φανερὰν ταύτην ποιείτω ἐπὶ τῶν ὑπομνημάτων. σύμπαντα μέντοι τὰ πραττόμενα τήμερον γνωρισθήσονται τοῖς εὐσεβεστάτοις καὶ φιλοχρίστοις ἡμῶν βασιλεῦσιν.

963 Φλαβιανὸς ἐπίσκοπος εἶπεν· Παραιτοῦμαί σε.

964 Ἵλαρος διάκονος τῆς Ῥωμαίων ἐκκλησίας εἶπεν· Κοντραδικιτουρ, ὅ ἐστιν ἀντιλέγεται.

965 Καὶ ἐν τῶι ἀναγινώσκεσθαι οἱ Ἀνατολικοὶ καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκοποι ἐπεβόησαν· Ἀνάθεμα Διοσκόρωι. ταύτηι τῇι ὥραι καθεῖλεν, ταύτηι τῇι ὥραι καθαιρεθῆι. ἅγιε κύριε, σὺ αὐτὸν ἐκδίκησον. ⟨κύριε κύριε, σὺ αὐτὸν ἐκδίκησον.⟩ ὀρθόδοξε βασιλεῦ, σὺ αὐτὸν ἐκδίκησον. Λέοντος πολλὰ τὰ ἔτη. τοῦ πατριάρχου πολλὰ τὰ ἔτη. M VI 909

---

9 κε̄ [om. B] καθαίρεσις Φλαβιανοῦ $M^{mg}B^{mg}$
32 ἐν χαλκηδόνι $M^{mg}B^{mg}$
962—964 adferuntur a Timotheo f. 58a

MBΦ, $Λ^a$ [inde a 8 usque ad 31]
1 κελεύσετε B 6 καὶ κατέχομεν Φ 6/7 ἀεὶ φυλαχθῆναι Φ 8 καὶ γνώμησ καὶ B 11 ἁγία σύνοδος ἡ om. MB *sancta* [om. $Φ^a Λ^n$] *synodus* $ΦΛ^n$ Tim. 12 τυπώσασαι $Λ^n$ 13 ἑτέραν πίστιν om. B 14 γε om. B ἢ φρονεῖν ἢ ζητεῖν $ΦΛ^n$ Tim. ἢ ζητεῖν ἢ φρονεῖν MB 18 *omnis uestra sancta* $Φ^r$ 20 ἐκκλησίας om. $Φ^{ac}$ δορυλλαίου MB 21 ἁπανταχοῦ om. $Λ^n$ Tim. 29 ἐπίσκοποσ MB$Λ^n$ Tim. om. Φ 30 *Hilarus* $ΦΛ^n$ Ἱλάριοσ MB Tim. 33 ἐβόησαν B 34 αὐτὸν¹ Φ σαυτὸν MB 34/35 κύριε κύριε — ἐκδίκησον Φ om. MB

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 9/9/15 7:59 AM

Κωνσταντῖνος ὁ καθωσιωμένος σηκρητάριος ἀπὸ τοῦ αὐτοῦ σχεδαρίου ἀνέγνω τὰ ὑπόλοιπα οὕτως

966 Ἰουβενάλιος ἐπίσκοπος Ἱεροσολύμων εἶπεν· Ἑαυτοὺς ἀλλοτρίους ἱερωσύνης καὶ βαθμοῦ ἐπισκοπικοῦ ἀπέδειξαν Φλαβιανὸς καὶ Εὐσέβιος ἐπιχειρήσαντες προσθεῖναί τι ἢ ἀφελεῖν ἐκ τῆς πίστεως τῆς ἐκτεθείσης ἐν τῇ ἁγίαι συνόδωι τῇι ἐν Νικαίαι, ἣν ἐβεβαίωσεν ἡ ἁγία καὶ οἰκουμενικὴ σύνοδος ἡ ἐν ταύτηι τῇι Ἐφέσωι πάλαι συνελθοῦσα, ὥστε τοὺς τολμῶντάς τι προσθεῖναι ἢ ἀφελεῖν τῆς πίστεως ἀλλοτρίους εἶναι τῆς ἱερωσύνης καὶ μάλιστα τοσαύτην σύγχυσιν ποιήσαντας. ὅθεν κἀγὼ τὰ αὐτὰ ψηφίζομαι τῇι τε ἁγίαι καὶ οἰκουμενικῇι συνόδωι καὶ τῶι ἁγίωι καὶ θεοφιλεστάτωι ἀρχιεπισκόπωι Διοσκόρωι ἀλλοτριῶν αὐτοὺς τοῦ ἐπισκοπικοῦ ἀξιώματος.

967 Δόμνος ἐπίσκοπος Ἀντιοχείας εἶπεν· Σύμψηφος εἰμὶ καὶ αὐτὸς τῇι ἁγίαι ὑμῶν συνόδωι καθελούσηι Φλαβιανὸν καὶ Εὐσέβιον ὡς μὴ ἐμμένοντας τῇι ἁγίαι συνόδωι τῇι ἐν Νικαίαι καὶ τῇι πρώην ἐνταῦθα συναθροισθείσηι καὶ συναινῶ τῇι ἐπ' αὐτοῖς παρ' ὑμῶν ἐξενεχθείσηι δικαίαι ψήφωι.

968 Θαλάσσιος ἐπίσκοπος Καισαρείας εἶπεν· Ὅσοι παρὰ τοὺς ἐπὶ τῇι πίστει τῶν πατέρων τύπους διαπράττονται, ἑαυτοῖς ἐπάγουσι τὰ ἐκ τῶν κανόνων ἐπιτίμια· ὅθεν Φλαβιανὸς καὶ Εὐσέβιος ὑπερβάντες τοὺς ἐν Νικαίαι καὶ ἐν Ἐφέσωι ἐκτεθέντας τύπους παρὰ τῶν ἁγίων πατέρων κατὰ τὴν ψῆφον τῆς ὑμετέρας θεοφιλείας καὶ ἡμῶν τοῦ τῆς ἐπισκοπῆς βαθμοῦ ἠλλοτρίωνται.

969 Εὐσέβιος ἐπίσκοπος Ἀγκύρας Γαλατίας εἶπεν· Ἐμοὶ μὲν προσφιλὲς ἀεὶ τὸ φιλάνθρωπον· ἐπειδὴ δὲ θρησκείας λόγος ἐκίνησε τοὺς ὁσίους πατέρας πρὸς τὴν ἀπόφασιν τὴν ἐξενηνεγμένην δικαίαι ψήφωι κατὰ Φλαβιανοῦ καὶ Εὐσεβίου, συντίθεμαι.

970 Στέφανος ἐπίσκοπος Ἐφέσου εἶπεν· Δικαία ἡ ἐξενεχθεῖσα ἀπόφασις κατὰ Φλαβιανοῦ τοῦ πάλαι ἐπισκόπου καὶ Εὐσεβίου· ὅθεν συναινῶ καὶ συνυπογράφω ἐπὶ τῇι καθαιρέσει ἀμφοτέρων.

M IV 911 Κῦρος ἐπίσκοπος Ἀφροδισιάδος

972 Ἐρασίστρατος ἐπίσκοπος Κορίνθου τῆς Ἑλλάδος

L IIII 307 Κυίντιλλος ἐπίσκοπος Ἡρακλείας, ἐπέχων καὶ τὸν τόπον Ἀναστασίου τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς Θεσσαλονικέων

Μελίτιος ἐπίσκοπος Λαρίσσης, ἐπέχων καὶ τὸν τόπον τοῦ εὐλαβεστάτου ἐπισκόπου Δόμνου τῆς Ἀπαμέων ἐκκλησίας

975 Διογένης ἐπίσκοπος Κυζίκου

M VI 912 Ἰωάννης ἐπίσκοπος Σεβαστείας Ἀρμενίας πρώτης

Βασίλειος ἐπίσκοπος Σελευκείας Ἰσαυρίας

Θεόδωρος ἐπίσκοπος Ταρσοῦ

L IIII 308 Ῥωμανὸς ἐπίσκοπος Μύρων τῆς Λυκίας

980 Φώτιος ἐπίσκοπος Τύρου

Ἰουλιανὸς ἐπίσκοπος Ταβίας

Φλωρέντιος ἐπίσκοπος Λυδῶν

M VI 913 Μαρινιανὸς ἐπίσκοπος Συνάδων

---

3 ἐν ἐφέσω $M^{mg}B^{mg}$

inde a 971 depositiones plenae non extant nisi in Φ

966 [praeter 5 τῆς ἐκτεθείσης — 8 ποιήσαντας et 8/9 τῇι τε — συνόδωι καὶ]. 972 [plene] adferuntur a Timotheo f. 58a

---

MB, Λ^n [inde a 3 usque ad 15]

4/5 προσθεῖναί — ἀφελεῖν ἐπιχειρήσαντεσ B 6 ἐν ταύτηι Φ ἐνταῦθα MB 7 τι] ἢ Λ^n 18 παρὰ om. B 22 ἐξηνεγμένην M Φλαβιανοῦ τοῦ πάλαι ἐπισκόπου Φ 28 κυίντιλοσ B 30 Μελέτιος Φ 38 ταβίασ BΦ ταυίασ M 39 λυδῶν M λύδδων $M^{corr}B$ *Lyddenae ciuitatis* Φ

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 9/9/15 7:59 AM

Μουσωνιανὸς ἐπίσκοπος Νύσης
985 Κωνστάντιος ἐπίσκοπος Βόστρων
Στέφανος ἐπίσκοπος Ἱερᾶς πόλεως
Ἀττικὸς ἐπίσκοπος Νικοπόλεως Ἠπείρου παλαιᾶς
Εὐστάθιος ἐπίσκοπος Βηρυτοῦ 5
Νουνέχιος ἐπίσκοπος Λαοδικείας Τριμιταρίας L IIII 309
990 Ὀλύμπιος ἐπίσκοπος Κωνσταντίας τῆς Κύπρου M VI 914
Ἰωάννης ἐπίσκοπος Ῥόδου
Καυδιδιανὸς ἐπίσκοπος Ἀντιοχείας τῆς Πισιδίας
Στέφανος ἐπίσκοπος Ἀναζάρβου 10
Γερόντιος ἐπίσκοπος Σελευκείας Συρίας
995 Ῥουφῖνος ἐπίσκοπος Σαμοσάτων
Ἴνδιμος ἐπίσκοπος Εἰρηνουπόλεως M VI 915
Τιμόθεος ἐπίσκοπος Βαλανέων L IIII 310
Θεοδόσιος ἐπίσκοπος Κανώθα 15
Σέλευκος ἐπίσκοπος Ἀμασείας
1000 Πέτρος ἐπίσκοπος Γαγγρῶν
1006 Βασίλειος ἐπίσκοπος Τραιανουπόλεως M VI 916
Δοκιμάσιος ἐπίσκοπος Μαρωνείας
Ἀλέξανδρος ἐπίσκοπος Σεβαστῆς 20
Οὐράνιος ἐπίσκοπος Ἰμερίας ἐπαρχίας Ὀσροηνῆς ἑρμηνεύοντος αὐτὸν Εὐλογίου πρεσβυτέρου Ἐδεσσηνοῦ
1010 Ἀθανάσιος ἐπίσκοπος Ὀποῦντος L IIII 311
Θεόδωρος ἐπίσκοπος Κλαυδιουπόλεως 24
Λεόντιος ἐπίσκοπος Ἀσκάλωνος M VI 917
Φωτεινὸς ἐπίσκοπος Λύδδης
Ἀναστάσιος ἐπίσκοπος Ἀριουπόλεως
1015 Θεοδόσιος ἐπίσκοπος Ἀμαθούντων
Παῦλος ἐπίσκοπος Μαιουμᾶ 29
Ζώσιμος ἐπίσκοπος Μινωΐδος M VI 918
Ἐπιφάνιος ἐπίσκοπος Πέργης L IIII 312
Βαρούχ ἐπίσκοπος Σωιζούσης
1020 Ἡράκλειος ἐπίσκοπος Ἀζώτου
Ἰωάννης ἐπίσκοπος Τιβεριάδος
Μουσώνιος ἐπίσκοπος Ζωόρων 35
Διονύσιος ἐπίσκοπος Συκαμαζόνος M VI 919
Καίουμος ἐπίσκοπος Φαινοῦς
1025 Αἰθέριχος ἐπίσκοπος Σμύρνης
Κωνστάντιος ἐπίσκοπος Σεβαστείας 39
Ζάεννος ἐπίσκοπος Πέλλης L IIII 313
Ἀλύπιος ἐπίσκοπος Βακάθων M VI 920

986 plene adfertur a Timotheo f. 58a de 1001—1005 cf. Φ et notam Rustici

MBΦ
1 Μουσώνιος Φ νύσσης BΦc *myssenae* Φa 2 *Constantinus* Φ 6 τριμηταρίασ M 9 πισσιδίασ B 13 ἴνδιμοσ BΦ ἰνδήμιοσ M 19 μωρωνείασ MB, corr. M 21 ἐπαρχίας om. B ὀσδροινῆσ M 30 *Minoidae* [= Μινωΐδος] Φ μηνοίδου B μηνοείδησ M 35 ζοόρων B 37 *Caiumas* Φ φένουσ B 39 *Constantinus* Φac σεβαστίασ M 40 *Zeennus* Φa *Zennus* Φc *Zebennus* Φr 41 Βακάθων p. 80, 23. 185, 3 *Bacatensis* Φac *Bactroensis* Φr καβάσων MB

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 9/9/15 7:59 AM

Πολυχρόνιος ἐπίσκοπος Ἀντιπατρίδος
1030 Παγκράτιος ἐπίσκοπος Λιβιάδος
Αὐξόλαος ἐπίσκοπος Σαρακηνῶν τῶν ὑποσπόνδων
Δομνῖνος ἐπίσκοπος Πλαταιέων
Θεοδόσιος ἐπίσκοπος Μασταύρων
L IIII 314 Κυριακὸς ἐπίσκοπος Αἰγέης
1035 Φλαυιανὸς ἐπίσκοπος * * Λεβέδου
M VI 921 Λεόντιος ἐπίσκοπος Μαγνησίας
Εὐτρόπιος ἐπίσκοπος Περγάμου
Γεννάδιος ἐπίσκοπος Τηίων
1040 Ὀλύμπιος ἐπίσκοπος Εὐάζων
M VI 922 Μάξιμος ἐπίσκοπος Τράλλεων
Ἰουλιανὸς ἐπίσκοπος Ὑπαίπων
Θεόπεμπτος ἐπίσκοπος Καβάσων
L IIII 315 M VI 923 Καλοσίριος ἐπίσκοπος Ἀρσινοίτου ἑρμηνεύοντος αὐτὸν Ἰουλίου διακόνου αὐτοῦ
1045 Ἰωάννης ἐπίσκοπος Ἡφαίστου
Ἡρακλείδης ἐπίσκοπος Ἡρακλεοῦς
L IIII 316 M VI 924 Ἰσαὰκ ἐπίσκοπος Ἐλεαρχίας
Γεμελλῖνος ἐπίσκοπος Ἐρυθροῦ
Ἀπολλώνιος ἐπίσκοπος Τάνεως
1050 Γεννάδιος ἐπίσκοπος Ἑρμουπόλεως μεγάλης
Κῦρος ἐπίσκοπος Βαβυλῶνος
M VI 925 Ἀθανάσιος ἐπίσκοπος Βουσίριδος
Φωτεινὸς ἐπίσκοπος Τευχείρων
Θεόφιλος ἐπίσκοπος Κλεοπατρίδος
1055 Πασμήιος ἐπίσκοπος Παράλου
L IIII 317 Σωσίας ἐπίσκοπος Σωιζούσης
Θεόδουλος ἐπίσκοπος Τισιλα
Θεόδωρος ἐπίσκοπος Βάρκης
M VI 926 Ῥοῦφος ἐπίσκοπος Κυρήνης
1060 Ζήνων ἐπίσκοπος Ῥινοκορούρων
Λούκιος ἐπίσκοπος Ζύγρων
Αὐξόνιος ἐπίσκοπος Σεβεννύτου
Ἰσαὰκ ἐπίσκοπος Ταύα
L IIII 318 M VI 927 Φιλόκαλος ἐπίσκοπος Ζαγυλέων
1065 Ἡσαίας ἐπίσκοπος Ἑρμουπόλεως μικρᾶς
Βαρσουμᾶς πρεσβύτερος καὶ ἀρχιμανδρίτης ἑρμηνεύοντος αὐτὸν Εὐσεβίου μοναχοῦ εἶπον οἱ πάντες ὁμοια καὶ παραπλήσια.
1067 1 Διόσκορος ἐπίσκοπος Ἀλεξανδρείας ὁρίσας ὑπέγραψα
2 Ἰουβενάλιος Ἱεροσολύμων
M VI 928 3 Δόμνος Ἀντιοχείας

39 plenae subscriptiones [I—CXL] extant in Φ

MBΦ

2 Λιβιάδος om. M 4 πλατεῶν M 6 *egensis* Φ[a] *eglensis* Φ[cr] 7 desunt Ἀδραμυττίου Κυριακὸς ἐπίσκοπος cf. Φ 12 Τράλλεων Φ[cr] παλλέων MB 13 ὑπέπων MB 15 *Helia* Φ 20 πάνεωσ M 24 Φωτεινός Φ φώτιος MB 26 παράλλου B 28 *Tisilenae* Φ πισιλᾶ MB 30 *Rufus* Φ ρουφίνοσ MB 31 ρινοκουρούρων B 32 Ζύγρων p. 81, 27. 185, 38 *Zygrenae* Φ λυγρῶν MB

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 9/9/15 7:59 AM

4 Στέφανος Ἐφέσου
5 Θαλάσσιος Καισαρείας Καππαδοκίας
6 Εὐσέβιος Ἀγκύρας Γαλατίας
7 Κῦρος Ἀφροδισιάδος
8 Ἐρασίστρατος Κορίνθου 8
9 Διογένης Κυζίκου L IIII 319
10 Ἰωάννης Σεβαστείας
11 Βασίλειος Σελευκείας Ἰσαυρίας
καὶ οἱ λοιποὶ πάντες οὕτως ὑπέγραψαν. 9

1068 Οἱ ἐνδοξότατοι ἄρχοντες καὶ ἡ ὑπερφυὴς σύγκλητος εἶπον· Περὶ μὲν τῆς ὀρθοδόξου L IIII 322
πίστεως καὶ καθολικῆς τελεώτερον συνόδου γινομένης τῆι ὑστεραίαι ἀκριβεστέραν ἐξέτασιν M VI 936
δεῖν γενέσθαι συνορῶμεν· ἐπειδὴ δὲ Φλαβιανὸς ὁ τῆς εὐλαβοῦς μνήμης καὶ Εὐσέβιος ὁ
εὐλαβέστατος ἐπίσκοπος ἐκ τῆς τῶν πεπραγμένων καὶ διαγνωσθέντων ἐρεύνης καὶ αὐτῆς L IIII 309*
τῆς φωνῆς τινῶν τῶν ἐξάρχων γενομένων τῆς τότε συνόδου ὁμολογησάντων ἐσφάλθαι
καὶ μάτην αὐτοὺς καθηιρηκέναι οὐδὲν περὶ τὴν πίστιν σφαλέντας δείκνυνται ἀδίκως καθηι- 15
ρημένοι, καταφαίνεται ἡμῖν κατὰ τὸ τῶι θεῶι ἀρέσκον δίκαιον εἶναι, εἰ παρασταίη τῶι
θειοτάτωι καὶ εὐσεβεστάτωι ἡμῶν δεσπότηι, τῶι αὐτῶι ἐπιτιμίωι Διόσκορον τὸν εὐλα-
βέστατον ἐπίσκοπον Ἀλεξανδρείας καὶ Ἰουβενάλιον τὸν εὐλαβέστατον ἐπίσκοπον Ἱερο-
σολύμων καὶ Θαλάσσιον τὸν εὐλαβέστατον ἐπίσκοπον Καισαρείας Καππαδοκίας καὶ
Εὐσέβιον τὸν εὐλαβέστατον ἐπίσκοπον Ἀγκύρας καὶ Εὐστάθιον τὸν εὐλαβέστατον 20
ἐπίσκοπον Βηρυτοῦ καὶ Βασίλειον τὸν εὐλαβέστατον ἐπίσκοπον Σελευκείας Ἰσαυρίας
τοὺς ἐξουσίαν εἰληφότας καὶ ἐξάρχοντας τῆς τότε συνόδου ὑποπεσεῖν παρὰ τῆς ἱερᾶς
συνόδου κατὰ τοὺς κανόνας τοῦ ἐπισκοπικοῦ ἀξιώματος ἀλλοτρίους γενησομένους, πάντων
τῶν παρακολουθησάντων τῆι θείαι κορυφῆι γνωριζομένων.

1069 Οἱ Ἀνατολικοὶ καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκοποι ἐβόησαν· Αὕτη δι- 25
καία κρίσις.

1070 Οἱ Ἰλλυρικοὶ καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκοποι εἶπον· Πάντες ἐσφάλημεν,
πάντες συγγνώμης ἀξιωθῶμεν.

1071 Οἱ Ἀνατολικοὶ καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκοποι εἶπον· Πολλὰ τὰ ἔτη
τῆς συγκλήτου. ἅγιος ὁ θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς. πολλὰ 30
τὰ ἔτη τῶν βασιλέων. ὁ ἀσεβὴς ἀεὶ φεύγει· Διόσκορον ὁ Χριστὸς καθεῖλεν. τὸν
φονέα ὁ Χριστὸς καθεῖλεν. αὕτη δικαία ψῆφος. αὕτη δικαία σύνοδος * * δικαία
σύγκλητος * * τοὺς μάρτυρας ὁ θεὸς ἐξεδίκησεν.

1072 Οἱ ἐνδοξότατοι ἄρχοντες καὶ ἡ ὑπερφυὴς σύγκλητος εἶπον· Ἕκαστος τῶν εὐλα-
βεστάτων ἐπισκόπων τῆς παρούσης ἁγίας συνόδου ὅπως πιστεύει, ἐγγράφως ἄνευ τινὸς 35
δέους, τὸν τοῦ θεοῦ πρὸ ὀφθαλμῶν τιθέμενος φόβον, ἐκθέσθαι σπουδασάτω, γινώσκων M VI 937
ὡς ὁ θειότατος καὶ εὐσεβέστατος ἡμῶν δεσπότης κατὰ τὴν ἔκθεσιν τῶν ἐν Νικαίαι ἁγίων
πατέρων τιη καὶ κατὰ τὴν ἔκθεσιν τῶν ρν τῶν μετὰ ταῦτα καὶ τὰς κανονικὰς ἐπιστολὰς

---

9 ἕως ὧδε τὰ ἐπὶ διοσκόρου ἐν ἐφέσω πεπραγμένα [πεπραγμένα om. M^{mg}] M^{mg} subscr. B
10 ἐν χαλκηδόνι M^{mg}B^{mg} κϛ̄ M^{mg}
10—24. 34—p. 196, 6 leguntur in Gestis 4, 3

MBΦ

2 Καισαρείας om. M 11 γινομένης συνόδου B 16 καταφαίνεται BΦ καταφαίνεται δὲ M
24 in fine add. *legi* [om. Φ^a] *legimus* Φ 25 ἐβόησαν BΦ εἶπον M 27 καὶ — αὐτοῖς om. Φ
30 ἅγιος^2 om. M 32 σύνοδος· αὕτη ἁγία σύνοδος Φ 33 σύγκλητος· δικαία σύνοδος Φ
39 πατέρων] ἐπισκόπων Φ τριακοσίων δεκαοκτὼ B ἑκατὸν πεντήκοντα B

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 9/9/15 7:59 AM

καὶ ἐκθέσεις τῶν ἁγίων πατέρων Γρηγορίου Βασιλείου Ἱλαρίου Ἀθανασίου Ἀμβροσίου καὶ τὰς Κυρίλλου δύο κανονικὰς ἐπιστολὰς τὰς ἐν τῇι κατ' Ἔφεσον πρώτηι συνόδωι βεβαιωθείσας καὶ δημοσιευθείσας πιστεύει, κατ' οὐδένα τρόπον τῆς αὐτῶν πίστεως ἀναχωρῶν. καὶ γὰρ ὁ εὐλαβέστατος ἀρχιεπίσκοπος τῆς πρεσβυτέρας Ῥώμης Λέων πρὸς τὴν παρὰ Εὐτυχοῦς ἄπιστος καὶ ὑπεναντίον τῆς καθολικῆς ἐκκλησίας ἀνακύψασαν ἀμφιβολίαν φαίνεται πρὸς τὸν τῆς εὐλαβοῦς μνήμης Φλαβιανὸν τὴν ἐπιστολὴν ἐκπέμψας.

MBΦ

6 in fine add. *legi* [om. Φ^a] *legimus* Φ et tum *Aetius archidiaconus regnantis Constantinopolis nouae Romae et primicerius notariorum dixit: Completum est* Φ^r adnotante Rustico: *in alio Gr*(aeco) *adicitur hoc* πεπλήρωται ἡ πρώτη πρᾶξις [τέλοσ τῆσ πρώτησ πράξεωσ B] τῶν ἐν χαλκηδόνι συνελθόντων ἁγίων [ἁγίων om. M] $\overline{\text{πρωϊ}}$ subscr. MB praeterea πεπλήρωται ἡ πρώτη πρᾶξισ τῶν ἐν χαλκηδόνι subscr. M

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 9/9/15 7:59 AM

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 9/9/15 7:59 AM

Brought to you by | New York University Bobst Library Technical Services
Authenticated
Download Date | 9/9/15 7:59 AM